Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
Αριθ. εισ. 4200/ξεσ
ΔΩΡΕΑ Γεώπ. Σχ.
GR/VER-00368

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η

ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ 1953

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑΣ ΔΥΟ ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1843.

Αρ.Εισ. 1828

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΚΟΥΜΕΝΙΟΥ ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΕΙΣ ΤΑΣ

ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑΣ ΔΥΟ ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1843.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΚΟΥΜΕΝΙΟΥ ΕΝΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΕΙΣ ΤΑΣ

ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑΣ ΔΥΟ ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΙΚΟΥ ΑΓΓΕΛΑΚΗ.

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΗΡΩΟΣ ΠΛΗΣ ΤΗ ΒΑΣΙΛΙΚΗ.

1843.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΒΛΙΟ

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΠΟΟΙΜΙΟΝ (I, 1—9.) 5

Α. Περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ· ἐν ᾧ, περὶ θείας σοφίας· περὶ λειτουργιῶν· περὶ τοῦ μὴ κρίνειν διδασκάλους· περὶ τοῦ μὴ ἐπαίρεσθαι (I, 10—IV, 20). 9

Β. Κατὰ πόρνων καὶ πορνείας, καὶ τῶν τούτοις κοινωνούντων (IV, 21—V, 13). 49

Γ. Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα ἐπὶ ἀπίστων· ἐν ᾧ, περὶ τοῦ μὴ πορνεύειν (VI, 1—20). . 57

Δ. Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας· ἐν ᾧ, περὶ τοῦ μὴ χωρίζεσθαι ἄνδρας γυναικῶν, μηδὲ εἰ ἄπιστοι εἶεν οἱ ἕτεροι· περὶ ἁγνείας καὶ διγαμίας (VII, 1—40). 70

Ε. Περὶ διαφορᾶς ἐδεσμάτων, καὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος· ἐν ᾧ, περὶ συμπεριφορᾶς· περὶ τῆς ἑαυτοῦ πολυπλόκου συμπεριφορᾶς· περὶ τοῦ μὴ κοινωνεῖν δαίμοσι· περὶ τοῦ μὴ ἀδιαφορεῖν ἐν ὠνίοις καὶ κλήσεσιν (VIII, 1—XI, 1). . . 89

Ϛ. Περὶ σχήματος ἀνδρῶν καὶ γυναικῶν ἐν εὐχαῖς καὶ προφητείαις (XI, 2—16). 127

Ζ. Περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλημμονικῆς (XI, 17—34). 135

Η. Περὶ διαφορᾶς χαρισμάτων καὶ οἰκονομίας αὐτῶν· ἐν ᾧ, περὶ ἀγάπης, ὡς μείζους χαρίσματος· περὶ προφητείας ὡς μείζονος γλώσσης (XII, 1—XIV, 40). 143

Θ. Περὶ ἀναστάσεως σωμάτων καθολικῆς· ἐν ᾧ, περὶ τῆς ἐν Χριστῷ διορθώσεως καὶ ἀποκαταστάσεως· ὁμοίωσις τῶν ἀνισταμένων πρὸς τὰ ἀναφυόμενα σπέρματα· περὶ τῆς εἰς δόξαν καὶ δύναμιν ἀλλαγῆς (XV, 1—XVI, 24). 184

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

Α. Εὐχαριστία περὶ θεοῦ βοηθείας, ἐν ᾗ πεποιθέναι φησίν (I, 1—14). 229

Β. Περὶ ἀγάπης τῆς πρὸς αὐτοὺς καὶ φειδοῦς εἰς τὸ μὴ λυπεῖν, εἰ καὶ λυπῶν ὠφελεῖ, ὡς ἐπὶ τοῦ διὰ πορνείαν ἐπιτιμηθέντος, ᾧ καὶ συγχωρεῖ (I, 15—II, 11). 241

Γ. Περὶ τῆς δι' αὐτοῦ θείας ὠφελείας τοῖς ἐπιτηδείοις, δι' ἧς καὶ συνίστασθαι φησίν (II, 12—III, 6). 255

Δ. Περὶ τῆς κατὰ πνεῦμα λειτουργίας, καὶ δόξης θειοτέρας τῆς κατὰ τὸν νόμον (III, 7—18). . 262

Ε. Περὶ θείας δόξης καὶ τοῦ ἀκολούθου βίου, ὅτι τοῖς ἁγίοις γινώσκεται (IV, 1—6). 270

Ϛ. Περὶ τῆς κατὰ σῶμα ἀσθενείας καὶ τῆς τοῦ σώματος ἀποθέσεως καὶ ἐπαναλήψεως (IV, 7—V, 11). 275

Ζ. Περὶ τῆς ἑαυτοῦ φιλοθεότητος καὶ φιλαδελφίας τῆς κατὰ Χριστόν (V, 12—VII, 1). 285

Η. Περὶ ἀποδοχῆς τῆς Κορινθίων ὑπακοῆς καὶ ἀγάπης εὐφραινούσης αὐτόν (VII, 2—16). . . 302

Θ. Προτροπὴ εἰς ἐπίδοσιν χρημάτων τοῖς ἁγίοις καὶ τιμὴν τῶν διὰ τοῦτο ἐρχομένων· ἐν ᾧ, περὶ τῆς Τίτου ἀποστολῆς καὶ τῶν ἄλλων πρὸς αὐτούς (VIII, 1—IX, 15). 312

Ι. Διήγησις τῶν ἰδίων πόνων καὶ προθέσεως, καὶ τῆς ἐπ' αὐτῷ χάριτος, πρὸς τὸ μὴ τοῖς ἐπιπλάστοις διδασκάλοις προστίθεσθαι Κορινθίους· ἐν ᾧ, ἀντεξέτασις ἑαυτοῦ πρὸς ἐκείνους καὶ ἔλεγχος ἐκείνων (X, 1—XIII, 13). 330

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἐφέσου τῆς Ἀσίας, ἑωρακὼς αὐτοὺς ἤδη καὶ διδάξας· ὑπομιμνήσκων δὲ ὅμως διὰ τῆς ἐπιστολῆς ταύτης. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Κορίνθιοι ἐκ φιλονεικίας συναγόμενοι, ἐσχίζοντο ταῖς γνώμαις, καὶ λοιπὸν ἦν ἐν αὐτοῖς σχίσματα· καὶ ὄντων σχισμάτων, παρεβλέποντο τὸν λαβόντα τὴν μητριάν. Ἄλλοι δὲ ἤθελον καταλιμπάνειν τὰς ἰδίας γυναῖκας, προφάσει τῆς ἐγκρατείας· τινὲς δὲ καὶ ἐν εἰδωλείοις ἤσθιον, ὡς ἀδιαφόρων ὄντων τῶν εἰδωλοθύτων· ἄλλοι δὲ, τοὺς μὲν ἄλλους ἐξουθένουν, τοὺς δὲ λαλοῦντας γλώσσαις ἐθαύμαζον· καὶ, τέλος, ἠπάτηντο καὶ εἰς τὸ περὶ ἀναςάσεως μυςήριον, λέγοντες, μὴ ἐγείρεσθαι τὴν σάρκα ταύτην. Τούτων πάντων ἐν Κορίνθῳ κινουμένων, γράφουσιν οἱ λαοὶ τῷ ἀποςόλῳ· καὶ λοιπὸν πρὸς πάντα ἀντιγράφει. Καὶ πρῶτον μὲν, μαρτυρεῖ αὐτοῖς ἐν φρονήσει καὶ γνώσει· οὐκ ἀποδέχεται δὲ αὐτοὺς ποιοῦντας τὰ σχίσματα, ἀλλὰ καὶ συμβουλεύει, μὴ ἐν λόγῳ τὴν ἀρετὴν, ἀλλ' ἐν ἔργῳ καὶ δυνάμει ἡγεῖσθαι. Ἔπειτα, ἐπιτιμήσας τῷ τὴν μητριὰν λαβόντι, καὶ παραινέσας, μὴ ἔχειν σχίσματα πρὸς ἑαυτοὺς, λοιπὸν περὶ ὧν ἔγραψαν ἀποκρίνεται· περὶ μὲν τοῦ γάμου διδάσκων, ἄῤῥηκτον εἶναι τὴν συζυγίαν, καὶ ἐν καιρῷ μόνῳ σχολάζειν, διὰ τὴν εὐχήν· διὰ δὲ τὸ ἀγαπᾶν αὐτοὺς τὴν ἐγκράτειαν, γράφει περὶ παρθενίας, ὅτι οὐ κατ' ἀνάγκην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ πειθοῖ τοῦτο γινέσθω. Εἶτα περὶ τῶν εἰδωλοθύτων, ἵνα μὴ καταχρῶνται τῇ γνώσει, ἀλλὰ τῇ ἀγάπῃ πολιτεύωνται. Κωλύει οὖν τὰ ἐν εἰδωλείῳ συμπόσια, ἵνα μὴ σκανδαλίζωνται οἱ μικροί. Εἶτα περὶ τῶν πνευματικῶν χαρισμάτων γράφει, ἵνα μὴ διαφέρωνται ἐν τοῖς χαρίσμασι, μηδὲ προκρίνωσι τὸν ἔχοντα χάρισμα τόδε τοῦ ἔχοντος τόδε· πάντα γὰρ τοῦ αὐτοῦ πνεύματος εἶναι λέγει. Καὶ λοιπὸν περὶ ἀναστάσεως διδάσκει, ὅτι ἡ σὰρξ ἐγείρεται, ἀποθνήσκουσα μὲν φθαρτὴ, ἐγειρομένη δὲ ἄφθαρτος κατὰ τὴν τοῦ Κυρίου χάριν. Τὴν δὲ ἀνάστασιν, ἀπὸ τοῦ ἐγηγέρθαι τὸν Χριστὸν συνίστησι. Καὶ τέλος παραινετικοὺς λόγους εἰς τὰ ἤθη γράφει· καὶ περὶ λογίας τῆς εἰς τοὺς ἁγίους παραγγέλλει, καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ΘΕΟΔΩΡΗΤΟΥ.

Ὁρῶν ὁ δαίμων οὕτω πολυάνθρωπον τὴν Κόρινθον, καὶ εἰδωλολάτριν, πεπιστευκυῖαν θεῷ, παρασκευάζει τινὰς ἐκ τῶν παρὰ σφίσι πλουσίων καὶ φιλοσόφων, αὐτοχειροτονήτους προστατεῖν τοῦ δήμου ἐν τοῖς πνευματικοῖς πράγμασιν· ὡς λοιπὸν τοῦ λαοῦ πολλοὺς, τοὺς μὲν, τοῖς πλουσίοις, ὡς δυνατοῖς, προσχωρῆσαι, τοὺς δὲ, τοῖς φιλοσόφοις, ὡς πλέον διδάσκειν δυναμένοις παρὰ τὴν τοῦ ἀποστόλου διδαχήν· ὡς ἐκ τούτου σχίσματα καὶ ἔριδας γίνεσθαι παρ' αὐτοῖς. Ἔγραψαν οὖν τῷ Παύλῳ διὰ Φουρτουνάτου, καὶ Στεφανᾶ, καὶ Ἀχαϊκοῦ περὶ γάμου καὶ παρθενίας, δι' ὧν καὶ ἀντιγράφει αὐτοῖς, καὶ περὶ τούτων καὶ περὶ ἄλλων, συναποστείλας καὶ τὸν Τιμόθεον. Ἐπεὶ οὖν ἐξ ἀπονοίας ἦσαν τὸν λαὸν διανειμάμενοι οἱ πλούσιοι καὶ φιλόσοφοι, τῆς ἀπονοίας διορθοῦται τὸ πάθος ἐν πρώτοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ 2 ἀδελφός· τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν 3 τε καὶ ἡμῶν· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐκ τοῦ *κλητὸν* ἑαυτὸν καλέσαι, διορθοῦται αὐτούς. Ἐγὼ αὐτός, φησιν, οὐκ αὐτοχειροτόνητός εἰμι ἀπόστολος, καὶ πῶς ὑμεῖς αὐτοχειροτόνητοι διδάσκαλοι; *Ἀπόστολος Ἰησοῦ Χριστοῦ.*] Διδάσκαλος ὑμῶν ὁ Χριστὸς ἐστί, φησι· τί ἀνθρώπους ἐποιήσατε ὑμῶν διδασκάλους; *Διὰ θελήματος Θεοῦ.*] Καὶ τοῦτο ὡς θέλημα Θεοῦ δι' ἡμῶν κηρύσσεσθαι τῶν ἀποστόλων (1). *Καὶ Σωσθένης.*] Μὴ γὰρ νομίσητε, ὅτι ἐμαυτῷ περιποιούμενος τὸ τῆς διδασκαλίας ἀξίωμα, ὑμᾶς μέλλω καθαιρεῖν τῆς ἐπὶ τούτῳ φυσιώσεως. Ἰδοὺ γὰρ καὶ Σωσθένην ἐμαυτῷ συντάττω, καὶ ἀδελφὸν καλῶ, καὶ σὺν αὐτῷ

(1) «Οὐ διότι ἡμεῖς ἦμεν ἄξιοι· ἀλλὰ διότι ἠθέλησεν, ἔσωσε καὶ ἐκάλεσεν. Ὥςε καὶ νῦν ἐμὲ θέλει ἀπόστολον ὑμῶν εἶναι· καὶ πῶς ὑμεῖς ἄλλους θέλετε διδασκάλους; Ἆρα ἀντίθεοί ἐστε;» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιζέλλω, κοινοποιούμενος τὰ ἐμά. Διατί οὖν ὑμᾶς ἐγκόπτω; Ὅτι ἐπιβλαβὲς ὑμῶν τὸ ἐπὶ τῇ διδασκαλίᾳ φύσημα. Ὑμᾶς τε γὰρ οὐδὲν ὀνίνησι, τούς τε πειθομένους ἐξίστησι τῆς ὑγιαινούσης διδασκαλίας, καὶ τὸ κοινὸν μερίζει τῆς ἐκκλησίας σῶμα. *Ὁ ἀδελφός.*] Κατὰ μετριότητα συνάπτει ἑαυτὸν Σωσθένει. *Τῇ ἐκκλησίᾳ τοῦ θεοῦ.*] Εἰ δὲ θεοῦ ἐστὲ ἐκκλησία, πῶς ἀνθρώποις ἑαυτοὺς προσενείματε; *Ἡγιασμένοις ἐν Χριστῷ.*] Τῷ λουτρῷ καὶ τῇ πίστει Χριστοῦ, οὐ διὰ τῶν νῦν ὑμῶν διδασκάλων. *Κλητοῖς ἁγίοις.*] Καὶ αὐτὸ γὰρ τὸ πιστεῦσαι ὑμᾶς, οὐχ ὑμέτερον· ἀλλ' ὑπὸ θεοῦ πρὸς τὴν πίστιν ἐκλήθητε. *Σὺν πᾶσι τοῖς ἐπικαλουμένοις.*] Οὐ μόνον ὑμῖν τοῖς Κορινθίοις, φησί, χάρις καὶ εἰρήνη, ἀλλὰ πᾶσι τοῖς ἐπικαλουμένοις τὸν Χριστὸν ἐν οἱῳδήποτε τόπῳ, ἐν ᾧ εἰσιν ἐκεῖνοί τε καὶ ὑμεῖς. — ΑΛΛΟ. Ὅσον ἐκεῖνοι κατ' ἀλλήλων διεσχίζοντο, τοσοῦτον αὐτὸς ἐφιλονείκει καὶ τοῖς πόρρω συνάπτειν αὐτούς. Διὸ μέλλων αὐτοῖς προσφωνεῖν τὴν χάριν καὶ τὴν εἰρήνην τὴν ἀπὸ θεοῦ, καὶ εἰπών, *κλητοῖς ἁγίοις*, αὐτίκα συνῆψε, *σὺν πᾶσι τοῖς ἐπικαλουμένοις*, καὶ ἐξῆς. Καὶ ὑμῖν, φησὶ, καὶ σύμπασιν εἴη ἡ ἀπὸ θεοῦ καὶ πατρὸς χάρις καὶ εἰρήνη. — *Αὐτῶν τε καὶ ἡμῶν.*] Ἐπειδὴ, εἰπὼν, *σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου*, ἐπήγαγε μόνον τὸ, *ἡμῶν*, ἐπιδιορθούμενος, καὶ δεικνὺς κοινὸν αὐτὸν Κύριον καὶ Δεσπότην ἁπάντων ὄντα, προστίθησιν, *αὐτῶν τε καὶ ἡμῶν.* Εἰ δὲ κοινὸς ἁπάντων Κύριος, καὶ οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ τῶν ἁπανταχοῦ, τί σχίζεσθε ἀλλήλων, καὶ τὴν κοινὴν ἐξ ὧν τέμνεσθε καθυβρίζοντες κυριότητα, ἑτέροις καὶ ἑτέροις ἑαυτοὺς διανέμετε; *Καὶ εἰρήνη ἀπὸ θεοῦ πατρός.*] Τί δέ, φησιν, ἡ πρὸς τόνδε εἰρηνεύετε, ἢ ἀπὸ τοῦδε χάριν ἔχετε; Ἐγώ, φησι, ταῦτα ἀπὸ θεοῦ ὑμῖν εὔχομαι γενέσθαι. Αἰνίττεται δὲ τοὺς διδασκάλους αὐτῶν καθαπτόμενος.

4 Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ
τῇ χάριτι τοῦ θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Ἰησοῦ· ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν
6 παντὶ λόγῳ καὶ πάσῃ γνώσει, (καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν·)

Εὐχαριστῶ.] Εὐχαρίστους ἡμᾶς εἶναι παιδεύων, ἐν πάσῃ ἐπισολῇ τοῦτο τίθησι. *Τῷ θεῷ μου.*] Ἐκ πολλῆς ἀγάπης τὸν κοινὸν πάντων θεὸν ἴδιον ποιεῖται. *Ἐπὶ τῇ χάριτι τοῦ θεοῦ.*] Μέγα ἐφρόνουν οἱ Κορίνθιοι ἐπὶ τοῖς χαρίσμασιν. Αἰνίττεται οὖν· Εἰ οὐκ ἐξ οἰκείων κατορθωμάτων, ἀλλὰ τῇ τοῦ Χριστοῦ δωρεᾷ τὸ χάρισμα εἰλήφατε, τί μέγα φρονεῖτε; *Ἐν Χριστῷ Ἰησοῦ.*] Τῇ διὰ Χριστοῦ. Διὰ Χριστοῦ γὰρ ὁ πατὴρ δέδωκεν. *Ἐν αὐτῷ.*] Πάλιν τὸ, *ἐν αὐτῷ*, τουτέστι, δι' αὐτοῦ. Εἰ δὲ δι' αὐτοῦ ἐπλουτίσθητε *ἐν παντὶ* πράγματι, καὶ ὁ πλοῦτος παρὰ θεοῦ, πῶς ἀνθρώποις ἑαυτοὺς προσενείματε; *Καὶ πάσῃ γνώσει.*] Ἕνι γὰρ καὶ λόγος χωρὶς γνώσεως, ὡς ἡ φλυαρία· ἔνι καὶ γνῶσις χωρὶς λόγου, ὡς ἡ τῶν ἰδιωτῶν, νοούντων μὲν, ἐξειπεῖν δὲ τὸ νοηθὲν μὴ δυναμένων. Ἀλλ' ὑμεῖς, φησι, κατ' ἄμφω ἐπλουτίσθητε, καὶ λόγῳ καὶ γνώσει. *Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ.*] *Καθὼς*, τουτέστι, δι' ὧν. Διὰ λόγου γάρ, φησι, καὶ τῆς θεοδότου γνώσεως, *τὸ μαρτύριον τοῦ Χριστοῦ*, τουτέστι, τὸ κήρυγμα, εἰς ὑμᾶς πιστευθὲν *ἐβεβαιώθη*· ὅπερ ὑμῖν ἐγένετο, *οὐ δι'* εὐφυίας οἰκείας ἢ τῆς ἔξωθεν σοφίας, ἀλλὰ διὰ χάριτος θεοῦ.—ΑΛΛΟ. Πόθεν δῆλον, ὅτι ἐπλουτίσθητε λόγῳ καὶ γνώσει; Ἐκ τοῦ τὸ κήρυγμα τῆς εἰς Χριστὸν πίστεως βεβαιωθῆναι ἐν ὑμῖν· ἡ γὰρ τούτου βεβαίωσις ἐν ὑμῖν, καὶ λόγου καὶ γνώσεως γίνεται μαρτύριον ὑμῖν.— *Μαρτύριον Χριστοῦ.*] Ἡ τὸ ἑκούσιον καὶ σωτήριον πάθος, καὶ ἁπλῶς ἡ ὑπὲρ ἡμῶν τοῦ Λόγου κένωσις καὶ ἐνανθρώπησις· ἢ, *μαρτύριον Χριστοῦ*, ἡ τῶν σημείων χάρις καὶ δωρεά· καὶ γάρ εἰσι ταῦτα μαρτύριον τῆς εἰς Χριστὸν πίστεως, καὶ τῆς θεότητος αὐτοῦ καὶ μεγαλειότητος. Ἦσαν γὰρ ἦσαν οἱ Κορίνθιοι πλουτοῦντες ἐν τούτοις. Ἐπεὶ οὖν, φησι, ταῦτα ὁρᾶται ἐν ὑμῖν ἐν ἀφθονίᾳ καὶ βεβαιώσει, καλῶς προείπομεν, ὅτι ἐν παντὶ λόγῳ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάσῃ γνώσει ἐπλουτίσθητε. Μέρος γὰρ τῶν χαρισμάτων ὅ, τε λόγος καὶ ἡ γνῶσις· ὁ μὲν λόγος, συντελῶν εἰς τὸ διδάσκειν· ἡ δὲ γνῶσις, εἰς τὸ συνιέναι. Καὶ τὸ, *Ὥστε μὴ ὑστερεῖσθαι ὑμᾶς*, πρὸς τὴν δευτέραν ἑρμηνείαν μᾶλλον συνάδει.

7 Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν
8 Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ζητεῖται ἐνταῦθα· Τί δή ποτε, ἀνωτέρω μὲν εἰρηκὼς περὶ αὐτῶν, ὅτι *Ἐπλουτίσθητε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει*, καὶ νῦν πάλιν, *Ὥστε μὴ ὑστερεῖσθαι ὑμᾶς ἐν μηδενὶ χαρίσματι*, προϊὼν σαρκικοὺς αὐτοὺς λέγει; *Ἔτι γὰρ σαρκικοί ἐστε*, φησιν (α). Ὅτι πρὸς πολλοὺς μὲν ταῦτα, πρὸς πολλοὺς δὲ ἐκεῖνα ἥρμοζεν. Οὐδὲ γὰρ ἐν τοσαύτῃ ἐκκλησίᾳ εἶχον εἶναι ἢ πάντες τέλειοι, ἢ πάντες ἀτελεῖς καὶ νήπιοι. *Ἀπεκδεχομένους τὴν ἀποκάλυψιν.*] Ὥστε ὑμᾶς μὴ ὑστερηθῆναι ἐν μηδενὶ χαρίσματι, ἐν τῷ ἀπεκδέχεσθαι τὴν ἀποκάλυψιν τοῦ Χριστοῦ· χρεία γὰρ ὑπομονῆς εἰς τὸ ἐκδέξασθαι. *Ἀποκάλυψιν* δέ φησι, τὴν δευτέραν παρουσίαν, δεικνὺς, ὅτι καὶ νῦν ἐστὶν, εἰ καὶ μὴ ὁρᾶται σαρκικοῖς ὀφθαλμοῖς. *Ὃς καὶ βεβαιώσει ὑμᾶς.*] Ἐν τῷ εἰπεῖν, *βεβαιώσει*, δείκνυσιν αὐτοὺς σαλευομένους. *Ἀνεγκλήτους* δὲ εἰπὼν, δηλοῖ ὄντας νῦν ὑπὸ ἔγκλημα. *Ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου.*] Ἀπάγων τῶν ἀνθρωπίνων, φοβεῖ αὐτοὺς, τῆς ἡμέρας ὑπομιμνήσκων τῆς κρίσεως.

9 Πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Τουτέστιν, *ἀληθὴς*· εἰ δὲ ἀληθὴς, πληρώσει πάντως ἃ ἐπηγγείλατο. *Δι' οὗ ἐκλήθητε.*] Οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν υἱὸν, εἰ μὴ ἑλκύσει αὐτὸν ὁ πατὴρ (β)· ὥσπερ οὐδὲ πρὸς τὸν πα-

(α) Α' Κορ. Γ', 3. (β) Ἰωαν. ϛ', 44.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρα ἔρχεταί τις, εἰ μὴ ᾧ ἂν ἀποκαλύψῃ ὁ υἱός (α). *Δι' οὗ ἐκλήθητε·* ἀντὶ τοῦ, *ὑφ' οὗ ἐκλήθητε*, οἷον, ὁ καλέσας ὑμᾶς. Καὶ ἐπίστησον, πῶς τὸ, *δι' οὗ*, τίθησιν ὁ θεῖος Παῦλος καὶ ἐπὶ τοῦ πατρὸς, καὶ ἀντὶ τίνος τίθησιν αὐτὸ, ἵν', ὅταν καὶ ἐπὶ τοῦ υἱοῦ αὐτὸ ἀκούσῃς, μὴ παραλλαγὴν οὐσίας, ἀλλὰ ταυτότητα ἐννοῇς. *Ἐκλήθητε.*] Οὐδὲ γὰρ ἀφ' ἑαυτῶν ἤκατε, ἀλλὰ χάριτι ἐκλήθητε. *Εἰς κοινωνίαν.*] Βαβαί! τί εἶπεν; Εἰς κοινωνίαν ἐκλήθητέ, φησι, τοῦ μονογενοῦς· ἵνα καὶ ἐν τῇ βασιλείᾳ καὶ ἐν τῇ δόξῃ κοινωνοὶ γενώμεθα αὐτοῦ· ὅπερ ἀλλαχοῦ φησιν· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν (β). Εἰς κοινωνίαν ἐκλήθητε Χριστοῦ· τί ἄλλους καὶ ἄλλους ἐφιστῶντες ἑαυτοῖς προστάτας καὶ διδασκάλους, τῆς θαυμασίας ἐκείνης καὶ σωτηρίου κοινωνίας ἑαυτοὺς φιλονεικεῖτε διασχίζειν καὶ ἀποτέμνεσθαι;

ΚΕΦΑΛΑΙΟΝ Α'.

Μετὰ τὸ προοίμιον, περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ· ἐν ᾧ, περὶ θείας σοφίας· περὶ λειτουργιῶν· περὶ τοῦ μὴ κρίνειν διδασκάλους· περὶ τοῦ μὴ ἐπαίρεσθαι.

10 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ
λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε
δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοὶ καὶ ἐν τῇ αὐτῇ
11 γνώμῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου,
12 ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ

(α) Ματθ. ΙΔ', 27. (β) Β' Τιμ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· Ἐγὼ μὲν εἰμι Παύλου· ἐγὼ δὲ, Ἀπολλώ· ἐγὼ δὲ, Κηφᾶ· ἐγὼ
13 δὲ, Χριστοῦ. Μεμέρισται ὁ Χριστός;

[Ἐπειδὴ μέλλει διαλεχθῆναι αὐτοῖς πληκτικώτερον, προλαβὼν, παρακαλεῖν φησι διὰ τοῦ Χριστοῦ, τουτέστιν (1),] Ἐγὼ παρακαλῶν, οὐκ εἰμὶ ἱκανὸς πεῖσαι. *Διὰ τοῦ Χριστοῦ* οὖν παρακαλῶ, τουτέστιν, αὐτὸς ὁ Χριστὸς, ὁ ὑβρισμένος, ποιεῖται τὴν παράκλησιν. *Καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα.*] Τὸ γὰρ εἰς πολλὰ ὑμᾶς γενέσθαι, οὐκ ἐποίησε πολλὰ μέρη τέλεια, ἀλλὰ τὸ τέλειον μέρος, τὴν ἐκκλησίαν, ἔσχισε. *Κατηρτισμένοι.*] Ἀπηρτισμένοι, τέλειοι. *Ἐν τῷ αὐτῷ νοΐ.*] Ἐπειδὴ ἄνω εἶπεν· *Ἵνα τὸ αὐτὸ λέγητε·* ἵνα μὴ νομίσωσιν, ἄχρι ῥημάτων δεῖν εἶναι τὴν ὁμόνοιαν, ἐπάγει, *ἐν τῷ αὐτῷ νοΐ*, τουτέστι, καὶ λόγοις καὶ ἔργοις, καὶ γνώμῃ, καὶ διανοίᾳ γίνεσθε ὁμόφρονες. *Ἐδηλώθη γάρ μοι.*] Ἵνα μὴ ἀρνήσωνται, καὶ μάρτυρας παράγει τοὺς τῆς Χλόης. *Ἀδελφοί μου.*] Κἂν γὰρ δῆλον ᾖ τὸ ἁμάρτημά, φησιν, ἀδελφοί μου ἐστέ. Τὸ δὲ, *μοῦ*, διαθέσεώς ἐστιν. *Ὑπὸ τῶν Χλόης.*] Οἰκείων, δηλαδή. Οἰκία τις ἦν ἐν Κορίνθῳ οὕτως ἐπονομαζομένη Χλόης. Οὐκ εἶπε δὲ ὀνομαστὶ τοὺς δηλώσαντας, ἵνα μὴ πρὸς αὐτοὺς ἐκπολεμηθῶσιν. *Ὅτι ἔριδες.*] Τὰ παρὰ τῶν δηλωσάντων ἀπαγγέλλων, ἔριδας εἶπεν, ἵνα μὴ ἐκθηριώσῃ αὐτοὺς πρὸς τοὺς ἀπὸ τῆς Χλόης· ὅταν δὲ ἀπὸ τοῦ οἰκείου λέγῃ προσώπου τὸ γεγονὸς, *σχίσματα* αὐτὰ καλεῖ, ὅπερ πολλῷ χεῖρον τῆς ἔριδος. *Λέγω δὲ τοῦτο.*] Σαφηνείας ἕνεκεν τὸ, *Λέγω δὲ τοῦτο*, ὡς εἰ εἶπεν, Λόγου χάριν, τοιαῦτα ποιεῖτε. *Ὅτι ἕκαστος ὑμῶν λέγει.*] Οὐκ ἔλεγον δὲ ἐκεῖνοι οὕτως· Ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ, Ἀπολλώ· ἀλλὰ λόγου χάριν οὕτως εἶπεν αὐτὸς, αἰνιττόμενος οἷς προσερρύησαν πλουσίοις καὶ σοφοῖς· ἐν ταυτῷ δεικνὺς, ὅτι εἰ τὸ οὕτω λέγειν Παύλου καὶ Ἀπολλὼ οὐκ ἀνεύθυνον, πολλῷ μᾶλλον τὸ λέγειν σοφῶν εἶναι ἢ πλουσίων, οὓς διδασκάλους

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοῖς ἐκάθισαν. *Ἐγὼ δὲ Κηφᾶ.*] Προτιμῶν τὸν Πέτρον, ὕστερον τέθεικεν αὐτόν· ἐπειδὴ κατηγορίας αὐτῶν ἕνεκεν ταῦτα λέγει. *Ἐγὼ δὲ Χριστοῦ.*] Οὐκ ἐγκαλεῖ, ὅτι λέγουσιν· *Ἐγὼ δὲ Χριστοῦ*· ἀλλὰ, διότι μὴ πάντες τοῦτο λέγουσι, μέμφεται. *Μεμέρισται ὁ Χριστός;*] Κατετέμετε τὸν Χριστόν; διείλετε αὐτοῦ τὸ σῶμα; Φόβου δὲ γέμει τὸ ῥῆμα (1). Ἢ οὕτω· Διεμερίσατο τὴν βασιλείαν καὶ τὴν ἐκκλησίαν μετὰ ἀνθρώπων ὁ Χριστός; Μὴ συγκληρονόμους ἔχει ὁ Χριστὸς, ἵνα μερίσῃ τις μετ' αὐτοῦ τοὺς σωζομένους; Μή τινας ἔχει κοινωνοὺς, καὶ σὺν αὐτῷ τὴν οἰκουμένην πληρώσαντας; Χριστός ἐστιν ὁ ὑπὲρ τοῦ κόσμου ἀποθανὼν, ὑμῶν δὲ οὐδείς. Ἢ, *Μεμέρισται ὁ Χριστὸς*, κατὰ ἀπόφασιν ἀναγνωστέον· τουτέστι, κατὰ μερίδα τινὲς μὲν τὸν Χριστὸν ἔλαχον, ἄλλοι δὲ ἄλλους· οἱ μὲν, Κηφᾶν· οἱ δὲ, Ἀπολλὼ, ὃς λέγεται πρῶτος ἐπίσκοπος γεγονέναι Κορινθίων.

13 Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα
14 Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ τῷ θεῷ, ὅτι οὐ-
15 δένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον· ἵνα
16 μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα,
17 εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

Λοιπὸν ἀναιρεῖ τὸ ἄτοπον, καὶ τὸ πᾶν ἐφ' ἑαυτὸν φέρει, ἵνα μὴ δόξῃ κατὰ φθόνον ἀλλοτρίων ὀνομάτων μεμνῆσθαι. Οὐκ εἶπε δέ· Μὴ Παῦλος ἐποίησεν ἢ ἔπλασεν ὑμᾶς; ἀλλ', ὃ πολλῷ πλέον τὴν αὐτοῦ φιλανθρωπίαν ἐδήλου, τὸν σταυρὸν εἰς μέσον παρῆξε, καὶ τὸ τῶν ἁμαρτιῶν καθάρσιον βάπτισμα, δι' ὧν εὕρομεν τὴν βασιλείαν τοῦ θεοῦ. Ἐκ προοιμίων δὲ τῆς ἐπιστολῆς ἄχρι τοῦ τέλους, κατὰ στίχον σχεδὸν, τοῦ ὀνόμα-

(1) Θυμοῦ δὲ γέμει ὁ λόγος, παρὰ τῷ Θεοφυλάκτῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος τοῦ Χριστοῦ μέμνηται, ἵνα, τῇ πυκνότητι τῆς σωτηριώδους προσηγορίας ταύτης, τὴν ὑπεροψίαν καὶ τὴν τῆς ἀπονοίας σκηπεδόνα ἐπαντλῶν ἐκκαθάρῃ. *Εὐχαριστῶ τῷ θεῷ.*] Ἐβάπτισα μὲν καὶ ἐγώ, φησίν· ἀλλ' εἰς τὸ τοῦ Χριστοῦ ὄνομα. Τί εὐχαριστεῖς, Παῦλε, ὅτι οὐδένα αὐτῶν ἐβάπτισας, πλὴν ὧν εἶπας; μὴ τὸ βάπτισμα ἐν βραχεῖ τιθέμενος λόγῳ; Μὴ γένοιτό! φησιν· ἀλλὰ διὰ δύο ταύτας αἰτίας εὐχαριστῶ· μίαν μέν, ὅτι μὴ βαπτίζων, οὐδὲ ἔδωκά τισιν ἀφορμὴν λέγειν, ὅτι διὰ τοῦτο ἐβάπτισα πολλούς, ἵνα, χορὸν ἐμαυτῷ μαθητῶν συστησάμενος, ὄνομα ἐμαυτῷ περιποιήσωμαι διδασκάλου καὶ καθηγητοῦ· δι' ἑτέραν δὲ, ὅτι οὐδ' εἶχον ἐπὶ τοῦτο παρὰ Χριστοῦ ἀποστολήν· ἅμα δεικνὺς, ὅτι, εἰ ἐγὼ, ὁ ἀποσταλεὶς παρὰ Χριστοῦ κηρύσσειν καὶ καταγγέλλειν τὸ αὐτοῦ εὐαγγέλιον, μετὰ φειδοῦς καὶ σπανίως ἐβάπτισα· (καίτοι συγγενές ἐστι καὶ συνέχεται τὸ βάπτισμα τοῦ κηρύγματος·) ὑμεῖς, οἱ μηδόλως ἀποσταλέντες, πῶς τολμᾶτε διδασκάλους ἑαυτοὺς ἀποφαίνειν; πῶς δὲ καὶ βαπτίζετε; ἢ ὅλως, τί ποιεῖτε ὧν οὐκ ἐλάβετε χάρισμα ἢ ἀποστολήν; *Ὅτι οὐδένα ὑμῶν ἐβάπτισα.*] Μέγα τινὲς ἐφρόνουν, ἀνθ' ὧν ἐβάπτιζον· καί φησι· Τί μέγα φρονοῦσιν; ἐγὼ εὐχαριστῶ μὴ βαπτίσας. Τοῦτο δὲ λέγει, τὴν ἐκείνων ἀπόνοιαν καθαιρῶν, οὐ τὸ βάπτισμα εὐτελίζων, μὴ γένοιτο! *Ἵνα μή τις εἴπῃ.*] Διὰ τί δὲ εὐχαριστεῖς μὴ βαπτίσας; *Ἵνα μή τις εἴπῃ, φησὶν, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.* Εἰ γὰρ τῶν εὐτελῶν ἐκείνων βαπτισάντων, τοσαύτη γέγονε διχόνοια, ὡς τῷ ἐκείνων ὀνόματι ἐπικαλεῖσθαι, τί ἂν γέγονεν, εἰ Παῦλος ἦν βεβαπτικὼς ἅπαντας; *Λοιπὸν οὐκ οἶδα.*] Ἐκ τούτου δείκνυσιν, ὅτι οὐδὲ περισπούδαστον ἦν αὐτῷ τὸ βαπτίζειν· ὅθεν οὐδὲ μέμνηται. Τοῦτο δὲ λέγει, καταστέλλων τὸ φρόνημα τῶν ἐπὶ τῷ βαπτίζειν μέγα φρονούντων. *Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν.*] Τίνος οὖν ἕνεκεν ἐβάπτισεν, εἰ μὴ ἐπὶ τούτῳ ἀπέσταλτο; Καὶ φαμὲν, ὅτι ἐπὶ τῷ εὐαγγελίζεσθαι μὲν ἀπεστάλη, οὐκ ἐκωλύθη δὲ βαπτίζειν· ἐκ φιλοτι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιμίας δὲ καὶ τοῦτο κἀκεῖνο ἐποίει. *Ἀλλ' εὐαγγελίζεσθαι.*] Τοῦτο γὰρ ἦν ἐπίπονον, καὶ σιδηρᾶς δεόμενον ψυχῆς. Ὁ μὲν γὰρ βαπτίζων, ἤδη πεπιστευκότας βαπτίζει· ὁ δὲ Παῦλος εὐαγγελιζόμενος, ἀπίστοις εὐηγγελίζετο, παρ' οἷς καὶ ἐκινδύνευεν. *Οὐκ ἐν σοφίᾳ λόγου.*] Οὐκ εἶπεν, *Οὐκ ἐν σοφίᾳ γνώσεως, ἀλλ', Οὐκ ἐν σοφίᾳ λόγου.* Καλῶς· καὶ γὰρ ἐν σοφίᾳ γνώσεως εὐηγγελίζετο. Διὸ καὶ ἀλλαχοῦ λέγει· *Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει* (α). Τί γάρ ἐστι σοφώτερον, ἢ εἰς γνῶσιν ἄμεινον καὶ λαμπρότερον, τοῦ μαθεῖν καὶ διδάξαι, ὅτι σταυρῷ καὶ θανάτῳ κατήργηται θάνατος; καὶ τὸ ἡμέτερον τῶν ἀνθρώπων γένος, μακρᾶς καὶ χαλεπωτάτης τῆς τοῦ διαβόλου τυραννίδος ἠλευθέρωται; *Ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.*] Ἵνα μὴ βλάβην καὶ ἐλάττωσιν ὑπομείνῃ ὁ σταυρὸς, ἤτοι, τὸ περὶ τοῦ σταυροῦ κήρυγμα. Εἰ γὰρ ἐν σοφίᾳ λόγου ἐκήρυξαν οἱ ἀπόστολοι, εἶχον ἄν τινες λέγειν, διὰ τὴν τῶν λόγων πειθὼ πεπεῖσθαι τοὺς ἀνθρώπους, οὐ διὰ τὴν δύναμιν τοῦ κηρυσσομένου Χριστοῦ, ὃ ἦν βλάβη τοῦ κηρύγματος καὶ τοῦ σταυροῦ. Νῦν δὲ τὸ ἀγραμμάτοις καὶ ἰδιώταις ἀνθρώποις τὸν κόσμον πεπιστευκέναι τὴν τοῦ Χριστοῦ δύναμιν ἀνακηρύττει. — *Ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.* Κενοῦται γὰρ καὶ κατευτελίζεται ὁ σταυρὸς τοῦ Χριστοῦ, ἤτοι, τὸ ὑπὲρ ἡμῶν ἑκούσιον πάθος αὐτοῦ, τοῖς λόγῳ σοφίας καὶ πιθανότητι πειρωμένοις αὐτοῦ τὸ μεγαλεῖον καὶ τὴν θειότητα παραστῆσαι. Πῶς γὰρ ἐστι τὸ ὑπὲρ λόγον καὶ φύσιν, λόγοις καὶ τέχνῃ τινὶ παραστῆσαι; τίς δὲ καὶ χρεία λόγων καὶ πειθοῦς, τῶν σημείων καὶ θαυμάτων μεῖζον καὶ φωνῆς ἁπάσης κεκραγότων, καὶ πάντα τὸν βουλόμενον ἐπὶ τὴν εὐσέβειαν καὶ τὸ κήρυγμα χειραγωγούντων;

18 Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν, δύ-

(α) Β' Κορ. ΙΑ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 ναμις θεοῦ ἐστί. Γέγραπται γάρ· « Ἀπολῶ τὴν
σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν
20 ἀθετήσω (α). » Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

Εἰκὸς εἶναι παρ' αὐτοῖς ἀπίστους τινὰς, οἳ διέσυρον τὸν σταυρόν. Φησὶν οὖν· Μηδὲν ξενισθῆτε· τοῖς γὰρ ἀπολλυμένοις, τὰ εἰς σωτηρίαν δοθέντα παρὰ θεοῦ, μωρία εἶναι δοκεῖ. Δείκνυσι λοιπὸν, ὅτι οὐδὲ ἐνῆν, λόγῳ σοφίας προσαγαγέσθαι τινὰς τῷ κηρύγματι· ὁ γὰρ περὶ τοῦ σταυροῦ λόγος, οὐ μόνον οὐ προσάγει, ἀλλὰ καὶ τοῖς ἀπολλυμένοις μωρία δοκεῖ. Εἰ δὲ τοῦτο, τί ἂν τις ἔχοι λέγειν περὶ τοῦ κηρύγματος, μὴ πάντα τῆς χάριτος αὐτῷ χορηγούσης; *Τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις θεοῦ ἐστί.*] Οἱ γὰρ μὴ ἐξεστηκότες, ἀλλ' οἷς ἐστὶ σωτηρίας ἐλπὶς, ἐκ τούτου μάλιστα γινώσκομεν τὴν δύναμιν καὶ τὴν σοφίαν τοῦ Θεοῦ· δύναμιν μὲν, ὅτι θανάτῳ θάνατον ἔλυσε· σοφίαν δὲ, ὅτι τούτῳ τῷ τρόπῳ ἀπολωλότας διέσωσε. *Γέγραπται γὰρ,* καὶ τὰ ἑξῆς.] Εἰπὼν *ἀπολλυμένους* τοὺς ἀπίστους σοφοὺς, κατασκευάζει τοῦτο ἀπὸ τῆς Γραφῆς· ἐκείνη γὰρ εἶπεν, ὅτι· Ἀπολῶ τὴν σοφίαν *τῶν σοφῶν*, τῶν ἔξω· τουτέστιν, ἀνόνητον αὐτὴν ἀποδείξω· καὶ τὴν σύνεσιν τῶν δοκούντων συνιέναι καὶ νοεῖν ἀθετήσω. *Ποῦ σοφός;*] Λαβὼν παρρησίαν ἀπὸ τῆς Γραφῆς, λοιπὸν καθάπτεται αὐτῶν· *Ποῦ σοφός;* περὶ Ἑλλήνων λέγων· *Ποῦ γραμματεύς;* περὶ Ἰουδαίων. *Ποῦ συζητητής.*] Τουτέστιν, οἱ λογισμοῖς καὶ ἐρεύναις τὰ πάντα ἐπιτρέποντες. Οὗτοι γὰρ πάντες, ὡσανεὶ ἔλεγεν, ἐξαρπάσαι τινὰ τῆς πλάνης οὐκ ἴσχυσαν. *Οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;*] Πάντες γὰρ οἱ δοκοῦντες εἶναι σοφοὶ, ἐμωράνθησαν τῷ μὴ δυνηθῆναι αὐτοὺς εὑρεῖν, ἅπερ ἐκ τῶν ἁλιέων καὶ ἀγραμμάτων κεκήρυκται καὶ πεπίστευται. Πῶς δὲ ἐμώρανε; Τουτέ-

(α) Ἡσ. ΚΘ', 14. ΑΓ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στι, μωρὰν οὖσαν ἤλεγξεν, ὡς μὴ ἰσχύσασαν εὑρεῖν τὸ ἀληθές. —ΑΛΛΟ. *Σοφίαν τοῦ κόσμου τούτου*, οὐ τὴν εὐγλωττίαν καλεῖ· καὶ γὰρ ταύτης χορηγὸς ὁ θεός· αὐτὸς γὰρ καὶ τὰς γλώσσας διεῖλε, καὶ ἑκάστῃ χαρακτῆρας ἰδίους ἀπένειμε. Καὶ τῇ ἑλλάδι τοίνυν φωνῇ αὐτὸς ἔδωκε τὴν λαμπρότητα. Οἱ δέ γε οὐκ εἰς δέον ταύτῃ χρησάμενοι, δέλεαρ αὐτὴν τῆς ἀπάτης ἀπέφηναν, καὶ πιθανὴν τὴν μυθολογίαν τῆς πλάνης εἰργάσαντο. Κατηγορεῖ τοίνυν οὐ τῆς εὐγλωττίας, ἀλλὰ τῆς ἐν αὐτῇ κρυπτομένης ψευδολογίας. Ταύτην ἐλεγχθῆναι λέγει, καὶ μωρὰν ἀποφανθῆναι. (Θεοδωρήτου)

21 Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεὸν ,εὐδόκησεν ὁ θεὸς, διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πι-
22 στεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι,
23 καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν, σκάνδαλον, Ἕλλησι δὲ, μωρίαν·

Ἐν τῇ *σοφίᾳ*.] Τῇ διὰ τῶν κτισμάτων φαινομένῃ, οἷον οὐρανοῦ καὶ γῆς. Ἐπειδή, φησιν, οὐκ ἔγνω ὁ κόσμος τὸν θεὸν διὰ τῆς τοιαύτης αὐτοῦ σοφίας, τῆς ἐνθεωρουμένης τοῖς κτίσμασιν, εὐδόκησεν ὁ θεὸς, διὰ τοῦ σταυροῦ σῶσαι τοὺς πιστεύοντας, ὅστις μωρία τοῖς ἀπίστοις καὶ ἀπολλυμένοις εἶναι δοκεῖ. *Σοφίαν* δὲ, καὶ τὴν ἀνθρωπίνην ὀνομάζει σύνεσιν, καὶ τὴν εὐγλωττίαν, ἤτοι αὐτὸ τὸ τῆς λέξεως ἀνθηρόν· ἵνα διδάξῃ, ὅτι νοῦ ποιητὴς ὁ θεὸς, καὶ φρονήσεως χορηγὸς καὶ εὐγλωττίας· εἰ καί τινες αὐτοῖς ἐφ' ἃ μὴ δεῖ ἐχρήσαντο. *Μωρίαν* δὲ *τοῦ κηρύγματος*, τὴν τῶν λέξεων ἁπλότητα φησίν· ἰδιῶται μὲν γὰρ τῷ λόγῳ ἦσαν οἱ θεσπέσιοι μαθηταὶ, πλούσιοι δὲ τῇ γνώσει. *Καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσιν*.] Ἐάν, φησιν, εἴπωμεν Ἰουδαίῳ, Πίστευσον, εὐθὺς σημεῖα καὶ τέρατα ἐπιζητεῖ γενέσθαι πρὸς σύστασιν τοῦ κηρύγματος· ἡμεῖς δὲ Χριστὸν κηρύσσομεν ἐσταυρωμένον· ὅπερ οὐ μόνον οὐκ ἔστι σκ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μείων ἐπίδειξις, ἀλλὰ καὶ ἀσθενείας, ὅσον κατὰ τὸ φαινόμενον. Καὶ ὅμως τούτῳ τῷ δοκοῦντι ἀσθενεῖ καὶ ἐναντίῳ, ὡς πρὸς ἃ ἀπαιτοῦσιν, ἐνάγονται πρὸς τὴν πίστιν, ὅπερ μεγάλην δείκνυσι τοῦ Θεοῦ τὴν δύναμιν. Πάλιν, Ἕλληνες σοφίαν ζητοῦσι παρ' ἡμῶν· ἀλλὰ κἀκείνοις ἡμεῖς τὸν σταυρὸν κηρύσσομεν· ὅπερ, κατὰ τὸ φαινόμενον, μωρίας εἶναι δοκεῖ, Θεὸν κηρύσσειν ἐσταυρωμένον· ἀλλὰ καὶ οὕτω πείθονται. Ἆρα οὐ μεγίστου θαύματος τοῦτο, τὸ ἐκ τῶν ἐναντίων, ὡς πρὸς ἃ αὐτοὶ ἐπιζητοῦσι, πείθεσθαι αὐτούς; Ἢ καὶ οὕτω νοητέον· Ἐπειδή, φησι, καὶ Ἰουδαῖοι σημεῖα ἐπιζητοῦσι, καὶ Ἕλληνες σοφίαν, εὑρίσκουσιν ἀμφότεροι, ἃ ζητοῦσιν, εἰς τὸν Χριστόν. Πῶς; Τοῖς μὲν γὰρ ἀπίστοις Ἰουδαίοις, σκάνδαλόν ἐστι, καὶ τοῖς ἀπίστοις Ἕλλησι, μωρία δοκεῖ· οἱ δέ γε κλητοὶ καὶ ἐπίλεκτοι ἐξ αὐτῶν, εὑρίσκουσιν αὐτὸν ὄντα δύναμιν καὶ σοφίαν τοῦ πατρός. Τί λέγεις, ὦ Ἰουδαῖε; Σημεῖα ἐπιζητεῖς; Ἰδοὺ ὁ Χριστὸς Θεοῦ δύναμίς ἐστιν ἡ τῶν σημείων ποιητική. Καὶ σὺ τί λέγεις, ὦ Ἕλλην; Σοφίαν ζητεῖς; Ἔχεις τὸν Χριστόν, σοφίαν ὄντα τοῦ πατρός. Ἐπεὶ οὖν σημεῖα καὶ σοφίαν ἐπιζητούμεθα, κηρύσσομεν τὸν Χριστόν, ἀμφότερα ὄντα τοῖς κλητοῖς· οἵτινες καὶ εὑρίσκοντες ἃ ζητοῦσι, πιστεύουσιν· οἱ δέ γε ἄπιστοι, σκανδάλου καὶ μωρίας ἄξια τὰ ἀξιοθαύμαστα νομίζουσι. Καὶ τί θαυμαστόν; Καὶ γὰρ ὁ αἰσθητὸς ἥλιος, σκοτεινὸς τοῖς ἀμβλυώττουσι τὰς ὄψεις ὁρᾶται.—*Ἰουδαίοις μὲν, σκάνδαλον.*] Σκάνδαλον εἶναι δοκοῦντα κατὰ τὴν πρώτην ὄψιν. Τίς γὰρ τῶν ἀπίστων οὐκ ἂν σκανδαλισθείη καὶ ἀπιστήσῃ; *Ἕλλησι δὲ, μωρίαν.*] Οἷον εἶναι δοκεῖ, Θεὸν ἐσταυρωμένον κηρύσσεσθαι.

24 Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι,
25 Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί.

Εἶναι μὲν δοκεῖ, φησι, σκάνδαλον καὶ μωρία· πλὴν αὐτοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτοις δοκεῖ ὁ Χριστὸς καὶ τὰ αὐτοῦ πάθη, εἶναι δύναμις Θεοῦ καὶ σοφία. Ἆρα οὐ θαυμαστὸν τοῦτο; *Αὐτοῖς δὲ τοῖς κλητοῖς.*] Κλητούς φησιν, οὓς ὁ Θεὸς ἐκάλεσε διὰ τὸ ἀξίους εἶναι. *Ὅτι τὸ μωρὸν τοῦ θεοῦ.*] Ὁ σταυρὸς δοκεῖ μὲν μωρόν· πλὴν σοφώτερον τῶν ἀνθρώπων ἐστί. Πῶς; Οἱ μὲν γὰρ σοφοὶ καὶ φιλόσοφοι, περὶ ψυχρὰ καὶ ἀνόνητα ἠσχολήθησαν· ὁ δὲ σταυρὸς, τὸν κόσμον ἔσωσε. Ἢ καὶ οὕτω· Βούλει μαθεῖν, ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί; καὶ τὸ ἀσθενὲς, ἰσχυρότερον; Ἀπ' αὐτῆς καὶ μόνης τῆς κλήσεως ῥᾴον ἐστὶ τοῦτο κατανοῆσαι. Βλέπε γάρ μοι! Οὐχὶ πολλοὶ σοφοὶ ἦσαν τὴν ἐν κόσμῳ σοφίαν; οὐχὶ πολλοὶ δυνατοὶ ταύτην τὴν δύναμιν; οὐχὶ πολλοὶ εὐγενεῖς τὴν ἐπίκαιρον εὐγένειαν; Τί οὖν; μὴ τούτους ἐποιήσατο ὁ Χριστὸς ἑαυτοῦ μαθητὰς, καὶ δι' αὐτῶν ἐκλήθητε ὑμεῖς; Οὐδαμῶς! Ἀλλὰ τοὐναντίον. Ἀλλὰ τὰ μωρὰ κατὰ κόσμον, καὶ τὰ ἀσθενῆ, καὶ τὰ ἀγενῆ, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο, ἀνθρώπους ἁλιεῖς, πένητας, ἀγραμμάτους, καὶ δι' αὐτῶν ἐποιήσατο τὴν κλῆσιν ὑμῶν πάντων, καὶ σοφῶν καὶ ἰδιωτῶν, καὶ πενήτων καὶ πλουσίων, καὶ ἀσθενῶν καὶ ἰσχυρῶν, καὶ κατήσχυνε τοὺς εὐγενεῖς, καὶ ἰσχυροὺς, καὶ σοφούς. Ὅτι, ὅπερ αὐτοὶ οὐκ ἂν οὐδὲ ἐπιχειρῆσαι ἐτόλμησαν, κόσμον ὅλον μεταστῆσαι, τοῦτο τὰ ἀσθενῆ καὶ τὰ μωρὰ περιφανῶς κατεπράξαντο. Ἆρ' οὐ κατησχύνθησαν οἱ δοκοῦντες εἶναι σοφοὶ καὶ δυνατοί; Ἆρ' οὐχὶ ἐναργῶς ἀποδέδεικται, ὅτι τὸ μωρὸν καὶ ἀσθενὲς τοῦ Θεοῦ, σοφώτερον καὶ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί; Καὶ γὰρ μυρίων ἐπιχειρησάντων σβέσαι τὸ ὄνομα τοῦ Χριστοῦ, οὐ μόνον οὐκ ἐσβέσθη, ἀλλὰ καὶ πλέον ἀνθεῖ διὰ τοῦ ἀσθενοῦς εἶναι δοκοῦντος σταυροῦ, τοὺς ἰσχυροὺς τροπωσαμένου.—ΑΛΛΟ. Οὐ μόνον, ὅτι πᾶσα ἀνθρωπίνη διάνοια, πλάνη τις, κρινομένη πρὸς τὸ σταθερὸν καὶ μόνιμον τῶν θείων καὶ τελειοτάτων νοήσεων· ἀλλ' ὅτι καὶ σύνηθές ἐστι τοῖς θεολόγοις, ἀντιπεπονθότως ἐπὶ Θεοῦ τὰ τῆς γερήσεως ἀποφάσκειν. Οὕτω καὶ *ἀόρατον* φησὶ τὰ λόγια, τὸ παμφαὲς φῶς· καὶ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολυΰμνητον καὶ πολυώνυμον, *ἄῤῥητον* καὶ *ἀνώνυμον*· καὶ τὸν πᾶσι παρόντα, καὶ ἐκ πάντων εὑρισκόμενον, *ἀκατάληπτον* καὶ *ἀνεξιχνίαστον*.

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ, οὐ
27 πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ
28 τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ
29 ὄντα καταργήσῃ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ.

Ἐπισκέψασθέ, φησι, προσέχετε, πῶς μεγάλα δύναται ἡ κλῆσις· ὅτι ἰδιώτας, οὕτω σοφὰ δόγματα μαθεῖν παρεσκεύασεν. *Ὅτι οὐ πολλοὶ σοφοί.*] Ἐν τῇ κλήσει ταύτῃ καὶ τῇ πίστει οὐκ ἦλθον πολλοὶ σοφοί. Προσέθηκε δὲ τὸ, *οὐ πολλοὶ*, ὅτι ἦσαν καὶ σοφοί τινες πιστεύσαντες, οἷον ὁ Ἀρεοπαγίτης (1), ὁ Ἀνθύπατος (2), καὶ ἕτεροι. Καὶ πανταχοῦ τὸ, *οὐ πολλοὶ*, διὰ τοῦτο πρόσκειται, ὅτι ἦσαν τινὲς δυνατοὶ καὶ εὐγενεῖς πιστεύσαντες. *Κατὰ σάρκα.*] Κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον καὶ τὴν ἔξωθεν παίδευσιν. Οὗτοι γὰρ μάλιστα μωροὶ, οἱ πεπιςευκότες ἑαυτοῖς, ὅτι εἰσὶ σοφοί· διὸ καὶ δυσαποσπάστως ἔχουσι πρὸς τὰ ἴδια δόγματα. *Οὐ πολλοὶ δυνατοί.*] Καὶ γὰρ οἱ δυνατοὶ καὶ οἱ εὐγενεῖς, τύφου πεπληρωμένοι, οἱ μὲν διὰ τὸν πλοῦτον, οἱ δὲ, διὰ τὸ γένος, ἐξέλκουσιν ἑαυτοὺς τῆς θεογνωσίας, καὶ οὐχ αἱροῦνται τῶν παρόντων καταφρονεῖν. *Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου.*] Καὶ πανταχοῦ τὰ ἀπόβλητα καὶ τὰ εὐτελῆ προσελάβετο, ἵνα τοὺς δυνατοὺς ἀπίστους καταισχύνῃ. Ἀκούων δὲ τὸ, *ἐξελέξατο*, μὴ τοῦτο ὑποπτεύσῃς, ὅτι ἔργον ἔσχεν ὁ θεὸς, τοὺς μὲν πτωχοὺς λαβεῖν, τοὺς δὲ δυνάστας ἀπώσασθαι· ἀλλ' ὅτι οἱ εὐτελεῖς

(1) Πραξ. ΙΖ', 34. (2) Πραξ. ΙΓ', 7. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσέδραμον μᾶλλον τῇ πίστει· οἱ δὲ ἐν δυναστείαις ὄντες καὶ σοφίᾳ, ἑαυτοὺς ἀπεσχοίνισαν, ἀπαξιώσαντες παρὰ ἰδιωτῶν μαθεῖν. Ὡς ὄγε θεὸς, πάντας ἤθελε σῶσαι. *Ἵνα τοὺς σοφοὺς καταισχύνῃ.*] *Καταισχύνῃ* δὲ πανταχοῦ ἀκούων, περὶ ἐκείνων νόει, τῶν οἰκείᾳ σοφίᾳ καὶ πλούτῳ πεποιθότων, καὶ μὴ πιστευσάντων. Αὕτη γὰρ νίκη μεγίστη τοῦ Χριστοῦ, τὸ διὰ τῶν μωρῶν, ἤτοι ἰδιωτῶν, νικῆσαι τοὺς σοφοὺς καὶ καταισχῦναι. Μεγίστη γὰρ τῶν σοφῶν αἰσχύνη, παρὰ ἰδιωτῶν ἡττᾶσθαι· καὶ μεγίστη νίκη Χριστοῦ, ἐν μωροῖς νικᾷν τοὺς σοφούς. *Τὰ ἰσχυρά.*] Τοὺς μέγα φρονοῦντας ἐπὶ δυνάμει καὶ πλούτῳ. *Καὶ τὰ μὴ ὄντα.*] *Μὴ ὄντα* καλεῖ, τοὺς μηδὲν εἶναι νομιζομένους, διὰ τὴν πολλὴν εὐτέλειαν· *ὄντα* δὲ, τοὺς εἶναί τι δοκοῦντας. *Ἵνα τὰ ὄντα καταργήσῃ.*] Ἵνα οὖν τούτους ἀργοὺς καὶ ἀχρείους ἀποδείξῃ, τούτου ἕνεκα τοὺς μηδὲν ὄντας ἐξελέξατο.—*Μὴ ὄντα* μὲν ἐδόκουν εἶναι οἱ ἀπόστολοι, ὡς εὐτελεῖς· *ὄντα* δὲ ἐδόκουν εἶναι οἱ Ἕλληνες, ὡς οἰόμενοι εἶναί τι, μὴ ὄντες δέ.—*Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ.*] Διὰ τοῦτό, φησι, ταῦτα ἐποίησεν ὁ θεὸς, ἵνα παύσῃ αὐτοὺς, τοὺς τὰ τοῦ κόσμου φρονοῦντας, τῆς ἀλαζονείας, καὶ τοῦ νομίζειν ἑαυτοὺς εἶναί τι· καὶ ὑμεῖς, ὦ Κορίνθιοι, ἔτι ἀλαζονεύεσθε, καὶ φρονεῖτε μέγας;

30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· 31 ἵνα, καθὼς γέγραπται· «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω (α).»

Οὐκοῦν οὐδὲ ἡμεῖς, φασὶ, καυχησόμεθα; Ναὶ, ὑμεῖς οἱ πιστοὶ καυχᾶσθαι ὀφείλετε· οὐ γὰρ ἐστὲ ὑμεῖς σάρξ· ἀλλ' ἐξ αὐτοῦ διὰ τῆς παλιγγενεσίας ἐγεννήθητε, καὶ σοφοὶ ἐστέ· ἀλλ' αὐτὸν ἔχοντες σοφίαν, τὸν ἀπολυτρωσάμενον τῆς τυραννίδος· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἁγιάσαντα διὰ τοῦ βα-

(α) Ἱερ. Θ', 23 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πτίσματος· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ δικαιώσαντα διὰ χαρισμάτων. Ἡμεῖς οὖν διὰ ταῦτα ὀφείλομεν καυχᾶσθαι· καυχᾶσθαι δὲ, οὐχ ὅτι κατορθώματί τινι ἡμετέρῳ τούτων ἠξιώθημεν, ἀλλ' *ἐν Κυρίῳ*· ὅτι πάντα τῆς αὐτοῦ δωρεᾶς καὶ φιλανθρωπίας, τῆς εἰς ἡμᾶς, τὰ τηλικαῦτα ὑπάρχει πλεονεκτήματα. *Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστέ.*] Ἤτοι, τοῦ θεοῦ· τουτέστιν, ἀφελόμενος ὑμᾶς τῆς ἀλαζονείας ὁ θεὸς, τέκνα ἴδια πεποίηκε διὰ Ἰησοῦ Χριστοῦ. Τοιγαροῦν ὀφείλομεν καὶ ἡμεῖς φεύγειν τὴν ἀλαζονείαν, ἐχθρὰν οὖσαν τοῦ θεοῦ. *Ὃς, Χριστὸς, ἐγενήθη ἡμῖν ἀπὸ θεοῦ σοφία, καὶ δικαιοσύνη, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.*] Τουτέστιν, ὃς ἐποίησεν ἡμᾶς σοφοὺς, καὶ δικαίους, καὶ ἁγίους, λυτρωσάμενος ἡμᾶς ἀπὸ τῶν τοιούτων ἐναντίων. Ἐπειδὴ γὰρ μωρὰ ἐξελέξατο, σοφὰ αὐτὰ ἐποίησε, καὶ δίκαια, καὶ ἅγια. Οὐκ εἶπε δὲ, ὅτι Ἐσόφισεν ἡμᾶς· ἀλλὰ, δεικνὺς τὸ ἄφατον τῆς δωρεᾶς, φησίν· *Ἐγενήθη ἡμῖν σοφία*, τουτέστιν, ἑαυτὸν ἡμῖν ἔδωκεν. Μεγάλα δὲ εἰπὼν περὶ τοῦ υἱοῦ, οἷον σοφίαν, δικαιοσύνην, ἁγιασμὸν, ἀπολύτρωσιν, προστίθησι τὸ, *ἀπὸ θεοῦ*, ἵνα μὴ ἀγέννητον αὐτὸν ὑπολάβῃς. *Καὶ ἀπολύτρωσις.*] Ὅρα, πῶς ὁδῷ προβαίνει. Πρῶτον γὰρ σοφοὺς ἐποίησεν, ἀπαλλάξας τῆς πλάνης, καὶ τότε δικαίους καὶ ἁγίους τῇ τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσει· καὶ οὕτως ἠλευθέρωσε πάντων τῶν κακῶν· τοῦτό γάρ ἐστιν ἡ *ἀπολύτρωσις*. *Ἵνα, καθὼς γέγραπται· Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.*] Πάντα, φησὶ, γέγονε ταῦτα, ἵνα μηδεὶς ἑαυτὸν εἶναί τι νομίζῃ, μηδὲ εἰς ἑαυτὸν καυχᾶται, ἀλλ' εἰς τὸν θεόν. Λοιδορεῖται δὲ αὐτούς· ἦσαν γάρ τινες, μεγάλα φρονοῦντες.

ΚΕΦ. Β, 1. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοὶ, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλ-
2 λων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναί τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.

Εἰρηκὼς, ὅτι ἡ σοφία ἐμωράνθη, καὶ οἱ δοκοῦντες μωροὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξελέγηναν, προστίθησι· Καὶ ἐγὼ αὐτὸς ὁ κῆρυξ, οὐκ ἦλθον, συλλογισμοῖς παρεσκευασμένος ἡ σοφία ἀνθρωπίνη καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. *Λόγου ἢ σοφίας.*] Τί δέ; εἰ καὶ ἠθέλησεν, ἠδύνατο, εἶποι τις ἄν, ἐλθεῖν ἐν σοφίᾳ; Αὐτὸς μὲν οὐκ ἠδύνατο· ὁ δὲ Χριστὸς ἠδύνατο αὐτὸν ποιῆσαι σοφὸν, εἰ ἠθέλησεν. *Τὸ μαρτύριον τοῦ θεοῦ.*] Θάνατον γὰρ περιήει κηρύσσων Χριστου· διὸ *μαρτύριον* αὐτὸν καλεῖ. *Οὐ γὰρ ἔκρινα.*] Καὶ γὰρ ἐγὼ τοῦτο ἐδοκίμασά, φησιν· (ἐπειδὴ καὶ ὁ Χριστὸς διέταξε·) τὸ ἄνευ εὐγλωττίας κηρύξαι. *Εἰ μὴ Ἰησοῦν Χριστόν.*] Τῆς ἔξωθεν, φησὶν, οὐκ ἐδεήθην σοφίας· ἀλλὰ μόνον Χριστὸν ἐκήρυξα, *καὶ τοῦτον ἐσταυρωμένον*· καὶ ὅμως πάντων τῶν σοφῶν ἐνέφραξα τὰ στόματα.

3 Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ
4 πολλῷ ἐγενόμην πρὸς ὑμᾶς· καὶ ὁ λόγος μου καὶ
τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας
λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως·
5 ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ'
ἐν δυνάμει θεοῦ.

Πῶς γὰρ οὐκ ἀσθενὴς, ὁ ὑπὸ τοσούτων δυναστῶν διωκόμενος; Μονονουχὶ λέγων· τί προσενείματε ἑαυτοὺς, οἱ μὲν, τοῖς σοφοῖς, οἱ δὲ, τοῖς δυνατοῖς; Μή τι ταῦτα συμβάλλεται πρὸς τὸ κήρυγμα, ἡ δοκοῦσα σοφία καὶ ὁ πλοῦτος καὶ ἡ δύναμις; Ἐνθυμήθητε, πῶς ἦλθον κηρύσσων ὑμῖν. Ἐν σοφίᾳ; Ἀλλ' οὐκ ἂν ἔχοιτε τοῦτο εἰπεῖν. Ἀλλ' ἐν δυναστείᾳ; Καὶ μὴν τρέμων, καὶ φόβων καὶ ἀπειλῶν γέμων, οὕτως ἐκήρυσσον ἐν ὑμῖν. Τί οὖν ὑμεῖς τούτων λήθην λαβόντες, σοφοὺς καὶ πλουσίους καὶ δυνάστας ἐπιζητεῖτε, καὶ τούτους ὑμῖν διδασκάλους καὶ καθηγητὰς ἀποφαίνεσθε; *Καὶ ἐν φόβῳ.*] Οὐ μόνον, φησὶν, οὐκ ἐδεήθην σοφίας εἰς τὸ κηρύξαι· ἀλλὰ καὶ ἐν φόβῳ καὶ τρόμῳ ὢν πολλῷ διὰ τοὺς διωγμοὺς, οὕτως ἐκήρυξα· ὅπερ πολλὴν δείκνυσι τὴν δύναμιν τοῦ σταυροῦ, ὅτι ἐν ἰδιωτείᾳ καὶ φόβῳ κηρυσσόμενος, ὅμως ὑπερίσχυσε. Καταβάλλει δὲ τοὺς παρ' αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς σοφοὺς, δεικνὺς, πόσα μὲν ἦν τὰ κωλύματα τοῦ πιστευθῆναι τὸ κήρυγμα, πῶς δὲ ἐπιστεύθη. *Οὐκ ἐν πειθοῖς ἀνθρωπίνης.*] Οὐ γὰρ ἦν τὸ κήρυγμά μου σεσοφισμένον διὰ τῆς ἔξωθεν εὐγλωττίας καὶ παιδεύσεως. *Ἀλλ' ἐν ἀποδείξει πνεύματος.*] Διὰ γὰρ τοῦ ἁγίου Πνεύματος καὶ τῶν ἐξ αὐτοῦ σημείων καὶ δυνάμεων τὰς ἀποδείξεις τοῦ ἀληθῆ λέγειν παρεχόμεθα, καὶ διὰ τῆς εἰς ἡμᾶς ἐνεργούσης δυνάμεως. *Ἵνα ἡ πίστις ὑμῶν.*] Εἰ γὰρ ἦν ἐν σοφίᾳ ἀνθρωπίνῃ, ἴσως ἂν ὑπενοήθη, τῇ εὐγλωττίᾳ περιγενέσθαι· νῦν δὲ τὸ διὰ σημείων καὶ δυνάμεων εἶναι, τὸ ἀναμφίβολον προξενεῖ τῇ πίστει· ἡ γὰρ διὰ τῶν ἔργων καὶ σημείων ἀπόδειξις, τῆς ἐκ ῥημάτων βεβαιοτέρα.

6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ
τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος
7 τούτου, τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν
θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώ-
8 ρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων, εἰς δόξαν ἡμῶν· ἣν
οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν·

Ἐπειδὴ ἅπαξ ἀπέδειξε τὴν τῶν ἀνθρώπων δοκοῦσαν σοφίαν, μωρίαν οὖσαν· τὴν δὲ τοῦ θεοῦ δοκοῦσαν τοῖς ἀπολλυμένοις μωρίαν, ταύτην οὖσαν τὴν ἀληθῆ σοφίαν, τότε λοιπὸν θαῤῥεῖ καλεῖν αὐτὴν σοφίαν. *Σοφίαν* δὲ λέγει, τὸ περὶ Χριστοῦ κήρυγμα, καὶ τὸ διὰ σταυροῦ σωθῆναι τὴν ὑπ' οὐρανόν. *Ἐν τοῖς τελείοις.*] Τουτέστιν, ἐν τοῖς πιστοῖς· ἐκεῖνοι γὰρ σοφοὶ καὶ τέλειοι, οἱ τὰ ἀνθρώπινα ὑπεριδόντες, ὡς ἀσθενῆ, καὶ θεῷ ἑαυτοὺς ἐκδεδωκότες. *Οὐ τοῦ αἰῶνος τούτου.*] *Αἰῶνος τούτου σοφίαν* λέγει, τὴν ἔξω, ὡς πρόσκαιρον, καὶ τῷ αἰῶνι τούτῳ συγκαταλυομένην. *Οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου.*] Ἄρχοντας τοῦ αἰῶνος τούτου, διὰ τὸ ἐπίκαιρον αὐτῶν, καὶ μέχρι τοῦ αἰῶνος τούτου ἐσάναι καὶ μὴ προϊέναι εἰς τὸ μέλλον. *Ἄρχοντας* δὲ καλεῖ, αἰνιττόμενος τοὺς παρ' αὐτοῖς φιλοσόφους, λογογράφους, ῥήτορας, οἳ καὶ δημαγωγοὶ ἐγίνοντο. *Τῶν καταργουμένων.*] Καὶ γὰρ καταργοῦνται καὶ συμπαύονται τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρόντι βίῳ· ἀλλ' οὐχ οὕτως οἱ δίκαιοι· ἀλλὰ τότε μᾶλλον ἢ νῦν ἀνθοῦσιν. *Ἐν μυστηρίῳ.*] *Μυστήριον* καλεῖ τὸ κατὰ Χριστὸν κήρυγμα· ὅτι οὐδεμία δύναμις οὐρανία ᾔδει αὐτὸ πρὸ τοῦ γενέσθαι, καὶ ὅτι ἄλλα ὁρῶντες, ἄλλα πιστεύομεν. Χριστὸν ὁρῶν, ὡς φιλάνθρωπον σέβω· δοῦλον γεγονότα ἀκούων, τῆς κηδεμονίας αὐτὸν προσκυνῶ. *Τὴν ἀποκεκρυμμένην.*] Ἔτι γὰρ καὶ νῦν κέκρυπται αὕτη ἡ σοφία, τοῖς μὲν ἀπίστοις, καὶ σφόδρα, τοῖς δὲ πιστοῖς, οὐ σφόδρα· βλέπομεν γὰρ ἄρτι ἐν ἐσόπτρῳ. *Ἣν προώρισεν ὁ θεός.*] Ἣν, σοφίαν, προώρισέ, φησιν, ὁ πατὴρ, τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδεικνύμενος, ἵνα ἡμᾶς δι' αὐτῆς δοξάσῃ. Τὸ δὲ, *πρὸ τῶν αἰώνων*, δῆλοῖ τὸ συναΐδιον πρὸς τὸν πατέρα. *Ἣν οὐδεὶς τῶν ἀρχόντων.*] Ἕνι μὲν νοῆσαι τοῦτο καὶ περὶ τοῦ Πιλάτου καὶ Ἡρώδου· ἠγνόουν γὰρ αὐτὴν τὴν σοφίαν· ἔνι δὲ καὶ περὶ τῶν ἀρχιερέων καὶ γραμματέων· οἵτινες ἠγνόουν τὴν διὰ τοῦ σταυροῦ τοῦ Χριστοῦ καὶ τοῦ θανάτου γινομένην οἰκονομίαν. Ἄνω δὲ εἰπὼν *ἄρχοντας τοῦ αἰῶνος τούτου* τοὺς τῶν Ἑλλήνων σοφοὺς, νῦν λέγει τοὺς τῶν Ἰουδαίων.

8 (Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης
9 ἐσταύρωσαν·) ἀλλὰ, καθὼς γέγραπται· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Ἐπειδὴ τοῖς ἀνοήτοις ὁ σταυρὸς ἀδοξία εἶναι ἐδόκει, ὅρα πῶς Χριστοῦ μνησθεὶς, *Κύριον αὐτὸν τῆς δόξης* καλεῖ, δεικνὺς, ὅτι οὐ μόνον οὐδὲν εἰς δόξαν παρεβλάβη ἐκ τοῦ σταυροῦ καὶ τοῦ θανάτου, ἀλλὰ καὶ μᾶλλον ἐπὶ φιλανθρωπίᾳ ἐδοξάσθη. —ΑΛΛΟ. Εἰ μὲν τὸ, *τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου*, δέξῃ ὡς πρὸς τὸν Ἡρῴδην καὶ τὸν Πιλάτον, ἁπλουστέρως νοήσεις τὸ ἑπόμενον· *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*· οὐ γὰρ τοσοῦτον ἐμεμήνεσαν, φθόνου μὴ ὑποκειμένου. Εἰ δὲ πρὸς τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς ἐκλά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧν, οἳ ᾔδεσαν αὐτὸν ὄντα τὸν Χριστόν· (καὶ δῆλον ἐξ ὧν ἔλεγον οἱ γεωργοὶ τοῦ ἀμπελῶνος· « Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ὁ ἀμπελὼν ἡμῶν ἔσαι (α)· ») ἀλλὰ τῷ φθόνῳ ἀπετυφλώθησαν· οὕτω νοήσεις τὸ κάτω, ὅτι Εἰ ἔγνωσαν, ὅτι τοσαύτη ἔσται τοῖς ἔθνεσι σωτηρία ἐκ τοῦ σταυροῦ, οὐδ' ἂν ἦλθον εἰς τὸ σταυρῶσαι, ἐκτήκεσθαι μᾶλλον ἐκ τοῦ φθόνου αἱρούμενοι, ἢ ἵνα σωθῇ τὰ ἔθνη, καὶ ἐκβάλῃ αὐτοὺς, καὶ ἀντικαταστῇ αὐτὰ εἰς τὸν τόπον αὐτῶν.—ΑΛΛΟ. Εὐκαίρως *Κύριον δόξης* ἐκάλεσεν· ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίας εἶναι δοκεῖ, δείκνυσιν, ὅτι μεγάλη δόξα ἐστὶν ὁ σταυρός. — *Ἀλλὰ, καθὼς γέγραπται.*] Λείπει τὸ, γέγονε· πολλαχοῦ γὰρ ὁ ἀπόστολος τῷ ἐλλειπτικῷ σχήματι κέχρηται. *Ἃ ἡτοίμασεν ὁ θεός.*] Τί δὲ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; Τὴν τοῦ Χριστοῦ γνῶσιν, καὶ τὴν διὰ τῆς ἐνανθρωπήσεως σωτηρίαν. Ταῦτα γὰρ οὔτε ὀφθαλμὸς ἀνθρώπινος εἶδεν, οὔτε οὖς ἀνθρώπινον ἤκουσεν, οὔτε καρδία ἀνθρωπίνη ἐλογίσατο. Καὶ πῶς, φησὶν, *οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*, τῶν ἁγίων προφητῶν προακουσάντων τὸ μυστήριον; Καὶ φαμὲν, ὅτι ἕτερόν τι ἐστὶ τὸ ὡς ἄνθρωπον ἀκοῦσαι, καὶ ἕτερον τὸ ὡς προφήτην. Καὶ γὰρ Ἡσαΐας φησί· « Προσέθηκέ μοι ὠτίον εἰς τὸ ἀκοῦσαι (β)· » οὐκ ἐπειδὴ ἐνέλιπεν αὐτῷ οὖς ἀνθρώπου· ἀλλ' ὅτι προσέλαβε τὸ τοῦ προφήτου. *Ἀγαπῶντας* δέ, τοὺς πιστεύσαντας καλεῖ ἡ Γραφή.

10 Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ
11 θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰμὴ τὸ πνεῦμα τοῦ θεοῦ.

Ὥσπερ τινὸς εἰπόντος· Εἰ οὖν οὐδεὶς ἔγνω, πῶς ὑμεῖς μεμαθήκατε; Ὅτι, φησὶν, ὁ θεὸς ἡμῖν διὰ τοῦ πνεύματος ἀπεκά-

(α) Μαρκ. ΙΒ', 7. Ματθ. ΚΑ', 38. (β) Ἡσ. Ν', 4. ΞΔ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυψεν, οὐ δι' ἀνθρωπίνης σοφίας· αὕτη γὰρ οὐκ ἠξιώθη ἰδεῖν τοῦ θεοῦ τὰ μυστήρια. Εἶτα δείκνυσι τὸ μέγιστον τῆς τοιαύτης μαθήσεως. *Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ.*] Εἰ μὴ γὰρ τὸ πνεῦμα, φησὶ, τὸ καὶ τὰ βάθη τοῦ θεοῦ ἐπιστάμενον, ἐδίδαξεν ἡμᾶς, οὐκ ἂν ἠδυνήθημεν μαθεῖν· ἐν τοῖς ἀπορρήτοις γὰρ ἦν τὸ μυστήριον τοῦτο· διὸ καὶ τοῦ πνεύματος ἐδεήθημεν διδασκάλου. Τὸ δὲ, *Ἐρευνᾷ*, οὐκ ἀγνοίας δεικτικόν ἐστιν, ἀλλὰ τοὐναντίον, ἀκριβοῦς γνώσεως. Ὁ δὲ ἐν ἁγίοις Γρηγόριος οὕτως· Ἐρευνᾷ, οὐχ ὡς περιεργαζόμενον [τὸ πνεῦμα], ἀλλ' ὡς ἐντρυφῶν τῇ θεωρίᾳ. *Καὶ τὰ βάθη τοῦ θεοῦ.*] *Βάθη τοῦ θεοῦ* λέγει, τὰς βαθυτάτας αὐτοῦ καὶ διαλανθανούσας ἡμᾶς οἰκονομίας.—ΑΛΛΩΣ. *Βάθη τοῦ θεοῦ* εἰσι, τῶν ἱερῶν γραμμάτων ἡ κεκρυμμένη καὶ ἀπόθετος γνῶσις, ἣν εἰδὸς τὸ πνεῦμα, ταῖς τῶν ἁγίων ἀποκαλύπτει ψυχαῖς, θεῖόν τινα νοῦν ἀποφαῖνον ἐν αὐταῖς. — *Εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.*] Ὥσπερ γάρ, φησι, τὰ κατὰ τὸν ἄνθρωπον οὐδεὶς οἶδεν ἀνθρώπων, εἰμὴ τὸ ἴδιον αὐτοῦ πνεῦμα, οὕτως οὐδὲ τὰ τοῦ θεοῦ τις οἶδεν, εἰμὴ τὸ πνεῦμα τοῦ θεοῦ.

12 Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν,
ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ
13 τοῦ θεοῦ χαρισθέντα ἡμῖν· ἃ καὶ λαλοῦμεν, οὐκ
ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν
διδακτοῖς πνεύματος ἁγίου· πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

Π*νεῦμα κόσμου* καλεῖ, ὡς οἶμαι, τὴν ἀνθρωπίνην σοφίαν καὶ παίδευσιν, ὅπερ, ὡς καταργοῦν τὸν σταυρὸν, ὡς προεῖπεν, οὐκ ἐλάβομεν, ἵνα μὴ κενωθῇ ὁ σταυρός· ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ ἐλάβομεν, *ἵνα εἰδῶμεν τὰ χαρισθέντα ἡμῖν ὑπὸ τοῦ θεοῦ*, τουτέστι, τὰ κατὰ τὴν οἰκονομίαν τοῦ Χριστοῦ γεγονότα. *Οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις.*] Τοσοῦτον ἡμεῖς, φησι, τῶν παρ' ἀνθρώποις σοφῶν σοφώτεροι, ὅσον οἱ μὲν Πλάτωνα καὶ Πυθαγόραν ἔχουσι διδασκάλους· ἡμεῖς δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ Πνεῦμα τὸ ἅγιον. *Ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου.*] Οὐκοῦν οὐδαμοῦ χρεία τῆς ἀνθρωπίνης σοφίας· ἅλα γὰρ πνευματικά. *Πνευματικοῖς πνευματικὰ συγκρίνοντες.*] Τοῦτο λέγει· Ὅταν ἀνακύψῃ ζήτημα πνευματικὸν, συγκρίνομεν αὐτό, ἤτοι, ἀπὸ παραδειγμάτων πνευματικῶν τὰς συγκρίσεις καὶ τὰς ἐπιλύσεις ἐπάγομεν· οἷον, ὅτι ἀνέστη τριήμερος ὁ Χριστὸς, ἐκ τοῦ Ἰωνᾶ τὰς ἀποδείξεις παράγω καὶ τὴν μαρτυρίαν· ὅτι ἐγέννησε παρθένος τὸν Κύριον, ἐκ τῶν στειρῶν Ἄννης καὶ Ἐλισάβετ ἡ ἐπίλυσις.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύ-
ματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύ-
15 ναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. Ὁ δὲ
πνευματικὸς, ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ'
16 οὐδενὸς ἀνακρίνεται. Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς
συμβιβάσει αὐτόν; Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

Ψυχικὸν ἄνθρωπον καλεῖ, τὸν πάντα τοῖς λογισμοῖς τῆς ψυχῆς διδόντα, καὶ μηδὲν πίστει δεχόμενον, μήτε νομίζοντά τινος ἄνωθεν δεῖσθαι βοηθείας· ὃς τοῖς τῆς ψυχῆς νοήμασιν οὐ δυνάμενος καταλαβεῖν τὰς διδασκαλίας τοῦ πνεύματος, πιστεῦσαι δὲ λογισμῶν χωρὶς οὐκ ἐθέλων, πάντα μωρὰ νομίζει τὰ τῆς οἰκονομίας τοῦ Κυρίου.—ΑΛΛΩΣ. *Ψυχικός* ἐστιν, ὁ κατὰ σάρκα ζῶν, καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ πνεύματος, ἀλλὰ μόνην τὴν ἔμφυτον καὶ ἀνθρωπίνην σύνεσιν ἔχων, ἣν ταῖς ἁπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός. —ΑΛΛΩΣ. Ὁ ψυχικὸς, χρείαν ἔχει ἀνακρίσεως καὶ ἐξετάσεως καὶ μαθήσεως πνευματικῆς, ἵνα παραδέξηται τὰ τοῦ πνεύματος. Ἀλλὰ πρὸς ταύτην ἀπαυθαδιζόμενος, καὶ δοκῶν ἀρκεῖσθαι τοῖς ἀνθρωπίνοις λογισμοῖς, οὐ μόνον οὐδὲν, ὧν ἀγνοεῖ, καταλαμβάνει, ἀλλὰ καὶ τοὐναντίον εἰς πλείονα καταβαπτιζόμενος ἄγνοιαν, τὸ τῆς ψυχῆς πάθος καὶ νόσημα τοῖς τοῦ πνεύματος νόμοις περιάπτει, καὶ ἡγεῖται αὐτὰ μωρίαν, δέον ἑαυτῷ μέμφεσθαι, ταπεινοῖς καὶ ἀνθρωπίνοις μέτροις τὰ ὑπερφυῆ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρείττονα λογισμῶν μετρεῖν καὶ καταλαμβάνειν ἐγχειρήσαντι. Ὁ δὲ πνευματικὸς οὐ δεῖται ἀνακρίσεως, ἀλλ' αὐτὸς πνευματικῶς καὶ θεοσόφως ἅπαντα δοκιμάζων καὶ κρίνων, τελειοῦται τῇ γνώσει τοῦ πνεύματος· διὸ *ὑπ' οὐδενὸς ἀνακρίνεται*· ὑπὸ μὲν τῶν πιστῶν, ὅτι οὐ διαφωνεῖ ἢ διαστασιάζει πρὸς αὐτούς· ὑπὸ δὲ τῶν ἀπίστων, ὅτι πολλῷ κρείττων ἐστὶ τῆς ἐκείνων ἀνακρίσεως, καὶ ὅτι οὐ μόνον οὐ δεῖται ταύτης, ἀλλὰ καὶ σύνοιδεν ἀκριβῶς ἀνακρίνων, ὅτι τοῖς ταύτῃ χρωμένοις μέγιστον ἐμπόδιον αὕτη καθέστηκεν εἰς τὸ πνευματικῶς ἀνακρίνεσθαι καὶ δέξασθαι τὰ τοῦ πνεύματος. Διὸ καὶ χηρεύουσιν οὗτοι τοῦ κυριακοῦ νοῦ, ἤτοι, τῶν ἐντολῶν, καὶ τῆς ἐκεῖθεν νομοθεσίας, τῆς φρενούσης αὐτοὺς καὶ διεγειρούσης εἰς τὴν τῶν πνευματικῶν ζητημάτων κατάληψιν. Λῦται γὰρ αἱ κυριακαὶ ἐντολαί, συμβιβάζουσαι ἡμᾶς καὶ καταλλάσσουσαι πρὸς αὐτὸν, παρασκευάζουσιν ἐπιτηδείους εἰς τὴν ἐκεῖθεν τοῖς ἀξίοις χορηγουμένην ἔλλαμψίν τε καὶ κατανόησιν. Διὸ οἱ ταύταις ἑαυτοὺς καταρτίσαντες, εἰκότως *νοῦν Χριστοῦ ἔχομεν*· τὰ γὰρ τοῦ Χριστοῦ φρονοῦντες καὶ νοοῦντες, οὐκέτι ἀνθρωπίνῳ καὶ σαρκικῷ λογισμῷ σαλεύοντες κυμαινόμεθα, ταῖς ἑκατέρωθεν ἀντιπνοίαις χειμαζόμενοι· ἀλλὰ πάγιοι καὶ ἀμετάπειστοι γεγονότες ἐν οὐρανίῳ καὶ θείῳ νοΐ, τῆς ἀληθείας καρπούμεθα τὴν κατάληψιν.— *Καὶ οὐ δύναται γνῶναι.*] Ἀγνοεῖ, φησὶν, ὅτι αὐτός ἐστιν ὁ ἀνόητος· οὐ δύναται γὰρ γνῶναι, ὅτι ἐπὶ τῶν τοιούτων πίστεως μόνης χρεία, ὡς ἀσθενούντων τῶν λογισμῶν. Τοῦτο γάρ ἐστι τὸ, *πνευματικῶς ἀνακρίνεται*, τουτέστιν, ὅτι διὰ πίστεως καὶ πνεύματος τὰς ἀποδείξεις ἔχει τὰ θεῖα. *Ἀνακρίνει μὲν πάντα.*] Ὁ πνευματικός, φησι, πιστῶς ὁρᾷ πάντα, καὶ νοεῖ πάντα, καὶ τὰ ἴδια, καὶ τὰ τῶν ἀπίστων· τὰ δέ γε αὐτοῦ, οἱ ἄπιστοι εἰδέναι οὐ δύνανται. Τοῦτο γάρ ἐστι τό· *Αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.* Πῶς οὖν ὁ πιστὸς πάντα οἶδεν; Ἐπειδὴ οἶδε μὲν τὰ ἐνταῦθα, ὅτι σαθρὰ καὶ ἐπίκηρα· οἶδε δὲ τὰ ἐκεῖ, ὅτι μόνιμα καὶ αἰώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νια· ὁ δέ γε ἄπιστος, οὐδὲ τὰ ἐντεῦθεν οἶδεν· ἡγεῖται γὰρ αὐτὰ μεγάλα, οὐδὲν ὄντα· οὐδὲ τὰ ἐκεῖ· ἀπιστεῖ γὰρ αὐτοῖς. —*Τίς γὰρ ἔγνω νοῦν Κυρίου.*] Διὰ τί δὲ ὁ ἄπιστος οὐδὲν οἶδε; (τοῦτο γάρ ἐστι τὸ, *Τίς*, ἀντὶ τοῦ, Οὐδεὶς τῶν ἀπίστων οἶδεν.) Ὅτι, φησὶν, οὐκ ἔγνω νουν Κυρίου· διὸ οὐδὲ *συμβιβάσει αὐτὸν* ἑαυτῷ, τουτέστι, καταλλάξει· οὐκ ἂν δὲ τῷ ἐχθρῷ ἀποκαλύψει ὁ Θεός. Διὰ τί δὲ οἱ πιστοὶ καὶ οἱ πνευματικοὶ ἴσασιν; Ὅτι, φησὶ, *νοῦν Χριστοῦ ἔχομεν*, τουτέστι, πνεῦμα Χριστοῦ· καὶ ἅπερ ἴσμεν, ὑπὸ τοῦ πνεύματος δεδιδάγμεθα. Εἰκότως οὖν οἱ μὲν ἀγνοοῦσιν, ἀπεστραμμένον ἔχοντες τὸν Θεόν· ἡμεῖς δὲ ἴσμεν, τοῦ πνεύματος εὐπορήσαντες διδασκάλου.—Καθ' ὑπερβατὸν δὲ τὸ· *Τίς γὰρ ἔγνω νοῦν Κυρίου;* Ἐφεξῆς γὰρ ὀφείλει συντάττεσθαι τοῦ, *Οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται.* Δυνατὸν δὲ καὶ χωρὶς ὑπερβατοῦ, ὡς ἔχει φράσεως, τὸ χωρίον ἐκλαβεῖν.—*Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.*] Οἱ μιμήσει τοῦ νοῦ ἐκείνου τοῦ ἀνθρωπίνου, οὗ ἀνέλαβε Χριστὸς ὁ Θεὸς ἡμῶν, τὸν ἑαυτῶν νοῦν ἐκκαθάραντες, οὗτοι νοῦν Χριστοῦ ἔχουσιν. *Ἤ, νοῦν Χριστοῦ*, τὸν πατέρα καλεῖ. Ἔχομεν, φησὶν, ἐν ἑαυτοῖς τὸν τοῦ Χριστοῦ πατέρα, ὡς τό· « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω (α) ». Νοῦν γὰρ τὸν πατέρα λέγειν ἔθος τοῖς ἁγίοις, ὡς ὁ Γρηγόριος· Καὶ νῷ καὶ λόγῳ καὶ πνεύματι, τῇ μιᾷ συμπεφυκυίᾳ θεότητι. Καὶ πάλιν· Πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον, καὶ πνεύματι τελειούμενον. *Ἤ, νοῦν Χριστοῦ ἔχομεν*, τουτέστι, τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν, καὶ ἅπερ αὐτὸς βούλεται, καὶ ἀπεκάλυψε. Καλῶς δὲ ἀπὸ τῆς τοῦ Θεοῦ ἀξιοπιστίας ἐπιστώσατο τὸν μετέχοντα χαρίσματος πνευματικοῦ, μήτε δεῖσθαι τῆς ἑτέρου διδασκαλίας, καὶ ἱκανὸν εἶναι διδάσκειν ἑτέρους. Οὐ γάρ ἐστί, φησιν, ὁ συνιέναι δυνάμενος τὰ βουλεύ-

(α) Β' Κορ. ς'. 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μκτα τοῦ θεοῦ, ὥστε τινὰ αὐτῷ καὶ προσενεγκεῖν διόρθωσιν. Ἡμεῖς μέντοι παρὰ τοῦ Χριστοῦ, διὰ τῆς ἐπ' αὐτὸν πίστεως, τὴν σύνεσιν δεξάμενοι, καὶ διδάσκειν ἑτέρους ὑπισχνούμεθα.

ΚΕΦ. ΙΙΙ, 1 Καὶ ἐγὼ, ἀδελφοὶ, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς
2 νηπίοις ἐν Χριστῷ. Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε. Ἀλλ' οὔτε ἔτι νῦν
3 δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε. Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος, καὶ ἔρις, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

Οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς.] Καταβαλὼν αὐτῶν τὸν ἐπὶ τῇ ἀνθρωπίνῃ σοφίᾳ τῦφον, νῦν θέλει καταβαλεῖν καὶ τὸν ἐν τοῖς πνευματικοῖς, δεικνὺς, ὅτι οὔτε ἀκοῦσαί τι τέλειον ἴσασι. Καλῶς δὲ τὸ, *Οὐκ ἠδυνήθην*, ἀντὶ τοῦ, *Οὐκ ἠβουλήθην*, ἵνα μὴ δόξῃ διὰ φθόνον αὐτοῖς τὸ τελειότερον μὴ εἰρηκέναι. *Ἀλλ' ὡς σαρκικοῖς.*] Καὶ πῶς ἦσαν σαρκικοὶ, οἱ καὶ σημεῖα ποιοῦντες; Καὶ φαμὲν, ὅτι ἦσαν καὶ τοιοῦτοι, καὶ οὐ τοιοῦτοι· Ἔστι γὰρ καὶ σημεῖα ποιεῖν, καὶ εἶναι σαρκικὸν, ὡς οἱ λέγοντες· Κύριε, οὐ τῷ σῷ ὀνόματι τὸ καὶ τὸ πεποιήκαμεν; καὶ ἀκούσαντες· Οὐκ οἶδα ὑμᾶς (α). *Ὡς νηπίοις ἐν Χριστῷ.*] *Νηπίοις*, ὅσον ἦκεν εἰς τοὺς νόμους τοῦ Χριστοῦ. *Γάλα ὑμᾶς ἐπότισα.*] *Γάλα* φησὶ, τὴν ἔτι ἀτελῆ διδασκαλίαν· *βρῶμα* δὲ, τὴν τελείαν. *Οὔπω γὰρ ἐδύνασθε.*] Ἐπειδὴ, φησι, μὴ ἐβούλεσθε· τοῦτο γὰρ προϊὼν δείκνυσιν, ὅτι παρὰ τὴν αὐτῶν αἰτίαν τὸ μὴ δύνασθαι, ὅπερ καὶ συγγνώμης χωρεύει, ἤγουν αὐτῆς ἀποστερεῖ. *Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος, καὶ ἔρις.*] Ὁρᾷς αὐτῶν εἶναι τὴν μοχθηρίαν; Καὶ πῶς ἐσμέν, φασι, σαρκικοί; Λέγει τὴν τοῦτο ποιοῦσαν αἰτίαν· καὶ δυνάμενος ἐγκαλέσαι αὐτοῖς καὶ περὶ ἄλλων, ἐπεὶ τὸ κατεπεῖγον ἦσαν αἱ διχοστασίαι, καὶ ὁ ἔνθεν ζῆλος, καὶ ἡ ἔρις, τούτων μέμνηται.

(α) Ματθ. Ζ', 22. 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ κατὰ ἄνθρωπον περιπατεῖτε.] Οὐ κατὰ θεὸν ζῆτε, ἀλλὰ *κατὰ ἄνθρωπον* πολιτεύεσθε, ἤγουν σαρκικῶς.

4 Ὅταν γὰρ λέγῃ τις· Ἐγὼ μέν εἰμὶ Παύλου· ἕτε-
5 ρος δέ· Ἐγὼ, Ἀπολλώ· οὐχὶ σαρκικοί ἐστε; Τίς
οὖν ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; ἀλλ' ἢ διάκο-
νοι, δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος
6 ἔδωκεν; Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ'
7 ὁ θεὸς ηὔξανεν. Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι,
8 οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων θεός. Ὁ φυτεύων
δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν· ἕκαστος δὲ τὸν ἴδιον
μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.

Πάλιν αἰνίττεται τοὺς προεστῶτας αὐτῶν σοφοὺς καὶ πλουσίους, καὶ αἱρέσεως ὄντας ἀφορμήν. *Τίς οὖν ἐστι Παῦλος;*] Βαθαὶ τῆς σοφίας! Εἰς ἑαυτὸν καὶ Ἀπολλὼ ἐκενώθη, τοῦτο κατασκευάζων· Εἰ ἡμεῖς οὐδὲν ἐσμὲν, τί ἄν τις εἴποι περὶ τῶν παρ' ὑμῖν διδασκάλων; *Ἀλλ' ἢ διάκονοι.*] Μέγα μὲν, καὶ τὸ εἶναι διακόνους πίστεως· πρὸς δὲ τὸ ἀρχέτυπον καὶ τὴν ῥίζαν τῶν ἀγαθῶν, τὸν Χριστὸν, μέρος τι λόγου· ὁ γὰρ παρέχων τὰ ἀγαθὰ, οὐχ ὁ διακονῶν, εὐεργετεῖ. Τὸ δὲ, *διάκονος*, μεῖζον τοῦ εὐαγγελιζομένου, ὅσον ὁ μὲν, λόγους ἀπαγγέλλει, ὁ δὲ, καὶ ἔργα ποιεῖ. *Καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν.*] Οὐδὲ αὐτό, φησι, τὸ μικρὸν τὸ τῆς διακονίας, παρ' ἑαυτῶν ἔχομεν· ἀλλὰ καὶ τοῦτο παρὰ τοῦ Κυρίου εἰλήφαμεν, ἄλλος ἄλλῳ μέτρῳ· καὶ τοῦτο λέγει· *Καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν. Ἐγὼ ἐφύτευσα.*] Ἐγὼ μὲν, φησι, πρῶτος τὸ κήρυγμα ἐγκατέσπειρα· ὁ δὲ Ἀπολλὼς τῇ παρ' ἑαυτοῦ παρακλήσει (1), οὐκ εἴασεν ἀποξηρανθῆναι τὸν σπόρον τῷ καύσωνι τῶν τοῦ πονηροῦ πειρασμῶν· τὸ δὲ δὴ ὅλον, τοῦ αὐξάνοντος θεοῦ. *Οὔτε ὁ φυτεύων ἐστί τι.*] Ὅρα, πῶς ἀνεπαχθῆ ποιεῖται τὴν ἐξουδένωσιν τῶν προεστώτων αὐτῶν σοφῶν καὶ πλουσίων, ἑαυτὸν καὶ Ἀπολλὼ εἰς τὸ φαινόμενον ἐξουδενώσας, καὶ δεί-

(1) τῇ συνεχεῖ διδασκαλίᾳ, παρὰ τῷ Θεοφυλάκτῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξας, ὡς χρὴ μόνῳ τῷ θεῷ προσέχειν, καὶ εἰς αὐτὸν ἀναπιθέναι πάντα τὰ συμβαίνοντα ἀγαθά; *Ὁ φυτεύων καὶ ὁ ποτίζων, ἕν εἰσιν.*] Ὅσον ἦκεν εἰς τὸ μηδὲν δύνασθαι πλέον ἄνευ τοῦ αὐξάνοντος θεοῦ, ἕν εἰσιν. Ἐπειδὴ δὲ πολλὰ κατέδραμε τῶν διδασκάλων, λέγων· *Τίς ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς;* καὶ πάλιν· Ὥσε οὔτε ὁ ποτίζων ἐγί τι, οὔτε ὁ φυτεύων· τοῦτο δὲ ἐποίει, πραΰναι θέλων τὴν φλεγμονὴν τῶν ἐπὶ τῇ διδασκαλίᾳ καταλαζονευομένων, καὶ εἰς ἔρεις καὶ στάσεις τὸν λαὸν τοῦ Χριστοῦ καταδιελόντων. Ἐπεὶ οὖν ἱκανῶς ἔδοξε καθαιρεῖν τὸν ἐκείνων τῦφον, διὰ τὸ καὶ ἑαυτὸν συνεξευτελίσαι καὶ τὸν Ἀπολλὼ, ἵνα μή τινες εἴπωσιν· Οὐκοῦν μάτην διδάσκεις, μάτην τοὺς ὑπὲρ τοῦ κηρύγματος πόνους ἀναδεχόμενος· ἐπήγαγε, τὰς τοιαύτας ἀποκρουόμενας λαβάς· *Ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον·* μονονουχὶ λέγων· Μηδὲν ἀθυμείτω ὁ καλῶς διδάσκων· εἰ γὰρ καὶ κεκώλυται μερίζειν τὸν λαὸν τοῦ Χριστοῦ καὶ ἰδιοποιεῖσθαι, καὶ σεμνολογεῖσθαι ἐν αὐτοῖς ὡς διδάσκαλος· ἀλλ' οὖν γε *μισθὸν λήψεται*, καὶ οὐχ ἁπλῶς, *ἀλλὰ κατὰ τὸν ἴδιον κόπον.* Εἶτα ἐπαίρων ἐπὶ πλέον τὸ πρᾶγμα, καὶ πιστούμενος, ὅτι πάντως ἔσται ὁ μισθός· (θεοῦ γάρ, φησιν, ἐσμὲν συνεργοί·) ἅμα μὲν, ὥσπερ εἶπον, καὶ λαμπρύνων τὸ τῆς διδασκαλίας ἔργον, ἅμα δὲ καὶ πάλιν ὑποδεικνὺς, ὅτι θεοῦ ἐστὶ τὸ ἔργον· ὥστε οὐ δεῖ ἰδιοποιεῖσθαι καὶ κατατέμνειν αὐτὸ, μᾶλλον δὲ συνάπτειν καὶ ἑνοποιεῖν· τοῦτο γὰρ συνεργῶν· τὸ δὲ ἰδιοποιεῖσθαι καὶ μερίζειν, ἐχθρῶν καὶ πολεμίων· ἐπιμένει τῷ αὐτῷ τῆς ἀποδείξεως χρώμενος κανόνι, ὅτι οὐ χρὴ κατανέμεσθαι τὸν λαὸν προσώποις ὅλως. *Θεοῦ γεώργιόν ἐστέ*, φησι, *θεοῦ οἰκοδομή*· τί κατευτελίζετε ἑαυτοὺς, ἑνὸν θεοῦ εἶναι, τοῖς ὁμοδούλοις ἀνατιθέμενοι;—*Κατὰ τὸν ἴδιον κόπον.*] Ἐπειδὴ εἰκὸς ἦν, τοὺς πλείω καμόντας περὶ τὴν ἐκείνων πίστιν, ῥᾳθυμοτέρους γενέσθαι, ἀκούσαντας, ἓν εἶναι πάντας, κἂν μικρὸν, κἂν μέγα τις ἔτυχε συνεισενεγκών, εὐθέως αὐτὸ διορθοῦται,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγων, ὅτι ἐν εἰσιν, ὅσον πρὸς τὸ μὴ δύνασθαι ἄνευ τοῦ αὐξάνοντος Θεοῦ πλέον τι ποιῆσαι· ἐπεὶ ὅσον γε πρὸς τὴν ἀνταπόδοσιν, ἕκαστος κατὰ τὸν ἴδιον κόπον τὸν μισθὸν ἕξει.

9 Θεοῦ γὰρ ἐσμὲν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ
10 οἰκοδομή ἐστε. Κατὰ τὴν χάριν τοῦ Θεοῦ, τὴν δο-
θεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα· ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω, πῶς
11 ἐποικοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.

Ἡμεῖς, φησὶν, οἱ τὰ πρὸς σωτηρίαν ὑμῖν δόγματα κηρύξαντες, *θεοῦ ἐσμὲν συνεργοί*· τῷ σκοπῷ γὰρ τοῦ Θεοῦ, τοῦ σῶσαι θέλοντος, συνεπράξαμεν· ἀλλ᾽ οὐχὶ οἱ νῦν ὑμᾶς καταδιελόμενοι, καὶ πρόφασις ὑμῖν στάσεως γενόμενοι. *Θεοῦ γεώργιον.*] Ὑμεῖς δὲ, Θεοῦ γεώργιον καὶ οἰκοδομὴ Θεοῦ ὑπάρχετε· καὶ εἰ γεώργιον ἐστὲ καὶ οἰκοδομὴ Θεοῦ, ἀπὸ τοῦ δεσπότου καλεῖσθαι ὀφείλετε, οὐκ ἀπὸ τῶν νῦν προεστώτων ὑμῶν· ἔλεγον γάρ· Ἐγὼ εἰμὶ τοῦδε· καὶ ἐγὼ, τοῦδε, τὰ ὀνόματα τῶν σοφῶν καὶ πλουσίων λέγοντες. *Ὡς σοφὸς ἀρχιτέκτων.*] Σοφὸν ἑαυτὸν καλεῖ ἀρχιτέκτονα, οὐκ ἐπαινῶν ἑαυτὸν, ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι τοῦτό ἐστιν ἀρχιτέκτονος σοφοῦ, τὸ τοιοῦτον θεῖναι θεμέλιον, τουτέστι, Χριστόν. Καὶ ὅτι οὐκ ἐπαίροντος ἑαυτὸν τὸ ῥῆμα, δῆλον ἐντεῦθεν· φησὶ γάρ· *Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι*· οὐκ ἐμὸν κατόρθωμα λέγων τὸ γενέσθαι σοφὸν, ἀλλὰ Θεοῦ, τοῦ χαρισαμένου. *Ἄλλος δὲ ἐποικοδομεῖ.*] Εἰς τὴν περὶ πολιτείας ἦλθε παραίνεσιν, *ἐποικοδομὴν* καλῶν τὰς ἑκάστου πράξεις. Καὶ βλεπέτω, φησὶν, ἕκαστος, πῶς οἰκοδομεῖ ἐπὶ τὸν θεμέλιον, τουτέστιν, ἔχων τὴν πίστιν καὶ αὐτὸν τὸν Χριστὸν εἰς τὸ ποιεῖν ἀγαθὰς ἐργασίας. *Θεμέλιον γὰρ ἄλλον.*] Μὴ τοίνυν προσέχετέ, φησι, τοῖς καταδιελομένοις ὑμᾶς· οὐκ ἔνι ἄλλος θεμέλιος, εἰ μὴ Χριστὸς, ὃν κατηγγείλα· τούτου ἐχώμεθα, τούτῳ προσκολληθῶμεν, ὡς θεμελίῳ, τούτῳ ἐποικοδομήσωμεν τὰς ἐκ πολιτείας χρηστὰς οἰκοδομάς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον,
χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, κα-
13 λάμην· ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ
γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται·
καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκι-
14 μάσει. Εἴ τινος τὸ ἔργον μενεῖ, ὃ ἐπῳκοδόμησε,
15 μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται,
ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ, ὡς
διὰ πυρός.

Μετὰ τὴν πίστιν, καὶ ἐργασίας καὶ οἰκοδομῆς χρεία. Ἀλλ' οἱ μὲν δίκαιοι, ἴσα χρυσίῳ καὶ ἀργυρίῳ καὶ λίθοις διαυγέσι, τὰς οἰκείας πράξεις ἐποικοδομοῦσι τῇ πίστει· οἱ δέ γε ἁμαρτωλοὶ, ὕλην ῥᾳδίως ἐξαπτομένην καὶ τοῦ ἐκεῖσε πυρὸς ἀξίαν.—ΑΛΛΟ. Οἱ διδάσκαλοι τὰ θεῖα παιδεύουσιν· οἱ δὲ ἀκούοντες, κατὰ τὸ τῆς γνώμης αὐθαίρετον τὸ πρακτέον αἱροῦνται· ἀλλὰ κατὰ τὴν τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμέραν, βάσανος ἔσται καὶ ἐξέτασις ἀκριβής· καὶ τοὺς μὲν εὖ βεβιωκότας, καθάπερ χρυσὸν καὶ ἄργυρον, τὸ πῦρ λαμπροτέρους ἀποφανεῖ· τοὺς δὲ τῆς κακίας ἐργάτας, δίκην ξύλων, καὶ χόρτου, καὶ καλάμης καταναλώσει. Ὁ δέ γε διδάσκαλος, τὰ προσήκοντα διδάξας, οὐκ εἰσπραχθήσεται δίκας, ἀλλὰ τῆς σωτηρίας ἀξιωθήσεται· τοῦτο γὰρ λέγει, *αὐτὸς δὲ σωθήσεται*, τουτέστιν, ὁ διδάσκων· *τὸ δὲ ἔργον κατακαήσεται*, ἀντὶ τοῦ, οἱ πονηρὸν ἑαυτοὺς κατασκευάσαντες ἔργον. Οὕτω δὲ ἀναγνόντες, ἀκριβῶς εὑρήσομεν τὴν τῶν γραμμάτων διάνοιαν· *Εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται· οὕτω δὲ, ὡς διὰ πυρός*· ἀντὶ τοῦ, Κατακαυθήσεται αὐτοῦ τὸ ἔργον ὑπὸ τοῦ πυρός· *αὐτὸς δὲ σωθήσεται*, τουτέστιν, ὁ διδάσκαλος· οὐ γὰρ αἴτιος τῆς τούτων ἐπὶ τὸ χεῖρον τροπῆς· αὐτὸς γὰρ τὴν προσήκουσαν διδασκαλίαν προσήνεγκεν. Εἰ δέ τις οὐ βούλεται τὸ, *ὡς διὰ πυρὸς*, τῷ ἔργῳ προσαρμόσαι, ἀλλὰ τῷ διδασκάλῳ, οὕτω νοησάτω· Ὅτι ὑπὲρ μὲν ἐκείνων οὐκ εἰσπραχθήσεται δίκας· σωθήσεται δὲ καὶ αὐτὸς διὰ πυρὸς δα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κιμαζόμενος, εἴπερ ἄρα ἔχει τὸν βίον τῇ διδασκαλίᾳ κατάλληλον.— *Χρυσόν.*] Τὴν εἰς Χριστὸν πίστιν. *Ἄργυρον.*] Εἰσὶ γὰρ καὶ καταδεέστεροι· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ πατρί (α). *Ἡ γὰρ ἡμέρα δηλώσει.*] *Ἡμέραν* φησὶ, τὴν τῆς κρίσεως. Ἐν πυρὶ δὲ λέγει τὰ ἔργα ἀποκαλύπτεσθαι· τουτέστι, φανερὰ γίνεσθαι, ὁποῖα τὴν φύσιν ἐστὶν, ἆρα χρυσός; ἆρα ἄργυρος; τῶν δὲ τοιούτων τὸ πῦρ, φησὶν, ἐλεγκτικόν. *Εἴ τινος τὸ ἔργον κατακαήσεται.*] Εἴτινος, φησι, τὸ ἔργον οὐκ οἴσει τὴν τοῦ πυρὸς προσβολὴν, ἀλλ' ἐλεγχθήσεται (τοῦτο γάρ ἐστι τὸ, *κατακαήσεται*·) ὃν πονηρὸν, *ζημιωθήσεται.* Ἆρα οὖν οὐδὲν ὠφελεῖ πίστις ὀρθὴ, χωρὶς ἔργων.—Ἆρα μὴ καὶ οὕτω δυνάμεθα νοῆσαι; Οἱ μὲν οἰκοδομήσαντες τὴν εὐκατάπρηστον ὕλην, τέλεον ἐκβέβληνται· ἐζημίωνται γὰρ πάντα αὐτῶν τὰ σπουδάσματα· *αὐτὸς δὲ σωθήσεται.* Τίς; Ὁ ἐποικοδομήσας τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ τοὺς τιμίους λίθους. Εἰπὼν γὰρ περὶ αὐτοῦ, ὅτι *μισθὸν λήψεται*, νῦν λέγει, ποῖον μισθὸν, τουτέστι, τὴν σωτηρίαν. Σωθήσεται δέ γε ἐπωδύνως καὶ αὐτὸς, ὡς εἰκὸς τὸν διὰ πυρὸς παριόντα, καὶ ἐκκαθαιρόμενον τὸν ἐνόντα αὐτῷ βραχὺν ῥύπον· θεοῦ γὰρ μόνου τὸ τελέως ἀναμάρτητον· οἱ δὲ ἄνθρωποι, κἂν ὅτι μάλιστα ὦσι δίκαιοι, οὐ τέλεον εἰσὶ καθαροί· εἴρηται γὰρ, ὅτι « πολλὰ πταίομεν πάντες (β)· » καὶ· « Οὐδεὶς καθαρὸς ἀπὸ ἁμαρτίας, οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ (γ). » Εἴρηται γὰρ καὶ τῷ Μαλαχίᾳ, ὅτι ὡς πῦρ ἐν χωνευτηρίῳ, καὶ πόαν πλυνόντων (δ), πλυνεῖ καὶ καθαρίσει ὁ θεὸς τινάς. — *Αὐτὸς δὲ σωθήσεται.*] *Σωθήσεται*, τουτέστιν, οὐκ ἀφανισθήσεται, οὐδὲ εἰς τὸ μὴ ὂν χωρήσει, ὥσπερ αἱ πράξεις αὐτοῦ αἱ πονηραί. Αὗται γὰρ μέχρι μὲν τοῦ καιροῦ ἐκείνου, τὴν ὕπαρξιν ἔχειν ἐδόκουν καὶ ἐπράττοντο· ἐλθούσης δὲ τῆς ἡμέρας ἐκείνης καὶ τοῦ πυρὸς, αὗται μὲν φροῦδοι γεγόνασι, μήτε εἶναι, μήτε πράττεσθαι δυνάμεναι· ὁ μέντοι

(α) Ἰωαν. ΙΔ', 2. (β) Ἰακ. Γ', 2. (γ) Ἰώβ. ΙΔ', 4.
(δ) Μαλαχ. Γ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταπραξάμενος αὐτὰς ἄνθρωπος, οὐ συναναιρεῖται ταύταις καὶ ἀφανίζεται, ἀλλὰ μένει καὶ σώζεται, τὴν διὰ πυρὸς δίκην τινύς. Διὰ τοῦτο γὰρ εἰπὼν, *σωθήσεται*, ἐπήγαγεν ἑρμηνεύων τὸ, πῶς σωθήσεται· *οὕτω δὲ, ὡς διὰ πυρός*· τουτέστιν· Εἰς τοῦτο μένει καὶ σώζεται, εἰς τὸ διὰ πυρὸς τὸν αἰῶνα κολάζεσθαι. Ἐν τῇ ἑρμηνείᾳ τοῦ Ἡσαΐου, ὁ ἐν ἁγίοις Βασίλειος, δεύτερον ἐπιμνησθεὶς τοῦ ῥητοῦ, ἐπὶ καθάρσει αὐτὸ ἐδέξατο.—*Ὡς διὰ πυρός.*] Ὅλα μεταφορικῶς εἶπεν· ἀλλ' ὅρα· οὐχ ὥσπερ τὸ φορτίον καυθὲν, εἰς τὸ μηδὲν χωρήσει καὶ αὐτός· ἀλλὰ τί; *Αὐτὸς δὲ σωθήσεται*· σωτηρίαν καλῶν τὴν ἀεὶ ἐν τῷ πυρὶ ζωὴν, καὶ τὸ ἐν αὐτῷ διασώζεσθαι. Ὅρα γὰρ, τί προσέθηκεν· *οὕτω δέ*, φησιν, *ὡς διὰ πυρός*· τουτέστιν, οὕτω σωθήσεται, ὡς ἐν πυρὶ σωζόμενος· τουτέστι, κατακαιόμενος, καὶ μὴ ἀναλισκόμενος. Ἵνα γὰρ μὴ, σωτηρίαν ἀκούων, τῷ εὐφήμῳ τοῦ ὀνόματος νομίσῃς, ἄχρι τοῦ τὰ ἔργα κατακαῆναι τὴν τιμωρίαν εἶναι, ἐδεήθη ταύτης τῆς προσθήκης, τοῦ, *Αὐτὸς σωθήσεται, διὰ πυρὸς καιόμενος ἀεί*· τοῦτο γὰρ δηλοῖ τὸ, *ὡς*.

16 Οὐκ οἴδατε, ὅτι ναὸς θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα τοῦ
17 θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴτις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ
18 ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴτις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι
19 τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστί·

Εἰς τὸν πεπορνευκότα εἰς τὴν μητρυιὰν εἰσβαλεῖν θέλει λοιπόν· καὶ ὅρα, πῶς ἁρμοδίῳ κέχρηται προοιμίῳ, ἐντρεπτικῶς αὐτοῖς λαλῶν. *Καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν.*] Ἐπαίρει τὸ ἔγκλημα ἀπὸ τῆς δωρεᾶς, τουτέστι, τῆς ἐνοικήσεως τοῦ πνεύματος. Εἰ δὲ ναὸς θεοῦ ἐσμὲν, ἐπειδὴ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ἡμῖν, ἄρα θεὸς τὸ πνεῦμα. *Φθερεῖ τοῦτον ὁ θεός.*] Τουτέστιν, ἀπολεῖ. Τοῦτο δὲ, οὐ καταρωμένου, ἀλλὰ τὸ ἐσόμε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον προλέγοντος. *Ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν.*) Τοιγαροῦν, ἐπειδὴ ἅγιός ἐστιν ὁ ναός, ἅγιον ἔχων τὸν ἐνοικοῦντα, οὐ δύναται εἶναι ὁ πόρνος ναὸς θεοῦ. Τίς δὲ ὁ τοῦ θεοῦ ναός; Ὑμεῖς δηλαδή, εἰ καθαροὶ μείνητε. *Μηδεὶς ἑαυτὸν ἐξαπατάτω.*] Νομίζων ἄλλό τι εἶναι παρὰ τὰ εἰρημένα. *Εἴτις δοκεῖ σοφὸς εἶναι.*] Σοφοὺς ἐνταῦθα καλεῖ, τοὺς τὴν ἀνθρωπίνην σοφίαν ἔχοντας. *Μωρὸς γενέσθω.*] Μωρὸς γίνεται ἐν τῷ αἰῶνι τούτῳ, ὁ τὴν ἀνθρωπίνην ἀτιμάσας σοφίαν, καὶ εἰδὼς μηδὲν ἐξ αὐτῆς ὠφελῆσθαι· τοῦτο γὰρ τὴν ἄνωθεν αὐτῷ προξενεῖ σοφίαν. Ὥσπερ γὰρ ἡ κατὰ θεὸν πενία, πλοῦτός ἐστι, καὶ ἡ ἀδοξία, δόξα· οὕτω καὶ ἡ κατὰ θεὸν μωρία, σοφία ἐστίν. Ὅρα δέ· οὐκ εἶπεν· Ἀποθέσθω τὴν σοφίαν· ἀλλὰ δηλῶν, ὡς μεγίστως αὐτῆς καταφρονῆσαι χρεία, εἶπε· *Μωρὸς γενέσθω*, καὶ ἰδιώτης· παιδεύων τὴν παρ' ἡμῖν μὴ αἰσχύνεσθαι ἰδιωτείαν· προξενεῖ γὰρ ἡμῖν πίστιν, οὐ λογισμοῖς ἀνθρωπίνοις ἐπιτρέπουσα τὸ μυστήριον τοῦ κατὰ Χριστὸν κηρύγματος· οἷον· Πόθεν λέγουσα δῆλον, ὅτι ὁ Χριστὸς υἱός ἐστι θεοῦ, ἢ ὅτι ἐνηνθρώπησεν ἐρευνῶσα. *Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστίν.*] Οὐ μόνον γὰρ οὐδὲν συντελεῖ πρὸς τὴν ἀληθινὴν καὶ ὄντως σοφίαν, ἀλλὰ καὶ μᾶλλον ἐμποδίζει, τῷ οἴεσθαι εἰδέναι, καὶ ἀπαξιοῦν μαθεῖν· τοῦτο γὰρ ποιεῖ ἡ φυσίωσις αὐτῆς.

19 Γέγραπται γάρ· « Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν
20 τῇ πανουργίᾳ αὐτῶν (α)· » καὶ πάλιν· « Κύριος
γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ
21 μάταιοι (β).» Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις·

Διὰ τῶν οἰκείων αὐτῶν ὅπλων, τουτέστι, τῆς πανουργίας, ἁλίσκει αὐτοὺς ὁ θεός. Πῶς; Ἐπειδὴ γὰρ διὰ τῆς πανουργίας αὐτῶν, ὅ ἐστι, τῆς περὶ τὰ πράγματα δεινότητος, οἴονται πάντα εἰδέναι, καὶ μὴ δεῖσθαι διδασκάλων, δι' αὐτῆς ταύ-

(α) Ἰὼβ ε', 13. (β) Ψαλμ. ιγ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

της αὐτοὺς εἶλε, διὰ τῶν πραγμάτων δείξας, ὅτι οὐδὲν ἴσασι τῶν ἀναγκαίων.—Πῶς δὲ ἐδράξατο τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν; Ἐνόμισαν διὰ τῆς προσούσης αὐτοῖς ἀνθρωπίνης γνώσεως, τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν καταλήψεσθαι· οἱ δὲ, οὐ μόνον οὐκ ἔτυχον, ὧν περ ἤλπισαν, ἀνθρωπίνοις λογισμοῖς ἑαυτοὺς ἐπιτρέψαντες, ἀλλὰ καὶ εἰς τοὐναντίον, ἢ ἔσπευδον, τὰ τῆς πανουργίας αὐτοῖς ἐχώρησεν, ἀγνοίᾳ καὶ ἀπορίᾳ πλείονι τῆς τῶν λογισμῶν ἀσθενείας αὐτοὺς περιβαλούσης.—*Κύριος γινώσκει τοὺς διαλογισμούς.*] Εἰ οὖν ὁ Κύριος γινώσκει, τίς ἀντερεῖ λοιπόν; Εἰ οὖν οἱ διαλογισμοὶ τῶν ἀνθρώπων μάταιοί εἰσι, καὶ οἱ σοφοὶ ἐν τῇ πανουργίᾳ αὐτῶν μᾶλλον ἁλίσκονται, ἢ περί τι κέρδος ἐξ αὐτῆς ἔχουσι, δῆλον ὅτι οὔτε σοφία ἀνθρωπίνη, οὔτε λογισμῶν δεινότης ἰσχύει τι ἢ συντελεῖ πρὸς τὴν τῶν πνευματικῶν διδασκαλίαν καὶ μάθησιν. Εἰ δὲ μηδὲν τούτων πρὸς ταῦτα συντελεῖ, πῶς ἄν τις διδάσκων καυχήσαιτο, ἀποδεδειγμένων τῶν ἐν ἀνθρώποις δοκούντων ἰσχύειν, μηδὲν ἰσχύειν, ὡς συντελοῦσι πρὸς ὄνησιν; Δῆλον γάρ, ὡς εἴ τις τι καὶ διδάσκει, χάριτός ἐστι καὶ δωρεᾶς τῆς ἄνωθεν, ἀλλ' οὐχὶ σοφίας οἰκείας ἔργον, ἢ τῆς κατὰ διάνοιαν ὀξύτητος· τὰ δὲ χαρίσματα, οὐχ ἵνα τούτοις ἐπαιρώμεθα, λαμβάνομεν, ἀλλ' ἐπὶ κοινῇ τῶν ἀνθρώπων ὠφελείᾳ. *Ὅτι εἰσὶ μάταιοι.*] Πῶς γὰρ οὔ; νομίζουσι μὴ δεῖσθαι μηδενὸς, ἀλλ' ἑαυτοῖς ἀρκεῖσθαι πρὸς τὴν τοῦ ἀληθοῦς κατάληψιν. *Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις.*] Πρὸς τοὺς διδασκάλους αὐτῶν πάλιν ἀποτείνεται· οἵτινες μέγιστον ἐφρόνουν ἐφ' οἷς χαρίσματα εἰλήφασι διδασκαλίας καὶ ἑτέρων τινῶν. Διατὶ δὲ οἱ διδάσκαλοι οὐκ ὀφείλουσι καυχᾶσθαι, ἀλλὰ λέγεις· *Μηδεὶς καυχάσθω ἐν ἀνθρώποις;* Ὅτι ὅσα ἔχουσί, φησι, χαρίσματα, δι' ὑμᾶς, τὸν λαὸν, ἔλαβον αὐτὰ, ἵνα ὑμᾶς ὠφελῶσι. Τί οὖν ἐπ' ἐκείνοις καυχῶνται, ἃ ἔλαβον οὐ δι' οἰκείους πόνους, ἀλλὰ δι' ὑμᾶς, καὶ τὴν ὑμῶν σωτηρίαν; *Ἢ, Μηδεὶς καυχάσθω,* ἢ ἐπὶ τοῖς διδασκάλοις· (οὐ γάρ τι ἔχουσιν αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὶ οἴκοθεν·) ἢ ἐπὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς· οὐ γάρ ἐστι δι' αὐτῶν καταλαβεῖν τὴν ἀλήθειαν. Μᾶλλον δὲ ἡ ἀνωτέρω ἐκδοχὴ, καὶ τῇ λέξει τοῦ χωρίου καὶ τοῖς ἑρεξῆς ἐστιν ἐφαρμόζουσα.

22 Πάντα γὰρ ὑμῶν ἐστὶν, εἴτε Παῦλος, εἴτε Ἀπολ-
λὼς, εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωὴ, εἴτε
23 θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα· πάντα ὑμῶν ἐστιν· ὑμεῖς δὲ, Χριστοῦ· Χριστὸς δὲ, θεοῦ.

Πάλιν ἑαυτὸν καὶ Πέτρον καὶ Ἀπολλὼ τέθεικε, τοὺς διδασκάλους αὐτῶν αἰνιττόμενος, δεικνὺς, ὅτι καὶ χαρίσματα δι' αὐτοὺς εἰλήφεισαν, καὶ διδάσκαλοι προσεβέβλητο· τοῦτο δὲ σφόδρα τὸν τῶν διδασκάλων τῦφον καθαιρεῖ. Ἔπειτα κἀκεῖνο παρασημαίνει· Εἰ ἐγώ, φησι, καὶ Κηφᾶς, καὶ Ἀπολλὼς ὑμῶν ἐσμὲν, σχολῇ γ' ἂν οἱ διδάσκαλοι ὑμῶν ὤφειλον μέγα φρονεῖν. *Εἴτε κόσμος.*] Καὶ αὐτός, φησιν, ὁ κόσμος, καὶ ἡ ζωὴ, δι' ὑμᾶς ἐστι καὶ γέγονε· καὶ ὁ θάνατος αὐτὸς πρὸς σωφρονισμὸν γέγονεν ὑμέτερον. *Εἴτε ἐνεστῶτα.*] Δείκνυσι πάντα δι' αὐτοὺς γενόμενα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα. *Πάντα ὑμῶν.*] Ὡς εὐεργεσίαι καὶ δωρεαί. *Ὑμεῖς δὲ, Χριστοῦ.*] Ὡς ποιήματα καὶ κτήματα. *Χριστὸς δὲ, θεοῦ.*] Ὡς γέννημα καὶ υἱός. Καλῶς δὲ τοῦτο προσέθηκεν· ἐπειδὴ γὰρ εἶπε, *πάντα ὑμῶν, ὑμεῖς δὲ, Χριστοῦ*, ἵνα μὴ, στάντος αὐτοῦ ἐνταῦθα, ἀγέννητον καὶ ἀναίτιον νομίσωσι τὸν υἱὸν, ἐπήγαγε, *Χριστὸς δὲ, θεοῦ.* Οὐχ ὡς ἡμεῖς, Χριστοῦ, οὕτω καὶ ὁ Χριστὸς, θεοῦ, ἄπαγε! Ἡμεῖς μὲν γὰρ, Χριστοῦ, ὡς ἔργον ὄντες αὐτοῦ καὶ ποίημα· ὁ δὲ Χριστὸς, τοῦ θεοῦ, ὡς προαιώνιον γέννημα καὶ υἱὸς, καὶ ὡς αἰτίαν ἔχων τὸν πατέρα.

ΚΕΦ. IV, 1 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς
ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ.
2 Ὅ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πι-
3 στός τις εὑρεθῇ. Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 οὐδὲ ἐμαυτὸν ἀνακρίνω· (οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι·) ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.

Ἡμᾶς λέγων, τοὺς παρ' αὐτοῖς διδασκάλους αἰνίττεται. *Ὡς ὑπηρέτας Χριστοῦ.*] Ἐπειδὴ σφόδρα κατεβεβλήκει τοὺς διδασκάλους, νῦν ἡρέμα ὑψοῖ αὐτούς, *ὑπηρέτας Χριστοῦ* καλῶν *καὶ οἰκονόμους*. Πλὴν εἰ καὶ οὕτως ἐστί, φησιν, μηδεὶς τὸν δεσπότην ἀφεὶς, ἀπὸ τῶν ὑπηρετῶν ὀνομάζεται. *Καὶ οἰκονόμους.*] *Οἰκονόμους μυστηρίων* καλεῖ, δεικνὺς, ὅτι οὐ παντὶ ἁπλῶς δεῖ παρέχειν τὰ μυστήρια, ἀλλὰ τοῖς ἀξίοις. *Ἵνα πιστός τις εὑρεθῇ.*] Πιστός, φησιν, ὤφειλεν εἶναι ὁ οἰκονόμος, καὶ μὴ τὰ τοῦ δεσπότου ἴδια λέγειν εἶναι, ἀλλ' ὡς οἰκονόμος διακονεῖν. Καὶ ταύτῃ δὲ τὸν τῦφον αὐτῶν καταβάλλει. Τοῦτο γάρ ἐσι, φησι, τὸ ζητούμενον, καὶ ὀφεῖλον παντὶ τρόπῳ φυλάττεσθαι παρὰ τῶν οἰκονόμων, τὸ πιστοὺς εἶναι, καὶ ὑπηρέτας ἡγεῖσθαι ἑαυτοὺς, καὶ μὴ ἰδιοποιεῖσθαι καὶ σφετερίζεσθαι τὰ τοῦ δεσπότου. Ἢ οὕτω· *Λογιζέσθω*, φησὶν, *ἡμᾶς ἄνθρωπος πάτε ἄλλα, ἅπερ εἶπον*, καὶ ἃ λοιπὸν κεῖται ἐν τοῖς οἰκονόμοις, κἀκεῖνο ἡμᾶς λογιζέσθω· ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ, *λογιζέσθω*. Τί δέ ἐστι τοῦτο τὸ ἐν τοῖς οἰκονόμοις ζητούμενον; *Ἵνα πιστός*, φησιν, *εὑρεθῇ*. Εἶτα πρὸς τοὺς ἀναισχυντεῖν μέλλοντας καὶ λέγειν ἐπιχειροῦντας· Τί οὖν; σὺ τοιοῦτος εἶ; προαπαντῶν φησιν· *Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ*. Τοῦτο δέ φησιν, οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλὰ τὸ πρέπον ἀξίωμα τῷ κηρύγματι καὶ τῇ διδασκαλίᾳ φυλάττων. Εἰ γὰρ αὐτὸν ἐπολυπραγμόνουν καὶ ἐξήταζον, καὶ ἐν δισταγμῷ εἶχον, σχολῇ γ' ἂν τὰ παρ' αὐτοῖς κηρυσσόμενα καὶ διδασκόμενα παρεδέξαντο ἄν. Εὐλόγως ἄρα καὶ σοφῶς, καὶ ἐπὶ τῇ σφῶν αὐτῶν σωτηρίᾳ ὠφελίμως, τὴν τοιαύτην ὑπάλειψιν καὶ περιπέτειαν αὐτῶν προαναστέλλει, καὶ ἐπιῤῥαπίζει, καὶ ἐπιμόνως ἀναιρεῖ. Εἶτα, ἵνα μὴ δόξῃ οὐχὶ τοῦ κηρύγματος ἕνεκα ταῦτα εἰπεῖν καὶ τῆς κοινῆς ὠφελείας, ἀλλὰ σεμνο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λογῶν καὶ ἐπαίρων ἑαυτὸν, ἐπάγει· *Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι.* Εἰ γὰρ καὶ μὴ ἔξεστιν ὑμῖν ἀνακρίνειν ἐμὲ, μήτε ἁπλῶς ἄλλοις ἀνθρώποις, ἀλλὰ πεπιστευκότας ὑμᾶς, καὶ ἀναμφιβόλως διακειμένους πρὸς ἐμὲ, δεῖ καρποῦσθαι τὴν τοῦ κηρύγματος ὠφέλειαν καὶ διδασκαλίαν· καὶ τοσοῦτον πιςῶς καὶ ἀναμφιβόλως, ὡς εἰδότας, ὅτι οὐδὲ ἐμαυτὸν αὐτὸς ἀνακρίνειν ἔχω· *οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα·* ὅπερ ἐστι μέγιστον καὶ ἀπαράγραπτον ἀρετῆς μαρτύριον· εἴπερ οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα, τὸ ἐνοικοῦν αὐτῷ (α)· ἀλλ' εἰ καὶ ταῦτά ἐστί μοι, φησὶν, *οὐκ ἐν τούτῳ δεδικαίωμαι·* ἔτι γὰρ τοῦ κοινοῦ κριτοῦ δέομαι· ἐκείνου δὲ μήπω πάσης ἀφέντος αἰτίας, ἐν ἀγῶνι καὶ ἐν φόβῳ εἰμὶ, ὡς μήπω δεδικαιωμένος. Ἀλλ' οὐδὲ διὰ τοῦτο προσῆκεν ὑμᾶς τοὺς ὑποδεχομένους τὸ κήρυγμα, ἀμφιβόλως ἔχειν περὶ ἐμὲ, ἢ κρίνειν καὶ ἀνακρίνειν κατατολμᾶν, καὶ, ὃ μόνου ἐστι τοῦ κοινοῦ κριτοῦ, εἰς τοῦτο ἑαυτοὺς ἀναισθητοῦντας συνωθεῖν, καὶ τὸν καιρὸν ἑαυτοῖς προαρπάζειν τῆς κρίσεως. Εἰ δὲ τὸ, *ζητεῖται,* ὡς προστακτικὸν ἐκληφθῇ, *ζητεῖτε,* οὕτως ἥτε σύμφασις, ὡς δῆλον, οὐδὲν ἀσαφὲς ἔξει, καὶ ὁ νοῦς πρόχειρος. *Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν.*] Ἵνα μὴ ἐκ τῆς προφάσεως ταύτης καὶ αὐτὸν μέλλωσι τὸν Παῦλον ἐν ἀμφιβόλῳ ἔχειν, εἰ πιστός ἐστιν οἰκονόμος ἢ οὔ· ὅπερ ἐστὶν ἀνατροπὴ τῆς πίστεως αὐτῶν· τὸ αὐτοῦ ἀσφαλίζεται πρόσωπον, λέγων· Ἀνάξιον ἡγοῦμαι τὸ ὑπό τινος ἀνακρίνεσθαι. Τοῦτο δὲ, οὐ μέγα φρονῶν λέγει, ἀλλ', ὡς εἶπον, δεδοικὼς, μὴ ἀμφίβολον αὐτοῖς τὴν πίστιν ποιήσῃ. *Ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας.*] Τοῦτο προσθεὶς, ἔδειξεν, ὅτι οὐ μόνον παρ' ὑμῶν οὐκ ἀξιῶ ἀνακρίνεσθαι· (ἦ γὰρ ἂν εὐτελείας ἦν αὐτῷ·) ἀλλ' οὐδὲ παρ' ἄλλου τινὸς ἀνθρώπου ἐνδόξου καὶ ὑψηλοῦ· τοῦτο γάρ δηλοῖ τὸ, *ἀλλ' οὐδὲ ὑπὸ ἀνθρωπίνης ἡμέρας. Ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω.*] Τουτέστιν, ἀλλ' οὐδὲ

(α) Ῥωμ. Β', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμαυτὸν ἀρκεῖν ἡγοῦμαι πρὸς τὴν τοιαύτην τῆς κρίσεως ἀκρίβειαν, ἐπεὶ μηδὲ σύνοιδά τι ἐμαυτῷ· *ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι.* Ἵνα δὲ μὴ νομίσῃς, καυχήσεως εἶναι τὸ εἰρημένον, ἐπάγει· *Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι.*] Οὐκ ἔχω, φησί, τὸ ἀσφαλὲς, εἰ μὴ ὁ θεός με δικαιώσει. Τί γὰρ εἰ ἥμαρτον; μὴ ὑμῖν ἐνόμισα ἡμαρτηκέναι; Ὅθεν ἐπάγει· *Ὁ ἀνακρίνων με, Κύριός ἐστιν,* ὁ ἀληθὴς δηλαδὴ κριτής.

5 Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος· ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ.

Εἰ οὖν καὶ τὸν μηδὲν ἑαυτῷ συνειδότα ὁ Κύριος κρίνει· καθὸ αὐτός ἐστιν ὁ ὄντως καὶ ἀληθὴς κριτής· τί δήποτε ὑμεῖς κρίνετε τοὺς ἀδελφοὺς ὑμῶν; Ἦν γὰρ καὶ τοῦτο παρ' αὐτοῖς τὸ νόσημα, ὃ καὶ πειρᾶται διορθῶσαι.—ΑΛΛΟ. Παραινεῖ, μὴ σπουδαῖον ἡγεῖσθαι τὸ ἑαυτοὺς ἐκδικεῖν, μηδὲ τὸ κρίνειν τοὺς ἡμαρτηκέναι δοκοῦντας· μηδὲ ταράσσεσθαι ἐπὶ τοῖς ἐπὶ τοῦ παρόντος τὰς τῶν θνητῶν ὄψεις διαλανθάνουσιν· ἐπείπερ αὐτὸς ὁ Κύριος ἐπιστὰς, τῶν μὲν ἀσεβῶν φωτίσει τὰ κρυπτὰ τοῦ σκότους· τῶν δὲ κοσμίων καὶ θεοσεβῶν, δι' ἐπιείκειαν καὶ ἰδιοπραγμοσύνην λανθανόντων τοὺς πολλοὺς, φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· οἷς καὶ τὸν ἔπαινόν, φησι, γενήσεσθαι ἀπὸ τοῦ θεοῦ.—*Ὃς καὶ φωτίσει.*] Ὅς, φησι, φανερώσει τὰ ἐν ἡμῖν κρυπτά. *Τοῦ σκότους* δὲ λέγει, τὰς λανθανούσας πονηρὰς πράξεις. Πολλάκις γάρ τις, κατὰ τὸ φαινόμενον, ἀγαθόν τι πράττει· ἡ δέ γε προαίρεσις λανθάνουσα σφάλλεται. *Καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.*] Πάντα γὰρ παρ' αὐτῷ γυμνὰ καὶ τετραχηλισμένα (α), καὶ οὐδὲν προσωπεῖον εὐλαβείας ὠφελεῖ τὸν ἔχοντα. *Καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ.*] Ἐπὶ τὸ εὐφημότερον ἦλθε. Καὶ γὰρ ἦν

(α) Ἑβρ. Δ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκόλουθον εἰπεῖν· Τότε ἡ τιμωρία ἡ ὁ ἔπαινος ἔσαι· ἀλλ' εἰς τὸ χρηστὸν ἀπέθετο τὸν λόγον.

6 Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου.

Διὰ τί ταῦτα μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ; *Δι' ὑμᾶς*, φησιν· ἵνα μὴ ἀνιάσω ὑμᾶς, ὀνομαστὶ καθαπτόμενος. Διορθοῦσθαι μὲν γὰρ ἔσπευδεν, ἀνιᾶν δὲ ἐφυλάττετο. Διὰ δὲ τοῦ μετασχηματισμοῦ ἀμφότερα ὑμῖν βουλομένοις ἔσαι, φησί, καὶ τὸ διορθωθῆναι, καὶ τὸ ἀλυπότερον ἀκοῦσαι τῶν ἐπὶ τῇ διορθώσει ἐλέγχων. Ἐποίει δὲ τοῦτο, καὶ ἵνα μὴ, ὡρισμένα πρόσωπα τῷ ἐλέγχῳ καθυποβάλλων, δόξῃ, ἀνθρωπίνῃ τινὶ προσπαθείᾳ ἢ ἀντιπαθείᾳ, τοὺς μὲν ἐᾶν, τῶν δὲ κατατρέχειν. Ἄλλως τε δὲ, καὶ ἵνα μὴ ἐν τῇ τοιαύτῃ διακρίσει, ὧν μὲν καθήψατο, τούτους εἰς ἀπόγνωσιν ἐμβάλῃ, ἢ εἰς ὀργὴν καὶ φιλονεικίαν μείζονα ἀνάψῃ· ὧν δ' ἐπὶ τοῖς ἐλέγχοις οὐκ ἐμνήσθη, τούτους τύφου καὶ ἀπονοίας μᾶλλον ἐμπλήσῃ. Διὸ εἰκότως ἐξ ὀνόματος οὐ καθήψατο· ἀλλ' εἰς ἑαυτὸν καὶ Ἀπολλῶ τὸν ἔλεγχον μετασχηματίσας, καθαρὰν καὶ εὐπρόσοδον τὴν νουθεσίαν κοινὴν ἅπασιν ἐποιήσατο.—*Δι' ὑμᾶς.*] Τουτέστιν, ἵνα μὴ, τὰ πρόσωπα ἰδικῶς ἀκούοντες τῶν διδαλων ὑμῶν, μὴ δέξησθε τὸν λόγον. *Ἵνα ἐν ἡμῖν μάθητε.*] Πρὸς τοὺς διδασκάλους ἀποτείνεται. Ἵνα, φησὶ, διὰ τοῦ ἡμετέρου προσώπου μάθητε τὸ μὴ φρονεῖν ὑπὲρ ὃ γέγραπται· γέγραπται δέ· Ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος (α). *Ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε.*] Οἷον ὁ μαθητὴς ὑπὲρ τοῦ διδασκάλου. Τοὺς διδασκάλους δὲ ἀφεὶς, πρὸς τὸν λαὸν ἀποτείνεται· καὶ γὰρ ὁ λαὸς ὑπὲρ τῶν διδασκάλων μέγα ἐφρόνουν· οἷον, ὁ τόνδε ἔχων διδάσκαλον κατὰ τοῦ τόνδε ἔχον-

(α) Ματθ. Κ', 27. Μαρκ. Θ', 35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος μαθητοῦ ἐφυσιοῦτο καὶ μέγα ἐφρόνει. Καλῶς δὲ αὐτὸ *φυσίωσιν* ἐκάλεσεν, οἱονεὶ οἴδησιν, ἀπὸ μεταφορᾶς σώματος κακοχύμου, ἢ κακὸν πνεῦμα δεξαμένου.

7 Τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες;
8 εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; Ἤδη κεκορεσμένοι ἐστὲ· ἤδη ἐπλουτήσατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν!

Οἷον· Τίς κέκρικέ σε καὶ δεδοκίμακεν, ὦ διδάσκαλε, ἄξιον ἐπαίνου; Οἱ ἄνθρωποι; Ἀλλ' οὐκ ὀρθὴ τούτων ἡ κρίσις. *Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες;*] Ἀλλ' ἐρεῖς, ὅτι ὀρθὴ ἡ τῶν ἀνθρώπων ἐπὶ σοὶ κρίσις, καὶ ὄντως ἀξιέπαινος εἶ ἐν τῇ διδασκαλίᾳ. Μηδὲ οὕτω φρόνει μέγα· οὐ γὰρ σὸν κατόρθωμα τὸ πρᾶγμα, ἀλλὰ δόσις θεοῦ· ὁ δὲ καυχώμενος, πάντως οὐχ ὡς λαβὼν τὸ χάρισμα καυχᾶται, ἀλλ' ὡς ἐξ οἰκείων αὐτὸ πόνων κτησάμενος. *Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών;*] Τοῦτο λέγει κατ' ἐρώτησιν, ἵνα οὕτω νοηθῇ· Τί καυχᾶσαι; ἆρα ὡς μὴ λαβὼν, ἀλλ' οἰκοθεν ἔχων; Καίτοι εἴληφας. *Ἤδη κεκορεσμένοι ἐστέ.*] Ἀπὸ τοῦ χρόνου αὐτοὺς ἐντρέπει, λέγων· Οὕτω ταχὺ ἐκορέσθητε, καὶ οὐδενὸς δεῖσθε. *Ἤδη ἐπλουτήσατε.*] Καὶ ἐν οὐδενός ἐστε χρείᾳ. Ἡ γὰρ καύχησις τοῦτο δηλοῖ, ὅτι εἰς αὐτὴν ἐφθάσατε τὴν κορυφὴν τῆς γνώσεως, καὶ οὐ χρείαν ἔχετε τινός. *Χωρὶς ἡμῶν ἐβασιλεύσατε.*] Κατὰ ἦθος ὁ λόγος προῆκται. Καὶ πρῶτον μὲν, τὸ ἀσυνείδητον αὐτῶν ἐνδείκνυται καὶ τὸ ἀνόητον· ὅτι, φησὶ, τηλικούτων ἀξιωθέντες δωρεῶν, οὐ βούλεσθε ἡμᾶς κοινωνοὺς καὶ μετόχους τῶν δοθέντων ὑμῖν ποιῆσαι. Ἀλγῶν, φησι, ταῦτα λέγω. *Καὶ ὄφελόν γε ἐβασιλεύσατε.*] Εἰρωνικὸς οὗτος ὁ λόγος. Εἴθε γάρ, φησιν, ἦτε βασιλεύσαντες! ἀλλ' οὐκ ἐστέ. Εἶτα, ἵνα μὴ δόξῃ κατὰ εἰρωνείαν εἰρηκὼς τὸ, *Καὶ ὄφελόν γε ἐβασιλεύσατε*, δείκνυσιν, ὅτι σφόδρα τοῦτο ἤθελε. Πῶς δὲ τοῦτο; Ὅτι, φησὶν, ἡ ὑμῶν βασιλεία, ἐμὴ ἦν· δόξα γὰρ διδασκάλῳ, τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαθητῶν ἐν πίστει πλουτησάντων. Εἰ ἐκορέσθητε, εἰ ἐπλουτήσατε, εἰ ἐβασιλεύσατε, δόξα ἡμῶν ἐστι, συμβασιλευσάντων ὑμῖν. Ὑμεῖς ἤδη ἐν Χριστῷ καὶ φρόνιμοι, καὶ ἰσχυροί, καὶ ἔνδοξοι. Ταῦτα γὰρ εἰρωνείαν λέγοντός ἐστι ῥήματα.

9 Δοκῶ γάρ, ὅτι ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώ-
10 ποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.

Λυπουμένου, μᾶλλον δὲ ἐντρέποντος καὶ καταισχύνοντος ῥήματα λέγει. Ὡς γὰρ ὁρῶ, φησί, καὶ ἐξ ὧν ὑμεῖς ποιεῖτε, ἡμεῖς οἱ ἀπόστολοι, ἔσχατοι πάντων παρὰ θεοῦ ἀποδείχθημεν, καὶ *ἐπιθανάτιοι*, τουτέστι, κατάδικοί τινες, εἰς τὸ φονεύεσθαι πᾶσιν εὐχερεῖς. Ἡμεῖς μὲν οὖν εἰς τὸ πάσχειν κακῶς προκείμεθα· ὑμεῖς δὲ ἤδη ἐβασιλεύσατε. Ἐξ ὧν γὰρ ὑμεῖς ἐβασιλεύσατε οὕτω ταχέως, ὡς νομίζω· (τοῦτο γὰρ λέγει τὸ δοκῶ·) ἡμεῖς γινώσκομεν, ὅτι ἔσχατοι εἰς τὸ κακῶς πάσχειν, κατακεκρίμεθα. Δυνατὸν δὲ καὶ κατὰ ἀπόφανσιν καὶ ἐξ εὐθείας λαβεῖν τὸ ῥητόν. Δοκῶ γάρ, φησιν, ὅτι ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους, ἐσχάτους κήρυκας καὶ διδασκάλους ὑμῶν προεστήσατο, μεθ' οὓς οὐκ ἄν τις ἄλλους ἀλλαχόθεν ποθὲν ἀναφανέντας ὀφείλει προσδέχεσθαι. Οὐ γὰρ ἂν εἴποιεν, ὅτι καὶ αὐτοὶ ἀπὸ Χριστοῦ ἀπεστάλησαν· ἡμεῖς γὰρ ἐσμὲν οἱ ἐπιθανάτιοι ἀποσταλέντες. Τὸ δέ, *οἱ ἐπιθανάτιοι*, διχῶς ἂν νοηθείη· ἢ ὅτι καὶ οἱ κατ' αὐτὸν τὸν θάνατον κυρωθέντες εἶναι μαθηταί, συντάττων καὶ ἑαυτὸν τοῖς ἄλλοις μαθηταῖς, καὶ ἀπὸ τῶν πλειόνων οὕτω πάντας ὀνομάζων· ἢ μεταφορικῶς τὸ, *ἐπιθανάτιοι*· οἷον, οἱ βέβαιοι, οἱ ἀληθινοί, μεθ' οὓς οὐκ εἰσὶν ἄλλοι, ἀπὸ τῶν ἐπιθανατίων διαθηκῶν· αὗται γάρ εἰσι βέβαιαι καὶ ἀμετακίνητοι· αἵ τε γὰρ πρὸ αὐτῶν, κοινοῦνται, καὶ αἱ μετ' αὐτὰς δὲ, πλασταὶ καὶ κίβδηλοι, καὶ ἀπόβλητοι νόμῳ τυγχάνουσι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ τὸ, *δοκῶ*, δὲ, οὐ δισταγμοῦ, ἀλλ' ἤθους ἐστὶν ἐμφαντικόν. Εἶτα, Καὶ πόθεν δῆλον, φησὶν, ὅτι ἔσχατοι καὶ τελευταῖοι, καὶ μεθ' οὓς οὐκ ἔστιν ἄλλους ἄλλα κηρύσσοντας ἀποδειχθῆναι; Ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, φησίν. Ὁ κόσμος αὐτός, φησι, καὶ ἡ οἰκουμένη τοῦτο μαρτυρεῖ· καὶ οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ αἱ ἄνω τῶν ἀγγέλων τάξεις. Πῶς οὖν ὑμεῖς, ὡς ἀρχηγοὶ καινῆς διδασκαλίας καὶ καθηγηταὶ, φυσιοῦσθε καὶ ἐπαίρεσθε; Εἰ μὲν γὰρ, ἃ παρ' ἡμῶν παρειλήφατε, διδάσκετε, μαθηταὶ ἐστὲ, καὶ μάτην ἐφυσιώθητε· εἰ δὲ ἕτερα, παρ' ἃ παρειλήφατε, γινώσκετε, ὅτι ἡμεῖς ἐσμὲν, οὓς ἐσχάτους καὶ τελευταίους καὶ ἐπιθανατίους ὁ θεὸς ἀπέδειξε. Πόθεν οὖν ὑμεῖς παρειληφότες διδάσκετε; Εἰ γὰρ ἡμεῖς ἐσμὲν, οὓς ὁ θεὸς τελευταίους καὶ ἐπιθανατίους ἀποστόλους ἀπέδειξε, δῆλον ὅτι, εἴ τι χρηστὸν παρειλήφατε μάθημα καὶ κατόρθωμα, ἐκ τῶν ἡμετέρων πόνων καὶ τῆς διδασκαλίας ὑμῖν προσγέγονεν. Εἴθε οὖν ἐν τούτοις ἐπλουτήσατε! εἴθε ἐβασιλεύσατε! ἵνα καὶ ἡμεῖς ὑμῖν, οἱ τὰ σπέρματα τῆς θεογνωσίας καὶ τῶν ἀρετῶν καταβαλόντες, συμβασιλεύσωμεν. Ἀλλὰ δέδοικα, μὴ οὐχ οὕτως ἔχῃ τὰ ὑμέτερα.—*Τοὺς ἀποστόλους.*] Ἔμφασιν ἔχει πολλὴν τὸ, *ἡμᾶς τοὺς ἀποστόλους*, τουτέστι, τοὺς τοσαῦτα ὑπὲρ Χριστοῦ πεπονθότας. *Ὅτι θέατρον ἐγενήθημεν.*] Πῶς δέ, φησι, νομίζω, ὅτι ἔσχατοι ἐσμέν; Ὅτι θέατρον τῷ κόσμῳ ἐγενήθημεν· τουτέστιν, οὐκ ἐν μιᾷ γωνίᾳ πάσχομεν κακῶς, ἀλλὰ πανταχοῦ γῆς· καὶ ὑμεῖς ἤδη βασιλείαν ὀνειροπολεῖτε; Ἐξ ὧν δὲ περὶ τῶν ἀποστόλων ταῦτα λέγει, δείκνυσι τὴν ἐκείνων οἴησιν ματαίαν καὶ ψευδῆ. *Καὶ ἀγγέλοις.*] Τοιαῦτα, φησὶν, ἡμῶν τὰ παλαίσματα, ὡς καὶ ἀγγελικῆς εἶναι θεωρίας ἄξια. *Ἡμεῖς μωροὶ διὰ Χριστόν.*] Καὶ τοῦτο ἐντρεπτικῶς. Ἡμεῖς, φησὶν, ὡς ὁρῶ, μωροὶ ἐσμὲν, τοιαῦτα πάσχειν ἀνεχόμενοι. *Ὑμεῖς δὲ φρόνιμοι ἐστέ.*] Οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομήσαντες, ὡς ἤδη καὶ βασιλεύειν ἐν Χριστῷ, ὅ ἐστιν, ἐν τοῖς κατὰ Χριστὸν πράγμα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν. Εἶτα ἐπάγει, ὅτι καὶ ἀσθενεῖς καὶ ἄτιμοι, καὶ τῶν ἀναγκαίων ἐνδεεῖς· ὑμεῖς δὲ πᾶν τοὐναντίον· τοῦτο κατασκευάζων· Ὅτι ἡμᾶς μᾶλλον ἔδει, τοὺς κοπιάσαντας καὶ κεκμηκότας, ἀπολαύειν τῶν ἀγαθῶν, παρὸ ὑμᾶς τοὺς μὴ κοπιάσαντας· εἰ δὲ ἡμεῖς οὕπω ἀπολαύομεν, ἀλλ' ἔτι ἐσμὲν ἐν τῷ πάσχειν κακῶς; πῶς ὑμεῖς ὡς ἤδη ἀμοιβῶν ἀπολελαυκότες διὰ τῶν χαρισμάτων, καὶ ὡς ἤδη τὴν βασιλείαν τῶν οὐρανῶν ἔχοντες ἐν χερσὶν, (ἥνπερ ἄνω λέγει, ὅτι *ἐβασιλεύσατε*,) μέγα φρονεῖτε, καὶ ἀλαζονεύεσθε; *Ἡμεῖς μωροὶ διὰ Χριστόν*.] Τουτέστι, δι' αὐτὸν μωροὶ φαινόμεθα καὶ πάσχοντες· ὑμεῖς δὲ ἐξ οἰήσεως, καὶ μὴ πάσχοντες, φαίνεσθε ἔχειν τὴν τοῦ Χριστοῦ βασιλείαν. Ἕως δὲ κάτω, κατὰ εἰρωνείαν ὁ λόγος αὐτῷ προῆκται.

11 Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν,
καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστα-
12 τοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί·
λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα·
13 βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα
τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι.

Ἕως, φησὶ, τὰ παλαιὰ· τὰ νῦν λέγω, ἐν οἷς ἐσμέν. Πρὸς τοὺς τρυφῶντας λέγεται τὸ, καὶ *κολαφιζόμεθα*· πρὸς τοὺς πεφυσιωμένους τὸ, *ἀστατοῦμεν*, τουτέστι, διωκόμεθα στάσιν μὴ ἔχοντες. *Ἐργαζόμενοι*.] Ταῦτα ὡς πρὸς τοὺς κέρδους ἕνεκεν καὶ πορισμοῦ ἐπιχειροῦντας τὸ κηρύσσειν. Ἡμεῖς, φησιν, κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, διωκόμενοι, βλασφημούμενοι, οὐ δυσχαιρένομεν, ἀλλὰ χαίρομεν· διὸ καὶ εὐλογοῦμεν. *Διωκόμενοι, ἀνεχόμεθα*.] Τοῦτό ἐστι τὸ μωρὸν γενέσθαι διὰ Χριστόν· οἱ γὰρ ταῦτα πάσχοντες, καὶ μὴ ἀντιδρῶντες, ἀλλὰ καὶ τοῖς χρηστοτέροις ἀμειβόμενοι, μωροὶ τοῖς ἀνθρώποις νομίζονται. *Ὡς περικαθάρματα*.] Τουτέστιν, ὡς ἀκαθαρσία, ὡς ἄτιμοι καὶ φευκτοὶ ἐγενήθημεν. Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι αὐτοὺς αἰνίττεται· (πολλὰ γὰρ ἦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπομείνας ἐν Κορίνθῳ·) τοῦ κύσμου, φησὶν, οὐχ ὑμῶν. *Περικαθάρματα* δὲ, ἀντὶ τοῦ, ἀποψήγματα, καὶ ὥσπερ ἀποσαρώματα γεγόναμεν, ἤγουν σκύβαλα, ἅπερ κοινῶς ἀποφιλοκαλήματα καλοῦνται. Ὑπὸ πάντων εὐτελιζόμενοι, καὶ πάντων ἀποκαθάρματα ἐσμὲν, ὑποτιθέντες ἑαυτοὺς πᾶσιν ἀνθρώποις διὰ Χριστόν. *Πάντων περίψημα.*] *Περίψημα* λέγεται τὸ σάβανον, ὃ τοὺς ἱδρῶτας τοῦ κάμνοντος ἀποψύχει (1). Βαρυθυμοῦντος δὲ λέγει ῥήματα, ἵνα πείσῃ αὐτοὺς, μὴ φρονεῖν μέγα. Εἰ γὰρ ἡμεῖς, φησιν, οἱ ἀπόστολοι ἐν τούτοις, τί ὑμεῖς μέγα φρονεῖτε, ἐφ' οἷς ἐλάβετε χαρίσμασιν, ὡς ἤδη μεγάλοι τινές; *Ἕως ἄρτι.*] Ἀντὶ τοῦ, Οὔτε γὰρ νῦν ἐπαύσαντο οἱ ἐπηρεάζοντες.

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα
15 μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου
16 ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Οὐχ ἵνα, φησὶ, καταισχύνω ὑμᾶς, ταῦτα ἔγραψα· ἀλλ' ἵνα νουθετήσω. Εἰ γὰρ ὡς τέκνα ἀγαπῶ, δῆλον ὅτι πάντα πρὸς ὠφέλειαν ὑμῶν ποιῶ· οὐ γὰρ ὡς μαθητὰς, ἀλλ' ὡς τέκνοις προσέχω. *Ἐὰν μυρίους παιδαγωγοὺς ἔχητε.*] Πρὸς τοὺς διδασκάλους ἀποτείνεται, δεικνὺς, ὅτι πολὺ μᾶλλον αὐτοὺς ἀγαπᾷ, παρὸ οἱ νῦν ἐπιπηδήσαντες καὶ καταδιελόμενοι αὐτοὺς διδάσκαλοι. Τοῦτο δὲ δῆλον, φησι, καὶ ἐξ αὐτῶν τῶν ὀνομάτων· οἱ μὲν γὰρ, παιδαγωγοί εἰσιν· ἐγὼ δὲ, πατήρ. *Ἐν Χριστῷ.*] Οὐδὲ ἐκείνους ἔπληξε, προσθεὶς τὸ, *παιδαγωγοὺς ἐν Χριστῷ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ.*] Οὐκ ἐμαυτῷ, φησι, τοῦτο

(1) Περίψημα, κατὰ τοὺς λεξικογράφους, τὸ περικατάμαγμα· ἢ τὸ κατάπτημα, τὸ ὑπὸ τὰ ἴχνη τῶν ποδῶν πάντων καταπατούμενον· ἢ, κατὰ τὸν Ζωναρὰν, τὸ ἀποῤῥιπτούμενον σκύβαλον, ὡς περιττὸν· ἀπὸ μεταφορᾶς τῶν τὰς τραπέζας ἀποψώντων μετὰ τὸ φαγεῖν. Ἔστι δὲ ἐνταῦθα περίψημα, ἄνθρωπος εὐτελὴς, φαῦλος καὶ ἀπόβλητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λογίζομαι, ἀλλὰ τῷ Χριστῷ. *Ἐγὼ ὑμᾶς ἐγέννησα.*] Τοιγαροῦν καὶ οἱ διδάσκαλοι ὑμῶν παρ' ἐμοῦ ἔμαθον, ἅπερ ὑμῖν λέγουσιν. *Ἐγέννησα* δὲ λέγων, ἢ τοῖς τῆς φύσεως ὀνόμασι χρῆται τὴν ἀγάπην ἐνδεικνύμενος· ἢ ὅτι διὰ τοῦ κηρύγματος ἐγὼ ὑμᾶς ἐγέννησα ἐν τῷ βαπτίσματι. *Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.*] Δίκαιοι τοίνυν ἐστέ, μιμεῖσθαί με ἅτε πατέρα. Οὐκ ἐπαίρων ἑαυτὸν λέγει τοῦτο, ἀλλὰ δεικνὺς, εὐχερῆ αὐτοῖς εἶναι τὴν αὐτοῦ μίμησιν. Εἰ γὰρ ἐγώ, φησι, Χριστὸν μιμοῦμαι, πῶς οὐχὶ ὑμεῖς ἐμέ;

17 Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον
μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀνα-
μνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς παν-
18 ταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. Ὡς μὴ ἐρχομέ-
19 νου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. Ἐλεύ-
σομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ,
καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων,
20 ἀλλὰ τὴν δύναμιν. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ
θεοῦ, ἀλλ' ἐν δυνάμει.

Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον.] Ἐπειδὴ ὡς τέκνων κήδομαι ὑμῶν. *Ὃς ἐστι τέκνον μου ἀγαπητόν.*] Τήν τε πρὸς Τιμόθεον ἀγάπην ἐμφαίνει, κἀκείνους παρασκευάζει, αἰδεσίμως αὐτὸν ἰδεῖν. *Καὶ πιστὸν ἐν Κυρίῳ.*] Οὐχ ἁπλῶς, φησὶ, *πιστὸν* εἰς σαρκικὰ πράγματα, ἀλλ', *ἐν Κυρίῳ*, τουτέστιν, ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν. *Ὃς ὑμᾶς ἀναμνήσει.*] Οὐκ εἶπε, *διδάξει*, ἵνα μὴ δυσανασχετήσωσιν, ὡς παρὰ Τιμοθέου, νέου ὄντος, μαθησόμενοι. *Τὰς ὁδούς μου.*] Τουτέστιν, οὐδὲν ἴδιον εἴπῃ, ἀλλὰ τὰ ἐμά. *Ὁδούς* δέ, φησι, τὰς οἰκονομίας, τὸ κήρυγμα, τοὺς κινδύνους, τὰ ἔθη τὰ ἀποστολικὰ, τοὺς νόμους τοὺς θείους, ἐν οἷς περιπατεῖ. Εἶτα ἀνάγων τὸν λόγον, *Τὰς ἐν Χριστῷ*, φησὶ, τουτέστι, τὰς μηδὲν ἐχούσας ἀνθρώπινον. Οὐδέν, φησι, καινὸν ὑμῖν εἴπῃ, ἀλλὰ *καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω*, ἤτοι τὰς ἐν ἑκάστῃ ἐκκλησίᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διδασκαλίας μου. *Ὡς μὴ ἐρχομένου δέ μου.*] Ἐπειδὴ εἶπε, Πέμπω Τιμόθεον, ἵνα μὴ ῥαθυμότεροι γένωνται, ὡς αὐτοῦ μὴ μέλλοντος ἀπιέναι, διορθοῦται αὐτὸ, ἐπάγων τὸ, *Ἐλεύσομαι δέ. Ἐφυσιώθησάν τινες.*] Ἦσαν τινὲς, κατὰ τὸ εἰκὸς, ἑαυτοὺς ἐπιδεδωκότες, ἢ ἐπὶ γνώσει, ἢ ἐπὶ βίῳ, ἢ ἐπί τινι τῶν πνευματικῶν ἀλαζονευόμενοι. Εἶτα ἔνθεν κενοδοξία καὶ φυσίωσις παρυπέστη. Τῇ οὖν ἀπουσίᾳ τοῦ διδασκάλου, μηδενὸς ὄντος τοῦ ἐλέγχοντος καὶ διορθουμένου, ἦσαν πεφυσιωμένοι. *Ἐλεύσομαι δέ.*] Τὸ, *Ἐλεύσομαι ταχέως πρὸς ὑμᾶς*, προοῦντός ἐστι καὶ φοβουμένου, τούτους νήφειν καὶ κατεστάλθαι παρασκευάζοντος. *Καὶ γνώσομαι.*] Ἴσως καὶ ἐκόμπαζόν τινες ὡς τέλειοι καὶ πνευματικοί· ἀλλά, φησιν, ἐρχόμενος, ἔχω γνῶναι, εἰ περὶ ἑαυτῶν κομπάζετε. Τοῦτο γὰρ οὐδενὸς ἄξιον, τὸ κομπάζειν μόνον δίχα ἔργων· ἀλλ᾽ εἰ ἄξια τῶν λόγων τὰ ἔργα· οὐ γὰρ λόγων χρεία, ἀλλὰ τοῦ ἔργον ποιεῖν πνευματικόν. Οὐ γὰρ λόγοι χωρὶς ἔργων εἰσενέγκοιεν ἂν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅπερ λέγει *εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ᾽ ἐν δυνάμει*, τουτέστιν, ἐν τῇ ἐπιδείξει τῶν ἔργων.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Κατὰ πόρνων καὶ πορνείας, καὶ τῶν τούτοις κοινωνούντων.

21 Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ,
ΚΕΦ. V, 1 πνεύματί τε πραότητος; Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ
2 πατρὸς ἔχειν. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ; καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας;

Ὑμεῖς, φησι, τούτων κύριοι ἐστὲ, ἢ ῥαθυμοῦντες εἰς ὀργήν με

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τιμωρίαν ἐγεῖραι, ὡς τὸν Πέτρον ὁ Ἀνανίας (α), καὶ ἐμὲ αὐτὸν ὁ Ἐλύμας (β), ἢ σπουδάζοντες καὶ νήφοντες, εἰς ἀγάπην. *Ἐν πνεύματι πραότητος.*] Ἕνι γὰρ καὶ πνεῦμα αὐστηρότητος καὶ τιμωρίας· ἀλλ' ἀπὸ τῶν χρηστοτέρων αὐτὸ καλεῖ. *Ἀκούεται ἐν ὑμῖν.*] Κοινὸν πάντων ποιεῖ τὸ ἔγκλημα, ἵνα μὴ ῥαθυμήσωσιν ὡς ἀλλότριοι τοῦ πλημμελήματος. *Ἐν ὑμῖν* δέ, φησι, τουτέστι τοῖς πιστοῖς, τοῖς τοσούτων εὐεργεσιῶν ἀπολαύσασι. Καὶ οὐκ εἶπε, Πράττεται, ἀλλ' ἐκ περιουσίας, *Ἀκούεται.* Τὸ δὲ, *ὅλως ἀκούεται*, ὡς ἐκπεπληγμένου ἐπὶ τῇ φήμῃ καὶ ἀσχάλλοντος. Φεῦ τῆς ἀτοπίας! *Ὅλως ἀκούεται*· ὅλως ἐπὶ γλώσσης τινῶν ταῦτα λέγειν περὶ ὑμῶν ἐγκατέσκηψεν. *Οὐδὲ ἐν τοῖς ἔθνεσιν.*] Ἀπὸ τῶν ἐθνικῶν, τουτέστι, τῶν ἀπίστων, ὀνειδίζει τοῖς πιστοῖς. Εἰ δὲ παρ' αὐτοῖς οὐδὲ ὀνομάζεται, τί ἂν εἴποι τις ἔνθα καὶ πράσσεται; Εἰ δὲ ἃ πράττεται ἐν τοῖς ἔθνεσι, ταῦτα ἐν ὑμῖν καὶ μόνον ἀκουόμενα μέγα ὄνειδος φέρει, τὸ καὶ ὁμοίως ὄντε τοῖς ἔθνεσι καὶ ἐν ὑμῖν τοῖς πιστοῖς τοιαῦτα αἴσχη πράττεσθαι, πόσην τὴν κατηγορίαν αὔξει; Εἰ δὲ τοῦτο, τὸ πράττεσθαι ἐν ὑμῖν, ἃ μηδ' ἐν ἐκείνοις, τίνα κακίαν οὐχ ὑπερακοντίζει; *Ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν.*] Ἴσως μητρυιάν. *Πεφυσιωμένοι ἐστέ.*] Ἡ γὰρ ἐκείνου πλημμέλεια, κοινὴν ὤφειλεν ὑμῖν αἰσχύνην γεννῆσαι· νῦν δὲ φυσιοῦσθε, ἐφ' οἷς ἕκαστος κατορθοῦν δοκεῖ. Ἐὰν δὲ ἦτε οἰκειωμένοι τὸ ἐκείνου πλημμέλημα, ὡς ὑμετέρου μέρους, ἐπενθεῖτε ἂν· ἐπειδὴ εἰς τὸ κοινὸν τῆς ἐκκλησίας ἡ βλάβη προεχώρησεν. *Ἵνα ἐξαρθῇ.*] Διὰ τί ἐπενθήσαμεν ἄν; ὡς ἐξ ἀντιθέσεως. Διὰ τί; Οὐχ ἵνα ἐκβάλητε, ἀλλ' *ἵνα ἐξαρθῇ*, ὡς ἐπὶ λοιμοῦ τινος· ὡς εἰ εἶπεν· Εὐχῶν καὶ πένθους χρεία, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ λοιμὸς οὗτος. *Ὁ τὸ ἔργον τοῦτο ποιήσας.*] Οὐ λέγει τὸ ὄνομα· ὅπερ εἰώθαμεν ἐπὶ τῶν σφόδρα ἀτόπων ποιεῖν· οἷον καὶ τὴν προσηγορίαν ὡς μολυσμὸν παραιτούμενος.

(α) Πραξ. Ε', 3. 5. (β) Πραξ. ΙΓ', 8. 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ
πνεύματι, ἤδη κέκρικα ὡς παρὼν, τὸν οὕτω τοῦτο
4 κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ
πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
5 Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς
ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ
6 ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. Οὐ καλὸν τὸ καύχημα ὑμῶν.

Ἐπείγεται ἐκδιῶξαι αὐτὸν, καὶ οὐδὲ τὴν σωματικὴν αὐτοῦ παρουσίαν ἀναμεῖναι αὐτοὺς βούλεται. *Παρὼν δὲ τῷ πνεύματι.*] Δείκνυσιν ἑαυτὸν πνεύματι παρόντα, δεδοικὼς, μή τι ἕτερον βουλεύσωνται περὶ τὸ ἐκβαλεῖν αὐτόν· καὶ φησιν· *Ἤδη κέκρικα.* Μηδεὶς τοίνυν ἀναβαλέσθω· ἡ ἐμὴ κρίσις ἡ κατ' αὐτοῦ ἤδη πέπηγεν. *Τὸν οὕτω τοῦτο κατεργασάμενον.*] Ἄλλοι οὕτως ἀνέγνωσαν· *Τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·* τουτέστι· Τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα, καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς Χριστοῦ ἐπωνυμίας τοιαῦτα τολμήσαντα, παράδοτε τῷ σατανᾷ (1). *Συναχθέντων ὑμῶν.*] Ἵνα μὴ δόξῃ αὐθαδείας εἶναι τὸ, *Ἤδη κέκρικα,* καὶ αὐτοὺς λαμβάνει κοινωνοὺς ἐν τῷ λέγειν, *Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος,* τουτέστι τῆς ἐμῆς ἀοράτου ἐπιδημίας. Εἶτα ἐπάγει· *Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*] Τουτέστι, κατὰ θεὸν συνάχθητε καὶ κρίνατε, μὴ ἀνθρωπίνῃ πρὸς αὐτὸν αἰδοῖ ἢ τιμῇ

(1) « Τινὲς δὲ οὕτως ἀναγινώσκουσι· Τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ὑποστίξαντες ἐνταῦθα, ἢ μέσην θέντες, οὕτως ἐπάγουσι τὸ ἑξῆς, λέγοντες· Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πεύματος παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ· καί φασι, τὴν ἔννοιαν ταύτην εἶναι τῆς τοιαύτης ἀναγνώσεως· Τὸν τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ παράδοτε τῷ σατανᾷ· τουτέστι, τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα, τὸν μετὰ τὸ γενέσθαι πιστὸν καὶ ἐπώνυμον ἐκείνης τῆς προσηγορίας τοιαῦτα τολμήσαντα, παράδοτε τῷ σατανᾷ. Ἐμοὶ δὲ ἡ προτέρα ἀληθεστέρα ἐκδοσις εἶναι δοκεῖ· ποία δὲ αὕτη; Ἐν τῷ ὀνόματι τοῦ Κυρίου συναχθέντων ὑμῶν, τουτέστιν, αὐτοῦ τοῦ ὀνόματος ὑμᾶς συνάγοντος, ὑπὲρ οὗ συνέρχεσθε, καὶ τοῦ ἐμοῦ πνεύματος. » Χρυσόστομος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατεχόμενοι· δέδοικε γὰρ, μή τι ἕτερον κρίνωσι. *Καὶ τοῦ ἐμοῦ πνεύματος.*] Πάλιν ἐπέστησεν αὐτοῖς ἑαυτόν· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὸν Χριστὸν, ἵνα, ὅταν κρίνωσιν, ὡς τοῦ Χριστοῦ καὶ αὐτοῦ παρόντος, ἀδέκαστον ἐξενέγκωσι ψῆφον. *Εἰς ὄλεθρον τῆς σαρκός.*] Ὅρον τίθησι τῷ σατανᾷ, καὶ οὐκ ἐᾷ αὐτὸν περαιτέρω προβῆναι, δηλαδὴ μόνον τοῦ σώματος ἅψασθαι, μὴ καὶ τῆς ψυχῆς. Ὅμοιον ἐν τῷ Ἰώβ φησιν ὁ θεός· « Πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ (α). » Καλῶς δὲ τὸ, *Εἰς ὄλεθρον τῆς σαρκός·* οἷον, ἵνα νόσῳ αὐτὸν τήξῃ. Ἐπειδὴ γὰρ ἐκ τοῦ σώματος καὶ τῆς τρυφῆς αἱ ἐπιθυμίαι, τὸ σῶμα κολασθῆναι καὶ νεκρωθῆναι βούλεται. *Ἵνα τὸ πνεῦμα σωθῇ.*] Ἵνα, φησὶν, ἡ ψυχὴ σωθῇ· τούτῳ γὰρ τῷ τρόπῳ καὶ τὸ σῶμα σωθήσεται.—Καὶ ἄλλως εἰς τὸ, *Ἵνα τὸ πνεῦμα σωθῇ*, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον σωθῇ αὐτῷ, καὶ μὴ ἀναχωρήσῃ, ὡς ἐξ ἀσεβοῦς (1). Τοῦτο δὲ κηδομένου μᾶλλον, ἢ τιμωρουμένου ἐστίν.—*Οὐ καλὸν τὸ καύχημα ὑμῶν.*] Αἰνίττεται, ὅτι αὐτοὶ αὐτὸν οὐκ εἴασαν μετανοῆσαι, καυχώμενοι εἰς αὐτόν. Ἴσως γὰρ τῶν παρὰ σφίσι σοφῶν εἷς ἦν οὗτος.

6 Οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυ-
7 μοῖ; Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πά-
8 σχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός. Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

Καὶ αὐτῶν κήδεται. Καὶ γὰρ ἀμελούμενόν, φησι, τὸ κακὸν, καὶ τῷ λοιπῷ λυμαίνεται τῆς ἐκκλησίας σώματι, διὰ τὸ καὶ ἑτέρους αὐτὸ μιμεῖσθαι. Ὥσπερ γὰρ ζύμη, μικρὰ οὖσα, ἅπαν τὸ φύραμα ζυμοῖ, καὶ εἰς ἅπαν ἀναχεῖται· οὕτω καὶ ἡ τούτου ἁμαρτία πρὸς ἑαυτὴν ἐπισπᾶται πολλούς. *Ἐκκαθάρατε οὖν τὴν*

(α) Ἰὼβ Α', 12. (1) Ὁ Θεοδώρητος. « Πνεῦμα δὲ ἐνταῦθα οὐ τὴν ψυχὴν καλεῖ, ἀλλὰ τὸ χάρισμα. Ταῦτα γάρ, φησι, πάντα ποιῶ, ἵνα τοῦτο ἐν αὐτῷ φυλαχθῇ ἕως τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παλαιὰν ζύμην.] Τουτέστι, τοὺς τὰ τοιαῦτα πράσσοντας. *Παλαιὰν* δὲ αὐτοὺς ζύμην καλεῖ, ἢ διὰ τὸ σεσηπέναι τῇ ἁμαρτίᾳ, ἢ ὅτι ἐν Χριστῷ πάντες καινὴ κτίσις· μόνη δὲ ἡ ἁμαρτία παλαιά. Τὸ δὲ, *ἐκκαθάρατε*, τὴν ἀκριβῆ δηλοῖ κάθαρσιν. *Ἵνα ἦτε νέον φύραμα.*] Ἵνα πάντες ἦτε τοῦ νέου φυράματος. *Νέον* γάρ οἶδεν ἄνθρωπον ἡ Γραφὴ τὸν ἐνάρετον· παλαιὸν δὲ, τὸν ἀσεβῆ. Δηλοῖ δὲ, ὅτι οὐ πολλοὶ ἦσαν παρ' αὐτοῖς ἁμαρτωλοί. *Ἵνα*, φησὶν, ἦτε, τουτέστιν, ἐκτὸς τῆς παλαιᾶς ζύμης ἐκείνης, περὶ ἧς εἶπον. *Καθὼς ἐστὲ ἄζυμοι.*] Τουτέστι, καθὼς χρέος ὑμῖν ἐστὶν ἀζύμοις εἶναι, τουτέστι, χωρὶς ζύμης. Πόθεν δὲ δῆλον, ὅτι ἄζυμοι ὀφείλομεν εἶναι; Αὐτόθεν φανερόν. *Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός.* Ὥσπερ οὖν οἱ ἐν τῷ νόμῳ βιοῦντες, θυομένου αὐτοῖς τοῦ προσκαίρου καὶ ἀλόγου ἀμνοῦ, ἐν ἑπτὰ ἡμέραις ἄζυμοι ἦσαν· (οὐ γὰρ ἐξῆν αὐτοῖς ἐζυμωμένον οὔτε ἔχειν οἴκοι, οὔτε φαγεῖν·) οὕτω καὶ ἡμεῖς, τοῦ αἰωνίου καὶ λογικοῦ ἀμνοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ ἡμῶν τυθέντος· (τοῦτο γάρ ἐστι τὸ *ἡμέτερον Πάσχα*·) ὀφείλομεν ἄζυμοι ἀεὶ καὶ καινὸν φύραμα εἶναι, μηδὲν τῆς παλαιᾶς ζύμης, ἤτοι τῆς ἁμαρτίας, ἑαυτοῖς συνεπιφερόμενοι. Ὅρα δὲ, πῶς καταλλήλως καὶ προσφυῶς ἐπέμεινε τῇ τροπῇ. Ἐπειδὴ γὰρ τοῦ πεπορνευκότος τὴν ἁμαρτίαν ζύμην ἐκάλεσεν, ἐμφαίνων, ὅτι, μὴ ἐκκαθαιρομένης ταύτης, ταχὺ καὶ τὸ ἄλλο συναναζυμοῦται φύραμα, ἀκολούθως ἥρμοσε καὶ τὰ ἑφεξῆς, *ζύμην παλαιὰν*, καὶ *νέον φύραμα*, καὶ *ἀζύμους*, τὰς ἀρετὰς καὶ κακίας τούτοις τοῖς ὀνόμασιν ὑποδηλῶν. — *Καὶ γὰρ τὸ Πάσχα.*] Ὁ, γὰρ, σύνδεσμος αἰτιολογικός. Ἐπὶ αἰτίᾳ οὖν κεῖται. *Τὸ γὰρ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός.* Ἐπειδὴ γὰρ ὁ νόμος διαγορεύει μετὰ τὴν τοῦ πρωτοτόκου θυσίαν ἐν τῷ Πάσχᾳ ἑπτὰ ἡμέρας ἄζυμα ἐσθίειν (α), φησὶν, ὅτι τύπος ἦν ἐκεῖνα τὰ ἄζυμα τοῦ ἡμᾶς μὴ ἔχειν ἐν

(α) Ἔξοδ. ΙΒ', 15. ΙΓ', 6. Λευϊτ. ΚΓ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοῖς τι τῆς κακίας, περὶ ἧς φησιν· ὁ γὰρ Χριστὸς τυθεὶς, εἰς τύπον τοῦ πρωτοτόκου ἀμνοῦ τέθυται. Ἐπάναγκες οὖν καὶ ἡμᾶς τὸν τύπον τῶν ἀζύμων πληροῦν ἐν τῷ ἐκκαθαίρειν ἑαυτοὺς ἀπὸ τῆς ζύμης τῆς πονηρίας, ἵνα τελείως ἐπιτελεσθῇ τὸ νοητὸν Πάσχα. *Ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός.*] Πάλιν εὐεργεσιῶν μέμνηται. *Ὥστε ἑορτάζωμεν.*] Ἑορτάζειν γὰρ χρὴ ἐπὶ ταῖς μεγάλαις δωρεαῖς. *Μὴ ἐν ζύμῃ παλαιᾷ.*] Τῇ τροπῇ ἐνέμεινεν, ὡσανεὶ λέγων· Μὴ ἐν πονηρῷ καὶ κακῷ βίῳ· ἀλλ' ἐν βίῳ μὴ ἔχοντι ἐπιμιξίαν τῆς παλαιᾶς ἐκείνης ζύμης τῆς ὀξώδους καὶ σεσηπυίας· τουτέστιν, ἐν καθαρῷ καὶ ἀκιβδήλῳ βίῳ· τοῦτο γάρ ἐστιν τὸ, *ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.*

9 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ· Μὴ συναναμίγνυσθαι
10 πόρνοις. Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.

Ποῦ ἔγραψεν; ἐν οἷς λέγει· *Καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τοιοῦτος·* οὐχὶ ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἀλλ' ὅστις ἂν ᾖ τοιοῦτος· καὶ πάλιν· *Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην·* οὐχὶ τήνδε ἢ τήνδε, ἀλλ' ὅλην τὴν παλαιὰν ζύμην. Λαβὼν γὰρ ἀφορμὴν ἀπὸ τοῦ ἑνὸς, τοῦ πεπορνευκότος, ἐπὶ τὸ κοινὸν ἀνεβίβασε τὸν λόγον, τουτέστιν, ἐπὶ πάντα πόρνον. Κἀκεῖθεν πάλιν κοινότερον ἔτι τὸν λόγον ἀποφαίνων, ἐπάγει τὸ αὐτὸ παράγγελμα καὶ ἐπὶ τῶν τὰ ὅμοια πλημμελούντων, οἷον, πλεονεκτούντων, εἰδωλολατρούντων, καὶ εἴ τι ὅμοιον. *Τοῖς πόρνοις τοῦ κόσμου τούτου.*] Ἵνα μὴ νομίσωσιν ὀφείλειν καὶ τοῖς τῶν Ἑλλήνων πόρνοις· (ὅπερ ἐστὶ, *τοῖς πόρνοις τοῦ κόσμου τούτου·*) μὴ συναναμίγνυσθαι· ὅπερ ἦν ἀδύνατον τοῖς πόλιν οἰκοῦσι· διορθοῦται αὐτό. Τὸ δὲ, *πάντως*, ἐνταῦθα, ἐπὶ ὁμολογουμένου κεῖται πράγματος. *Ἐπεὶ ὀφείλετε ἄρα.*] Μετὰ τοῦ δυνατοῦ, καὶ τὸ εὔκολον ἔχειν σπουδάζει δεῖξαι τὴν νομοθεσίαν. Μὴ κρίνετε τοὺς πόρνους τοῦ κόσμου τούτου, ἤγουν, τοὺς εἰδωλολάτρας· ἐπεὶ χρέος ἔχετε ἐξ αὐτῶν ἐξελθεῖν· ἀλλὰ κρίνετε καὶ ἀνακρίνατε πιστὸν πόρνον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

11 Νυνὶ δὲ ἔγραψα ὑμῖν, μὴ συναναμίγνυσθαι, ἐάν τις,
ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης,
ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ·
12 τῷ τοιούτῳ μηδὲ συνεσθίειν. Τί γάρ μοι καὶ τοὺς
13 ἔξω κρίνειν; Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; Τοὺς
δὲ ἔξω ὁ θεὸς κρινεῖ. Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ
ὑμῶν αὐτῶν.

Τὸ, *ὀνομαζόμενος*, τινὲς μὲν, τῇ προηγουμένῃ λέξει συνάπτουσι, καὶ δηλοῦσθαι βούλονται δι' αὐτοῦ, ὅτι Ἀδελφὸς μὲν ὀνομαζόμενος, καὶ μέχρι κλήσεως ἔχων τὴν κοινωνίαν, τῷ ὄντι δὲ διὰ τῶν ἔργων ἐχθρὸς ὑπάρχων, καὶ διϊστάμενος. Ἐμοὶ δὲ εὖ ἔχειν δοκεῖ, καὶ εἴ τις αὐτὸ τοῖς ἑπομένοις συνάψας ἐκλάβοι, οὐκέτι τοῦ, *ὀνομαζόμενος*, τὴν αὐτὴν σημαίνοντος ἔννοιαν, ἀλλὰ τοὐναντίον, τὸν ἐπὶ προδήλοις τοῖς ἔργοις ὄντα, καὶ παρὰ πᾶσι κατὰ τὰ οἰκεῖα ἔργα ὀνομαζόμενον. Καὶ γὰρ ἡ τῆς λέξεως αὕτη σημασία, ὥσπερ καὶ ἄλλαι πολλαὶ λέξεις, διχῇ σχίζεται· ἐνίοτε μὲν, ὡς ἔφημεν, τὸν μόνῳ κοινωνοῦντα τῷ ὀνόματι παραδηλοῦσα· ἐνίοτε δὲ, τὸν εἰς ἄκρον ἐλθόντα τῆς πράξεως, ὥστε καὶ τὴν κοινὴν προσηγορίαν εἰς ἑαυτὸν ἐπισπάσαντα, ἐκ ταύτης μᾶλλον ἢ ἐκ τοῦ κυρίου ὀνόματος ἐπιγινώσκεσθαί τε καὶ ὀνομάζεσθαι. Τὸν οὖν τοιοῦτον πόρνον καὶ πλεονέκτην καὶ λοίδορον καὶ μέθυσον, τουτέστι, τὸν πρόδηλον καὶ φανερὸν οὕτως, ὥστε παρὰ πᾶσι καὶ γινώσκεσθαι καὶ ὀνομάζεσθαι, τοῦτον ἐκτρέπεσθαι παρακελεύεται, καὶ μηδὲ συνεσθίειν αὐτῷ, μήτε κοινολογεῖσθαι, μήτε συναναστρέφεσθαι· οὐχὶ δὲ τὸν ὑπ' ἐνίων ὑποψιθυριζόμενον ἢ λοιδορούμενον. Διὸ σοφῶς ἄγαν καὶ δραστηρίως τοῖς ἄλλοις ἀτόποις ἐργάταις συνῆψε, καὶ τὸν *λοίδορον*, ἵνα τὸ αὐτὸ εἴδως ἔχειν ἐπιτίμιον, ὅπερ ὁ πόρνος καὶ ὁ εἰδωλολάτρης, ὅσον εἰς τὸ ὑπὸ πάντων ἀποτρόπαιος εἶναι, χαλινοῖ τὴν γλῶσσαν καὶ κατέχῃ, καὶ μὴ ἐπαφίησιν αὐτὴν καταβόσκεσθαι τοὺς τῶν πλησίων βίους. Καὶ τὸ, *εἰδωλολάτρης*, δὲ διὰ τοῦτό μοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοκεῖ ἐνταῦθα συναριθμῆσαι, διδάσκων καὶ ἀσφαλιζόμενος, ὡς, εἰ καὶ μέγα εἴη καὶ τῶν ἀτοπωτάτων, ἐν ᾧ τινὲς αἰτιῶνται τὸν ἄνθρωπον, μὴ ἢ δὲ εἰς φῶς ἠγμένον τὸ τόλμημα, οὐδ' οὕτω χρὴ τὸν τοιοῦτον ἐξ ὑποψίας μόνης ἐκτρέπεσθαι· ἐπεὶ οὕτω γε ἂν ταῖς εἰς ἀλλήλους ὑποψίαις καὶ διαβολαῖς ἐξεθεριζόμενοι οἱ ἄνθρωποι, εἰς πολεμίων, μᾶλλον δὲ εἰς θηρίων, βίον τὴν πολιτείαν αὐτοῖς μεταστήσονται· ἀλλ' ἐκεῖνον δεῖ ἑαυτῶν ἐξαίρειν καὶ ἀποχωρίζειν, ὃς ἐπίδηλος καὶ τοῖς ἔργοις καὶ τῇ παρὰ πάντων ὀνομασίᾳ καθέστηκεν. *Ἢ εἰδωλολάτρης.*] Καὶ πῶς ἕνι, *ἀδελφὸν ὄντα*, τουτέστι, πιστόν, εἶναι εἰδωλολάτρην; Ὅτι τινὲς καὶ ἐπίστευσαν καὶ τῶν εἰδώλων εἴχοντο· διὸ καί φησιν, *ἀδελφὸς ὀνομαζόμενος*· καὶ γὰρ κατὰ τὴν ἀλήθειαν ὁ τοιοῦτος οὐδὲ πιστός ἐστι. *Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;*] Λοιπὸν τὴν αἰτίαν λέγει τοῦ μὴ κωλύειν τοῖς Ἑλλήνων πόρνοις ἢ πλεονέκταις ἢ λοιποῖς συναναμίγνυσθαι· ὅτι, φησί, τὴν περὶ αὐτῶν κρίσιν θεῷ ἐατέον· ἡμεῖς δὲ τοὺς ἀδελφοὺς διορθούμεθα, ἐν τῷ κρίνειν καὶ ἀνακρίνειν αὐτῶν τὸν βίον ἐπὶ διορθώσει· ἐξ ἐκείνων γὰρ ἐχωρίσθημεν. *Τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ.*] Εἶτα, ἵνα μὴ νομίσῃς ἀτιμωρήτους ἔσεσθαι τοὺς Ἕλληνας πταίοντας, φοβερώτερον αὐτοῖς ἐπέστησε δικαστήριον, τὸ τοῦ θεοῦ. *Καὶ ἐξαρεῖτε τὸν πονηρόν.*] Ἤγαγε τὴν μαρτυρίαν, δεικνὺς ἄνωθεν τοῦτο νενομοθετῆσθαι (α), καὶ οὐκ εἶναι καινοτομίαν, ἣ νῦν γεγένηται τὸ ἐξαίρειν τὸν πονηρὸν ἐκ μέσου. Τὸ δέ, *ἐξ ὑμῶν αὐτῶν*, δείκνυσι καὶ αὐτοὺς ἐκ τούτου ὠφελουμένους, εἰ χωρισθῶσιν οἱ πονηροί. Εἰ μέλλει ὁ θεὸς τούτους κρίνειν, χωρίσθητε ἀπ' αὐτῶν.

(α) Δευτερ. ΙΓ', 5. ΙΖ', 7. ΚΔ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα ἐπὶ ἀπίστων· ἐν ᾧ, περὶ τοῦ μὴ πορνεύειν.

ΚΕΦ. VI, 1. Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ 2 ἐπὶ τῶν ἁγίων; Οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, 3 ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν; μήτιγε βιωτικά;

Ὅρα, ὅτι ὡς ἐπὶ ὡμολογημένων ποιεῖται τὴν κατηγορίαν, καὶ εὐθὺς ἐκ προοιμίων θυμὸν ἐνδείκνυται, καὶ τόλμαν καλεῖ τὸ πρᾶγμα καὶ παρανομίαν. Τούτων οὕτω, φησὶ, κατὰ τὸ πρόσῳκον ἐχόντων, καὶ τοὺς μὲν ἐν ὑμῖν ἀδελφοὺς κρίνειν ἐχόντων τὴν ἐξουσίαν, ἐπὶ δὲ τοὺς ἔξω τοῦτο πράττειν οὐ συγχωρουμένων, τολμᾷ τις τοὺς ἔξω καλεῖν κριτὰς ὑμῖν αὐτοῖς γενέσθαι, καὶ οὐ καταδύεται κἂν εἰς λογισμοὺς τοῦτο λαβεῖν; οἱ πιστοὶ τοὺς ἀπίστους ἑαυτοῖς καθίσουσι κριτάς; ἐκλέξονται δὲ ἀντὶ τῶν ἁγίων τοὺς ἀδίκους; Σφοδρῶς δὲ τοῦτό φησι, πανταχόθεν ἀσφαλιζόμενος, περιστέλλειν ἑαυτοὺς, καὶ μὴ διδόναι τοῖς ἀπίστοις λαβὴν ἐν μηδενὶ, μήτε δικαζομένους, μήτε ἄλλο τι τῶν οὐ σεμνῶν καὶ εἰρηνικῶν διαπραττομένους. Τοῦτο γὰρ οὔτε τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖσθαι δι' αὐτοὺς παρεσκεύαζεν, κἀκείνους ἐποίει πρὸς τὸν ἔρωτα καὶ τὸν θειασμὸν τῆς θρησκείας διανίστασθαι. — *Κρίνεσθαι ἐπὶ τῶν ἀδίκων.*] Οὐκ εἶπεν, *ἐπὶ τῶν ἀπίστων*· ἀλλ', *ἐπὶ τῶν ἀδίκων*· οὗ γὰρ πρῶτον ὁ δικαζόμενος τυχεῖν βούλεται, τοῦτ' ἐστὶ, τῶν δικαίων, τοῦτο δείκνυσιν αὐτὸν οὐ τυγχάνοντα· ἄδικοι γάρ, φησιν, εἰσίν οἱ κρίνοντες. Πλὴν σημειωτέον, ὅτι περὶ Ἑλλήνων εἴρηται δικαστῶν· *Καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;*] Τολμᾷ τις ὑμῶν ποιεῖν τοιοῦτον πρᾶγμα; ἔχων κρίνεσθαι μετὰ ἀδελφοῦ, οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρίνεται ἐπὶ τῶν ἁγίων, ἀλλ' ἐπὶ τῶν Ἑλλήνων; Ἐδήλωσε μὲν οὖν αὐτῶν τὸ ἀξιόπιστον, *ἁγίους* καλέσας· ἔτι δὲ μειζόνως αὐτοὺς ἐξαίρει· *τὸν κόσμον* γάρ, φησι, *κρινοῦσιν*, ἤτοι, τοὺς ἀπίστους, οὐκ αὐτοὶ καθήμενοι καὶ κρίνοντες, ἄπαγε! ὁ γὰρ Κύριος κρινεῖ· ἀλλὰ κατακρίνοντες τὸν κόσμον. Πῶς; Ὅταν γὰρ ἄνθρωποι ὄντες αὐτοῖς ὁμοιοπαθεῖς, καὶ ἐπίστευσαν, καὶ χρηστὴν ἐπεδείξαντο πολιτείαν, τῶν μὴ τοιούτων γενομένων ἆρα οὐκ ἔσονται κατήγοροι; *Ὅτι οἱ ἅγιοι.*] Ἐξ αὐτῶν γυμνῶν τῶν ὀνομάτων ποιεῖται τῆς κρίσεως τὸ διάφορον, τοὺς μὲν, ἀδίκους, τοὺς δὲ, ἁγίους καλῶν. *Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος.*] Οὐκ εἶπεν, *ὑφ' ὑμῶν*, ἀλλ', *ἐν ὑμῖν*, τουτέστι, δι' ὑμῶν. *Ἀνάξιοι ἐστὲ κριτηρίων ἐλαχίστων;*] Αἰσχύνη, φησὶν, ὑμῖν ἐστι τοῖς κρίνειν τὸν κόσμον μέλλουσι, τὸ κρίνεσθαι ἐν τοῖς εὐτελέστι καὶ ἀδίκοις κριτηρίοις τῶν ἀπίστων. *Ὅτι ἀγγέλους κρινοῦμεν.*] Ἀγγέλους τοὺς δαίμονάς φησι, καθὼς καὶ ὁ Χριστὸς ἔλεγε, *τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ* (α). Πῶς δὲ αὐτοὺς κρινοῦμεν; Ὅταν ἀσώματοι, ἔλαττον ἡμῶν τῶν σαρκοφορούντων ἔχοντες εὑρεθῶσι, πλέον κατακρίνονται. Καὶ εἰ ἀγγέλους κρινοῦμεν, πόσῳ γε βιωτικὰ πράγματα; — ΑΛΛΩΣ. Εἰ ἀγγέλους, τοὺς ἐκπεπτωκότας τῆς οἰκείας τάξεως γνώμης ἰδίας μοχθηρίᾳ, εἰ τούτους *κρινοῦμεν*, ἤτοι ἐλέγξομεν, αὐτοὶ μετὰ σώματος ὄντες· ὅτι ἐκεῖνοι, χωρὶς σώματος ὄντες, τὸν οἰκεῖον θεσμὸν οὐκ ἐτήρησαν, ἡμεῖς δὲ κατὰ τοὺς δοθέντας ἡμῖν ὑπὸ τοῦ Κυρίου νόμους, καίτοι κἀκείνων ἐπηρεαζόντων, ἐπολιτευσάμεθα· εἰ οὖν ἐκείνους ἐλέγξομεν, καὶ ἀναπολόγητον αὐτοῖς καταστησόμεθα τὸ ἁμάρτημα, πόσῳ μᾶλλον ἐσμὲν ἱκανοὶ τὰ βιωτικὰ διαλῦσαι φιλονεικήματα, καὶ τὰς πρὸς ἀλλήλους δίκας καὶ ἔριδας; Εἰδ' οὕπω τοῖς εἰρημένοις δυσωπεῖσθε, ἀλλ' ἔτι νομίζετε, ὅτι τῶν πιστῶν τὸ δικαστήριον ἀσθενές ἐστι καὶ ἀδύνατον εἰς τὸ διαλύειν τὰς

(α) ματθ. ΚΕ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίκας ὑμῖν καὶ τὰς φιλονεικίας· ἀλλ' οὖν, εἰ καὶ ἀσθενεῖς, καθ' ὑμᾶς, καὶ ἐξουθενημένοι ὦσιν οἱ πιστοὶ, καὶ ἀδύνατοι συνιδεῖν δικαιοκρισίαν, ἄμεινόν ἐστι τούτους καθίζειν δικαστὰς, ὅταν ἔχητε χρείαν βιωτικῶν κριτηρίων, ἢ τοῖς ἀπίστοις ἑαυτοὺς εἰς κρίσιν ἐκδιδόναι. *Ἐξουθενημένους* δὲ εἶπον, φησὶν, ἐντρέπων ὑμᾶς καὶ αἰσχύνων· ἐπεὶ πολλοί εἰσι διαλύειν ἐν ὑμῖν δίκας ἰσχύοντες καὶ φιλονεικίας. Πόσης γὰρ οὐκ ἐστὶν αἰσχύνης καὶ καταγνώσεως τοῦτο, *εἰ οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς, ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον ἀδελφῶν διαιζομένων*; Διαφόρους δὲ ἀποδείξεις τίθησι τοῦ μὴ δεῖν, καταλιπόντας τοὺς πιστοὺς, ἐπὶ τὸ τῶν ἀπίστων βαδίζειν κριτήριον. Πρῶτον μὲν, ὅτι, εἰ ἡμεῖς νῦν οὐ κρίναμεν ἐκείνους, οἱ πιστοὶ τοὺς ἀπίστους· (τί γάρ μοι, φησὶ, καὶ τοὺς ἔξω κρίνειν (α);) πῶς οὖν οὐ μέγα ὄνειδος ὑπὸ τῶν ἀπίστων κρίνεσθαι τοὺς πιστούς; Δεύτερον· Εἰ οἱ μὲν, ἄδικοι, οἱ δὲ, ἅγιοι, πῶς οὐκ ἔσχηλίθιον, καταλιπόντα τοὺς ἁγίους, ἐπὶ τοὺς ἀδίκους τρέχειν, καὶ ταῦτα τυχεῖν ἐλπίζοντα τοῦ δικαίου; Τρίτον· Εἰ οἱ ἅγιοι τὸν κόσμον ἐλέγξουσι, καὶ ἀναπόδραστον αὐτοῖς τὴν δίκην παρασκευάσουσιν, ἐφ' οἷς, τῆς αὐτῆς φύσεως ὄντες, καὶ τὰς ἀρετὰς πράττοντες, οὐκ ἔσχον μιμουμένους τοὺς ἐλεγχομένους, πόσῳ μᾶλλον εἰσὶ δυνατώτεροι ἀναμεταξὺ δύο δικάζειν καὶ κρίνειν; Τέταρτον· Εἰ ἀγγέλους, τοὺς ἀσωμάτους δαίμονας, ἐλέγχειν ἐσμὲν δυνατοὶ, πόσῳ μᾶλλον τοὺς ὁμοφυεῖς καὶ ὁμοδιαίτους; Πέμπτον· Εἰ καὶ μὴ ἴσχυον οἱ πιστοὶ δικάζειν, ἄμεινον ἦν καὶ οὕτως, ἐπὶ αὐτῶν ἢ ἐπὶ τῶν ἀπίστων κρίνεσθαι. Καὶ πρὸς τούτοις· εἰ τὸν κόσμον κρίνομέν, φησι, πῶς οὐκ ἔστιν ἀνάξιον ὑμῶν κρίνεσθαι ὑπὸ τῶν ἀπίστων; Τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν· *Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοι ἐστὲ κριτηρίων ἐλαχίστων*; Παραθεὶς δὲ τὰς τοσαύτας ἀποδείξεις, ὅτι οὐ δεῖ κρίνεσθαι ἐπὶ ἀπίστων, ἐπὶ τὸ

(α) Α' Κορ. Ε, 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελειότερον ἀνάγει τὸν λόγον, καί φησι· Τί λέγω, ὅτι οὐ δεῖ κρίνεσθαι ὑμᾶς ἐπὶ ἀπίστων; ἄμεινον ἦν, μηδὲ ἐπὶ πιστῶν· ἀλλὰ πολλῷ ἄμεινον, μηδὲ δίκας ἔχειν πρὸς ἀλλήλους. Αὐτὸ γὰρ τὸ αἰτιᾶσθαι ὅλως ἀλλήλους, ἥττημα ὑμῶν ἐστίν. Ἄριστον μὲν οὖν μηδένα μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι· οὕτω γὰρ κοινὴ πάντων ἦν ἂν ἡ ἀρετὴ καὶ ἡ σωτηρία· εἰ δὲ δυεῖν ἀνάγκη θάτερον, αἱρετώτερον τοῦ ἀδικεῖν τὸ ἀδικεῖσθαι· τὸ μὲν γὰρ ἐκβάλλει τῆς βασιλείας· τὸ δὲ προξενεῖ αὐτήν. Εἰ δὲ οὐ μόνον οὐχ αἱρεῖσθε ἀδικεῖσθαι, ἀλλὰ καὶ ἀδικεῖτε, καὶ τότε ἀδελφοὺς καὶ ὁμοπίστους, εἰς οἷον ὑμῖν τὰ τῆς τιμωρίας χωρήσει; (Φωτίου)

4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθε-
5 νημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε. Πρὸς ἐντροπὴν ὑμῶν λέγω· οὕτως οὐκ ἔνι ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελ-
6 φοῦ αὐτοῦ; ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;

Ἐὰν αὐτῶν χρείαν ἔχητε· ἐὰν ἀνάγκη ᾖ εἶναι αὐτὰ ἐν ὑμῖν· ἐὰν δέῃ συστῆναι αὐτά. Καὶ ἡ μὲν πρόχειρος ἔννοιά τε καὶ σύνταξις αὕτη· ἔνι δὲ καὶ βαθύτερον τὴν τε λέξιν διελόντα συνιδεῖν, καὶ τὸ νόημα ἀναπτύξαι. *Τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ.*] Ἐκ περιουσίας αὐτοὺς τῶν ἔξωθεν δικαστηρίων ἀποστῆσαι βούλεται, καί φησιν· ὅτι ἴσως εἴποι τις ἂν, ὅτι οὐκ ἔνι σοφός τις ἐν τῇ ἐκκλησίᾳ, ὁ διακρῖναι δυνάμενος. Εἰ γάρ, κατὰ τὸν ὑμῶν λόγον, οὐκ ἔνι σοφὸς, *τοὺς ἐξουθενημένους* μᾶλλον τῆς ἐκκλησίας, ἤτοι, τοὺς εὐτελεστέρους, δικαστὰς καθίζετε, ἤγουν κριτὰς, ἢ τοὺς ἀπίστους. Τοῦτο δὲ *Πρὸς ἐντροπὴν ὑμῶν λέγω.*] Πρὸς τὸ ἐντρέψαι, φησὶν, ὑμᾶς, καὶ ἐκ περιουσίας ἀνελεῖν ὑμῶν τὰς προφάσεις, εἶπον, δεῖν τοὺς ἐξουθενημένους καθίζειν· ἐπεὶ ἄρα τοσαύτη σπάνις σοφῶν παρ' ὑμῖν, ὥστε τοὺς ἐξουθενημένους ἀναγκασθῆναι καθίσαι κριτάς. *Ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ.*] Τοῦ ἀδελφοῦ προσέθηκε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο σημαίνων, ὅτι, ἐν ᾧ πρὸς ἀδελφόν ἐστιν ἡ δίκη, οὐδὲ πολλῆς χρεία τῷ μεσιτεύοντι ποικιλίας καὶ εἰδήσεως, ἅτε τῆς ἀδελφικῆς διαθέσεως πολλὰ συμπραττούσης πρὸς τὴν λύσιν τῆς φιλονεικίας. *Ἀδελφὸς μετὰ ἀδελφοῦ.*] Διπλοῦν τὸ κακόν· εἰ γὰρ καὶ αὐτὸ τὸ κρίνεσθαι ἀδελφὸν πρὸς ἀδελφόν, κακόν, πόσῳ μᾶλλον τὸ καὶ ἐπὶ ἀπίστων κρίνεσθαι;

7 Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε;
8 διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; Ἀλλὰ ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς.

Μετὰ τὸ τοὺς δικαστὰς ἀμεῖψαι, λοιπὸν καὶ αὐτὸ τὸ ὅλως κρίνεσθαι διαβάλλει, ἥττημα καλῶν τὸ πρᾶγμα, καὶ δικαίως· ἡττᾶται γὰρ τῇ ὀργῇ ὁ ἐπεξιὼν τῷ ἠδικηκότι. Ἐν τῷ ἔχειν τὰς κρίσεις, φησὶν, ἡττᾶσθε τῷ πάθει τῆς ὀργῆς καὶ τῆς φιλονεικίας, ἔχοντες τὰς κρίσεις ἐπ' ἀμφοτέρων. *Διατὶ οὐχὶ μᾶλλον ἀδικεῖσθε;*) Πολλαπλοῦν τὸ ἔγκλημα· πρῶτον μὲν, τὸ μὴ φέρειν ἀδικούμενον· δεύτερον δὲ, τὸ αὐτὸν ἀδικεῖν· τρίτον, τὸ καὶ ἀδελφὸν ἀδικεῖν. Ὡς εἰ εἶπεν· Καλὸν μὲν, τὸ μήτε ἀδικεῖν, μήτε ἀδικεῖσθαι· ἐν αἱρέσει δὲ, βέλτιον τὸ ἀδικεῖσθαι.

9 Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι; Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσε-
10 νοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν θεοῦ οὐ
11 κληρονομήσουσι. Καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν.

Εἰς ἀπειλὴν συνέκλεισε τὸν λόγον ἐν τῷ εἰπεῖν, ὅτι *ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. Μὴ πλανᾶσθε.*] Ἐνταῦθα ἀνίττεται, ὅτι ἦσαν παρ' αὐτοῖς τινὲς, λέγοντες, ὅτι φιλάνθρωπός ἐστιν ὁ θεὸς, καὶ συγχωρεῖ πᾶσι, καὶ εἰς τὴν βασιλείαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσάγει τοὺς ἁμαρτωλοὺς διὰ πλῆθος χρηστότητος· καὶ φησι· *Μὴ πλανᾶσθε, ταῦτα λέγοντες, καὶ ἐλπίζοντες.* Καὶ γὰρ ὄντως πλάνη ἐστὶ τὸ χρηστὰ ἐλπίσαντας ἐνταῦθα, ἄλλα εὑρεῖν ἐκεῖ. *Οὔτε πόρνοι.*] Τὸν πεπορνευκότα ἐκεῖνον αἰνίττεται· διὸ καὶ πρῶτον τέθεικε τό· *Οὔτε πόρνοι. Οὔτε μέθυσοι, οὐ λοίδοροι.*] Τί δή ποτε τοὺς μεθύσους καὶ λοιδόρους μετὰ τῶν μοιχῶν καὶ ἡταιρηκότων καὶ εἰδωλολατρῶν τέθεικε; Πρῶτον μὲν, ὅτι καὶ ὁ Χριστὸς τὸν εἰπόντα, μωρὲ, ἔνοχον εἶπε γεέννης (α)· καὶ οἱ Ἰουδαῖοι δὲ ἐκ τῆς μέθης εἰς εἰδωλολατρείαν ἦλθον (β). Ἔπειτα, ὅτι οὗτοι πάντες, τέως τῆς βασιλείας ἐκπίπτουσι τῶν οὐρανῶν· λοιπὸν δὲ τὸ τῶν τιμωριῶν διάφορον ἐκεῖ εἰσόμεθα. *Καὶ ταῦτά τινες ἦτε.*] Καὶ ἦτέ τινές, φησι, ταῦτα ἔχοντες· ταῦτα εἴχετε πολλοί· *Ἀλλὰ ἀπελούσασθε.*] Λοιπὸν τὰς εὐεργεσίας καταλέγει τοῦ Χριστοῦ. Ἦτε γάρ, φησι, τὰ εἰρημένα· ἀλλὰ καθαροὺς τούτων ὑμᾶς ἐποίησεν ὁ Χριστός· καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ ἡγίασε· καὶ οὐ μόνον τοῦτο· ἀλλὰ καὶ ἐδικαίωσεν. *Ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ.*] Καὶ ταῦτα, φησὶ, πάντα ὑπῆρξεν ὑμῖν ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, καὶ ἐν τῷ ἁγίῳ πνεύματι· οἷον, διὰ τοῦ Χριστοῦ καὶ τοῦ πνεύματος· οὐ διὰ τοῦδε ἢ τοῦδε· τοὺς προεστῶτας αὐτῶν πάλιν αἰνιττόμενος, τοὺς σοφοὺς καὶ πλουσίους.

12 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι
13 ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ
14 Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι· ὁ δὲ θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

Μεταβαίνει δὲ πρὸς ἕτερον πάθος, καὶ ἀποτείνεται κατὰ τῶν γαστριμάργων. Ἔξεστί μοι, φησι, φαγεῖν καὶ πιεῖν· ἀλλ' οὐ

(α) Ματθ. Ε, 22. (β) Ἐξοδ. ΑΒ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμφέρει μετὰ ἀμετρίας τοῦτο ποιεῖν. *Ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.*] Κύριός εἰμί, φησι, τοῦ φαγεῖν καὶ πιεῖν· ἀλλ' ἐὰν ἐκδῶ ἐμαυτὸν τούτοις ἀμέτρως, δοῦλος αὐτῶν ἀντὶ κυρίου εὑρεθήσομαι, καὶ δουλεύσω αὐτοῖς· ὡς λέγει ἀλλαχοῦ· *Ὧν θεὸς ἡ κοιλία* (α). Τοιγαροῦν οὐκ ἐξουσιασθήσομαι ὑπό τινος τούτων. *Τὰ βρώματα τῇ κοιλίᾳ.*] *Βρώματα* ἐνταῦθα, τὴν ἀδδηφαγίαν φησί· *κοιλίαν* δὲ, τὴν γαστριμαργίαν, οὐ τὴν γαστέρα.—ΑΛΛΩΣ. Εἰ μὲν ἁπλῶς *βρώματα*, τὴν τροφὴν δεῖ ἐκλαβεῖν, καὶ *κοιλίαν*, τὴν ὑποδοχὴν τῶν σιτίων, ἄμεινον εἰς προαγόρευσιν τοῦ μέλλοντος ἐκδέχεσθαι τὸ ἐπαγόμενον· οἷον· *Ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει·* τουτέστιν· Ἀλλὰ ταῦτα ἐν τῇ ἀναστάσει ἀργὰ καὶ ἄχρηστα ἔσται, εἰς ἀφθαρσίαν ἡμᾶς τοῦ θεοῦ μεταστοιχειοῦντος, ὡς μήτε τροφῆς δεῖσθαι, μήτε πρὸς ὑποδοχὴν σιτίων γαστρὸς παρασκευάζοντος. Καὶ εἴη ἂν καὶ ὁ νοῦς τοῦ, *Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι*, τοιοῦτος· Ἀλλήλων ἐστὶν ἐρεθιστικὰ καὶ ἐπιζητητικά· ἥτε γὰρ ἐν τῇ κοιλίᾳ ὄρεξις, ἐπιζητεῖ τὰ σιτία· τά τε σιτία, τὴν ἐν ἡμῖν πάλιν ὄρεξιν ἐρεθίζει καὶ διεγείρει· ὁ δὲ θεὸς ἄμφω ἐν τῇ ἀναστάσει ἀργὰ καὶ ἄχρηστα ἀποδείξει. Οὐ χρὴ οὖν περὶ τῶν μελλόντων ἔσεσθαι ἀχρήστων λίαν σπουδάζειν. Εἰ δὲ *βρώματα* μὲν, τὸ ἀκόρεστον τῶν βρωμάτων, *κοιλίαν* δὲ, τὴν ἀπληστίαν τῆς κοιλίας ἐκληψόμεθα· (οὐδὲν γὰρ κωλύει, ταῦτα δηλοῦσθαι ὑπὸ τῶν λέξεων·) οὐ προαγορεύσεως ἔννοιαν δίδωσι τὸ ἐπαγόμενον, ἀλλὰ μᾶλλον ἀρᾶς καὶ δίκης. Καταργήσει αὐτά, φησιν, ὁ θεὸς, ἀπελάσει ταῦτα ἀφ' ἡμῶν, ἐκδιώξει τὴν ἀδδηφαγίαν καὶ γαστριμαργίαν, ἐλευθέρους ἡμᾶς τούτων ἀποδείξει τῶν κακῶν. Εἰ δὲ ἀρὰς αὐτοῖς ἐπάγομεν, καὶ ἑαυτοὺς τούτων ἐλευθερωθῆναι εὐχόμεθα, πῶς οὐχὶ βδελυξόμεθα; (Φωτίου) —*Καὶ ἡ κοιλία τοῖς βρώμασιν.*] Ὡς εἰ εἶπεν· Ἡ ἀδδηφαγία φιλίαν καὶ οἰ-

(α) Φιλιπ. Γ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κειότητα ἔχει πρὸς τὴν γαστριμαργίαν, κἀκείνη πρὸς ταύτην· καὶ οὐ δύναται ταῦτα πρὸς τὸν Χριστὸν ἡμᾶς ἀγαγεῖν· ἀλλ' ἑαυταῖς παραπέμουσι τοὺς πειθομένους αὐταῖς, αὕτη πρὸς ἐκείνην, κἀκείνη πρὸς ταύτην. *Καὶ ταύτην καὶ ταῦτα καταργήσει.*] Οὐ τὴν γαστέρα λέγει, ἀλλὰ τὴν ἀμετρίαν· οὐδὲ τὴν τροφὴν, ἀλλὰ τὴν τρυφήν. Τί δέ ἐστι τὸ, *καταργήσει*; Τινὲς μέν φασι, προαγόρευσιν εἶναι περὶ τοῦ μέλλοντος αἰῶνος, ὅτι οὐκ ἔστιν ἐκεῖ φαγεῖν καὶ πιεῖν· καὶ εἰ τὸ σύμμετρον ἔχει τέλος, πολλῷ μᾶλλον τὸ ἄμετρον. Τινὲς δέ φασιν, ὅτι τὴν παραίνεσιν εὐχῇ ἐπεσφράγισεν, ἀντὶ τοῦ, Ἂν ποτε καὶ ταύτην, ἤγουν, τὴν ἀμετρίαν, καὶ ταῦτα, ἤγουν, τὴν τρυφὴν, ὁ θεὸς καταργήσει! *Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ.*] Ἵνα μὴ νομίσῃς, ὅτι τὸ σῶμα ᾐτιάσατο, κοιλίαν εἰπὼν, δείκνυσιν, ὅτι οὐ τὸ σῶμα ἐν αἰτιάσει, ἀλλ' ἡ γαστριμαργία· τὸ γὰρ σῶμα, φησὶν, οὐ διὰ τοῦτο πέπλασται, ἵνα τρυφᾷ, καὶ ἐκ τούτου εἰς πορνείαν ἐκπίπτῃ· ἀλλ' ἵνα τῷ Χριστῷ ἕπηται, ὡς ὄντι αὐτοῦ κεφαλῇ· καὶ ἵνα ὁ Χριστὸς αὐτῷ ἐπίκειται. Ἀκόλουθον δὲ ἦν εἰπεῖν· Τὸ δὲ σῶμα οὐ τῇ τρυφῇ καὶ τῇ γαστριμαργίᾳ ἀποκεκλήρωται· ἀλλὰ τοῦτο σιωπήσας, τὴν τικτομένην ἐκ τούτων πορνείαν εἶπε, δεικνὺς τὸ ἀποτέλεσμα τῆς γαστριμαργίας, ὅτι πορνεία ἐστίν. *Ὁ δὲ θεὸς καὶ τὸν Κύριον ἤγειρεν.*] Ἔτι νηπίοις οὖσιν, ἔδει συγκαταβαίνειν, καὶ πρὸς τὴν νηπιότητα αὐτῶν λαλεῖν. Μὴ θορυβηθῇς ἀκούσας, ὅτι ὁ θεὸς τὸν Κύριον ἤγειρεν· οὐ γὰρ, ἐπειδὴ οὐκ ἴσχυσεν ἑαυτὸν ἐγεῖραι, τοῦτό φησιν· αὐτὸς γὰρ ἦν ὁ λέγων· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν (α) »· καὶ τό· « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ λαβεῖν αὐτήν (β) »· καὶ εἰς τὰς Πράξεις λέγεται· « Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα (γ) »· ἀλλ' ὁ ἀπόστολος καὶ τὰ τοῦ υἱοῦ τῷ πατρὶ λογίζεται, καὶ τὰ τοῦ πατρὸς, τῷ υἱῷ· « Ἃ γὰρ ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ

(α) Ἰωαν. Β', 19. (β) Ἰωαν. Ι, 18. (γ) Πραξ. Α', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ υἱὸς ποιεῖ (α) ». *Καὶ ἡμᾶς ἐξεγερεῖ.*] Εἰ οὖν ἐσμὲν Χριστοῦ μέλη, ὥσπερ καὶ ἐσμέν, τῆς κεφαλῆς ἐγερθείσης, δῆλον ὡς συναναστήσεται καὶ τὸ λοιπὸν σῶμα. *Διὰ τῆς δυνάμεως αὐτοῦ.*] Τὸ τοῦ λόγου ἀπίθανον, διὰ τῆς δυνάμεως τοῦ Θεοῦ πιστοποιεῖται, ὅπερ εἰς τὴν τοῦ Χριστοῦ ἀνάστασιν οὐ τέθεικεν· ἐγεγόνει γάρ· ἀλλ' ἐπὶ τῆς ἡμῶν ἀναστάσεως, ἵνα μὴ ἀπιστῶμεν, καὶ ἵνα τοὺς ἀντιλέγοντας ἐπιστομίσῃ.

15 Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ
ἐστιν; Ἆρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω
16 πόρνης μέλη; Μὴ γένοιτο! Ἢ οὐκ οἴδατε, ὅτι ὁ
κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; (ἔσονται
17 γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν (β)·) ὁ δὲ κολ-
18 λώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι; Φεύγετε τὴν
πορνείαν. Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος,
ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ
ἴδιον σῶμα ἁμαρτάνει.

Πάλιν ἐπὶ τὴν προκειμένην ἦλθε παρακίνεσιν, τὴν κατὰ τῆς πορνείας. Ὅρα δὲ· οὐκ εἶπε· Τὰ μέλη τοῦ Χριστοῦ ζεύξω πόρνῃ; ἀλλ', ὅπερ ἦν φρικωδες, ἆραι τὰ ἑαυτοῦ μέλη, τοῦ εἶναι Χριστοῦ, καὶ ποιῆσαι εἶναι πόρνης; *Ἢ οὐκ οἴδατε*, καὶ ἑξῆς.] Πιστοῦται δ' εἶπε, πῶς γίνονται πόρνης τὰ τοῦ Χριστοῦ μέλη. Διὰ τῆς συνελεύσεώς, φησιν, ἣν γίνεται ὁ ἀνὴρ πρὸς τὴν πόρνην· ὥστε καὶ τὰ μέλη αὐτοῦ, ἃ ἦσαν Χριστοῦ, ἐκείνης μέλη ἐγένοντο. *Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν.*] Εἰς μαρτυρίαν φέρει τὴν Παλαιάν. Πῶς δὲ ἔσονται εἰς σάρκα μίαν; Ὅτι ἡ σύνοδος οὐκ ἀφίησι τοὺς δύο, εἶναι δύο, ἀλλ' ἕνα ποιεῖ. Ἐπειδὴ δὲ μέλη τοῦ Χριστοῦ ἐστὶν ὁ ἄνθρωπος, ἑνούμενος τῇ πόρνῃ, ἑνοῖ ἑαυτὸν αὐτῇ, καὶ μιαίνει τὰ μέλη τοῦ Χριστοῦ. Εἰ γὰρ καὶ εἰς τὸν ἀληθινὸν γάμον ἑνοῦνται οἱ δύο εἰς σάρκα μίαν, ἀλλ' ὁμοίως καὶ εἰς τὴν διαβεβλημένην πορνείαν. *Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ.*] Ὅρα, πῶς διὰ γαμικῶν

(α) Ἰωαν. Ε', 19. (β) Γενεσ. Β', 24. Ματθ. ΙΘ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὀνομάτων, τῆς πόρνης καὶ τοῦ Χριστοῦ, προάγει τὴν κατηγορίαν, δεινοποιῶν αὐτήν. *Ἐν πνεῦμά ἐστιν.*] Ὁ τοιοῦτος, φησι, κἂν σῶμα περίκειται, πνεῦμα γίνεται μόνον, τῷ μηδὲν ποιεῖν σαρκικόν· τουτέστι πνευματικὸς καθίσταται. Ἢ, ὅτι διὰ μέσου τοῦ ἁγίου πνεύματος συνάπτεται τῷ Χριστῷ, προσκολλώμενος αὐτῷ διὰ τῶν πνευματικῶν ἔργων. —ΑΛΛΩΣ. Μονοειδής ἐστιν, ὅλως γίνεται πνευματικὸς τῇ πρὸς τὸν Κύριον ἑνώσει· οὐκ ἐπισύρεται τὰ σαρκικὰ πάθη, οὐδὲ σχίζεται εἰς διπλόην τινά, θεῷ δουλεύων καὶ μαμωνᾷ, ἀλλ' ὅλως ἐνιαῖός ἐστι, καὶ ὅλως πνευματικός, εἰς ἑνότητα συναγόμενος πνεύματος. —*Φεύγετε τὴν πορνείαν.*] Ὥσπερ τινα διώκτριαν οὖσαν, καὶ ἀεὶ ἡμῖν ἐπικειμένην, φεύγειν προτρέπεται, τὴν ἐπιτεταμένην ἀποχὴν ταύτης ὑποτιθεὶς ἡμῖν· οὐδὲν γὰρ οὕτω διώκει ἡμᾶς, ὡς ἡ σαρκικὴ ἐπιθυμία. *Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν.*] Ἐπὶ τῆς πορνείας, φησίν, ὅλον μολύνεται τὸ σῶμα· ὅθεν καὶ ἐπὶ βαλανεῖα τρέχειν ἔθος τοῖς πορνεύσασιν· ὁ δέ γε ἀνδροφόνος, καὶ ὁ ἅρπαξ, χεῖρα μολύνουσι μόνον. Εἰς αὐτὸ τοίνυν τὸ σῶμα ἁμαρτάνει ὁ πόρνος, μολύνων αὐτὸ καὶ καταρρυπαίνων. Ἢ, ὅτι τὰ λοιπὰ ἁμαρτήματα καὶ ἐκ ψυχικοῦ πάθους γίνεται, οἷον ὀργῆς, ἐπὶ ἀνδροφόνου, κενοδοξίας, ἐπὶ τῶν πλουτεῖν ἐθελόντων· ἡ δέ γε πορνεία ἐξ αὐτοῦ τοῦ σώματος τὰς πηγὰς ἔχει τῆς ἐπιθυμίας. Ἐξᾶραι δὲ ἠβουλήθη τὸ πρᾶγμα· ἐπειδὴ περὶ αὐτοῦ πρόκειται αὐτῷ ἡ παραίνεσις· οὐ γὰρ πάντως πάντων χεῖρον ἡ πορνεία.

Εἶπεν εἰς τοῦτο πλείους ἑρμηνείας ὁ ἐν ἁγίοις Σευηριανός, τεύχει νζ', λόγῳ γ', κεφαλαίῳ ιθ', ταύτην τε αὐτὴν εἰπὼν τοῦ Χρυσοστόμου, καὶ ἄλλην· Ὅτι, φησίν, ὁ πορνεύων, εἰς τὴν ἰδίαν σύστασιν, καὶ εἰς αὐτὴν τὴν τοῦ σώματος τοῦ ἀνθρωπείου κατασκευὴν πλημμελεῖ, ἐνυβρίζων εἰς τὸ τοῦ σώματος ἡμῶν ἐργαστήριον. Καὶ ἄλλην· Ὅτι σῶμα Χριστοῦ καὶ μέλη Χριστοῦ ἐστὶν ὁ ἄνθρωπος. Ὁ οὖν εἰς τὸ ἴδιον σῶμα πλημμελῶν, εἰς Χριστὸν πλημμελεῖ, τὴν κεφαλὴν ἡμῶν, οὗ καὶ ναός

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστι τὸ σῶμα. Μετὰ πάντων καὶ ταῦτα δέξαι, εἰ βούλει. Ἐξᾶραι βουλόμενος τὸ τῆς πορνείας ἁμάρτημα, τοιοῦτόν τινα λέγει σκοπόν, ὅτι μυρίων ἄξιος τιμωριῶν ὁ πόρνος· ὁ γὰρ τοῦ μολυσμοῦ τοῦ οἰκείου σώματος μὴ φειδόμενος, πῶς ἄλλου ἂν φείσαιτο; Ὁ γὰρ ἑαυτῷ κακὸς, τίνι ἀγαθός;—ΚΑΙ ΑΛΛΩΣ. Γέγραπται περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· Ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὁ οὖν μὴ νόμῳ καὶ θείῳ γάμῳ ἐπιτετραμμένος, ἀλλὰ πορνεύων (α), δέον ἔχειν τίμιον γάμον καὶ κοίτην ἀμίαντον (β), ἐκ τῆς πορνείας καὶ τῆς ἔνθεν ἀκαθαρσίας ἐνυβρίζει τὸν γάμον καὶ τὴν γυναῖκα. Ὁ δὲ τοῦτο ποιῶν, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, εἰς τὴν γυναῖκα ἁμαρτάνων, ἥτις ἓν σῶμα ἐστὶ μετὰ τοῦ ἀνδρός· καὶ σῶμά ἐστι τοῦ ἀνδρὸς, καθὸ πλευρὰ αὐτοῦ ἐστι, καὶ ἐξ αὐτοῦ ἐλήφθη (γ). Τῶν ἑρμηνειῶν τούτων τὴν τελευταίαν νομίζω καλλίστην εἶναι· ἀνελλιπῆ γὰρ τὴν τοῦ ῥητοῦ διάνοιαν σώζει· εὑρίσκεται γὰρ οὕτω· Πᾶν ἁμάρτημα, ὃ ἂν πράξῃ ἄνθρωπος, ἐκτός ἐστι τῆς πρὸς τὴν γυναῖκα ἐπὶ μίξει παροινίας καὶ ἀκαρθασίας· ὁ δὲ πορνεύων, εἰς τὴν γυναῖκα ἁμαρτάνει, ἀκαθαρσίας αὐτὴν ἀναπιμπλὰς καὶ αἰσχρότητος. Καὶ τοῦ ἁγίου Ἀθανασίου ἐστὶ πρὸς τούτοις ἅπασιν ἑρμηνεία, ἐν τῷ Περὶ σεμνοῦ γάμου, καὶ πρὸς τούτοις ὅλοις ἡρμήνευσεν οὕτω· Πρὸς ἀβροδιαίτους καὶ φιλοσάρκους γράφων ὁ Παῦλος, τῇ αὐτῶν φιλοσαρκίᾳ συνεργῷ ἐχρήσατο πρὸς τὴν τῆς πορνείας παραίτησιν, τοῦτο λέγων, ὅτι τὰ λοιπὰ ἁμαρτήματα ψυχὴν ἀδικεῖ, καὶ εἰς αὐτὴν μόνην τὴν βλάβην παραπέμπει· ὁ δέ γε πορνεύων, σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα ἀδικεῖ, φθείρων αὐτὸ καὶ ἐκδυναμῶν, καὶ τὸν ψυχικὸν καὶ ζωτικὸν καθαιρῶν τόνον· ὡς εἰ εἶπεν· Φείσασθε κἂν τοῦ σώματος ὑμῶν, ὃ περιέπετε καὶ θάλπετε, καὶ οὗ πρόνοιαν πλείστην ποιεῖσθε. Τί οὖν; ὁ φθόνος οὐ τήκει τὸ σῶμα; τί οὖν μόνην τὴν πορνείαν τοῦτο φῂς ποιεῖν; Λίαν ἀσφαλῶς εἶπεν

(α) Σοφ. ΙΔ', 24—26. (β) Ἑβρ. ΙΓ', 14. (γ) Γενεσ. Β', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ ἀπόστολος· φησὶ γάρ· Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ φθόνος οὐ γίνεται παρ' ἡμῶν, ἀλλ' ἐνεργεῖται εἰς ἡμᾶς· πάσχομεν γὰρ, ἀλλ' οὐ ποιοῦμεν τὸν φθόνον· καὶ πάθος ἐστὶν, ἀλλ' οὐκ ἐνέργεια· περὶ ἐνεργείας δὲ νῦν ὁ λόγος τῷ ἀποστόλῳ, οὐμὴν περὶ πάθους· φησὶ γάρ· Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος.

ΑΛΛΩΣ. Αὐτὸ μερίζει τὸ ἴδιον σῶμα, καὶ εἰς ἑαυτὸν, ἀλλ' οὐκ εἰς ἄλλον τὴν ἀδικίαν ἐπιδείκνυται, ὅπερ ἐπ' οὐδενὶ τῶν ἄλλων ἐστὶν εὑρεῖν ἁμαρτημάτων. Πάντες γὰρ ἄλλους βλάπτοντες ἁμαρτάνουσιν· ὁ δὲ πορνεύων, ἑαυτὸν βλάπτων καὶ κακοποιῶν.—ΑΛΛΩΣ. Ἡ ἐπαγωγὴ δείκνυσι τὴν ἔννοιαν τοῦ προτεταγμένου αὐτῆς ῥητοῦ τοιαύτην εἶναι· *Εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει*· οἷον, εἰς αὐτὸ τὸ ἴδιον τοῦ Δεσπότου σῶμα· καὶ γὰρ ἐπάγει· *Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν, ναὸς τοῦ ἁγίου πνεύματός ἐστι*; καὶ πάλιν· *Καὶ οὐκ ἐστὲ ἑαυτῶν*· καὶ πρὸ βραχέος· *Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστί*; καὶ πάλιν· *Ἆρας οὖν τὰ μέλη τοῦ Χριστοῦ*. Ὥστε ὁ πορνεύων, εἰς τὰ ἴδια μέλη τοῦ Χριστοῦ καὶ εἰς τὸ σῶμα αὐτοῦ πλημμελεῖ. Τί οὖν; οἱ τὰς λοιπὰς πλημμελοῦντες ἁμαρτίας, οὐχὶ, κατὰ τοῦτον τὸν λόγον, καὶ αὐτοὶ εἰς τὸ τοῦ Χριστοῦ σῶμα πλημμελοῦσι; Καὶ φαμὲν, ὅτι οὐχ οὕτως· εἰ γὰρ καὶ διά τινος μέλους ὁ κλέπτων ἢ ὁ φονεύων τὴν ἁμαρτίαν ποιεῖ, ἀλλ' οὐχὶ εἰς αὐτὸ τὸ μέλος, ἀλλ' ἐκτὸς, καὶ εἰς ἄλλον τινὰ κακουργεῖ· ὁ δὲ πορνεύων, καὶ διὰ τῶν μελῶν, ὥσπερ ἐκεῖνοι, καὶ εἰς τὰ αὐτοῦ μέλη καὶ ὅλον τὸ σῶμα τὴν βλάβην καὶ τὴν ἀδικίαν ἐπιδείκνυσι.

—ΑΛΛΩΣ. Οὐκ εἶπε· Διὰ τοῦ σώματος ἁμαρτάνει· ὅπερ οἱ πολλοὶ νομίζοντες, πράγματα παρέχουσι τοῖς ἑρμηνεύουσιν· ἀλλ' εἰς αὐτὸ ἁμαρτάνει, εἰς αὐτὸ σφάλλει, αὐτὸ μολύνει, αὐτὸ ἐναγὲς ἀποφαίνει· ὡς ἄν τις εἴποι· Ὁ δεῖνα ἑαυτὸν ὑβρίζει, ἄλλον δοκῶν ὑβρίζειν. Νῦν γὰρ βλέπει τῷ ἀποστόλῳ ὁ λόγος, οὐ πρὸς τὴν μετὰ ταῦτα ἐψομένην τῷ ἁμαρτήματι τι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μωρίαν, ἀλλὰ πρὸς τὴν ἐν τῇ πράξει γενομένην τῷ σώματι ἐκ τῆς συμπλοκῆς ὕβριν, τουτέστι τὸν μολυσμόν· ὁ μὲν γὰρ φονεύων, ἄλλον φονεύει· ὁ δὲ πορνεύων, ἑαυτὸν καθυβρίζει· καὶ ὁ τὰ ἄλλα πταίσματα δρῶν, εἰς ἄλλα δρᾷ· ὁ δὲ λαγνεύων, ἑαυτὸν καταισχύνει, ἑαυτὸν μιαίνει. Ὅθεν καὶ ἀπολούονται, τὸν μολυσμὸν ἐννοοῦντες, καὶ τὴν ἀτοπίαν βδελυττόμενοι. Τὰ μὲν γὰρ ἄλλα πλημμελήματα, καὶ εἰς τὸν ἀδικούμενον βλέπει· τοῦτο δὲ, εἰς τὸν ἀδικοῦντα· τὰ ἄλλα ἐκτὸς τοῦ σώματός ἐστι τοῦ δρῶντος· τοῦτο δὲ, τὸν δρῶντα μολύνει· καὶ ἐν μὲν τοῖς ἄλλοις, ἄλλους ἀδικεῖ, ἐν δὲ τῇ πορνείᾳ, ἑαυτόν.

Ἢ καὶ οὕτως· Ἐπειδὴ ὁ πορνεύων ἓν πρὸς τὴν πορνεύουσαν γίνεται, ὁ τὰ οἰκεῖα μέλη ποιῶν μέλη πόρνης, εἰς ἑαυτὸν τῷ ὄντι ἁμαρτάνει· φόνῳ μέν γὰρ εὖ τινὲς ἐχρήσαντο, ὡς Μωσῆς καὶ Φινεὲς (α), καὶ ὀργῇ, ὡς Πέτρος καὶ Παῦλος (β)· πορνείᾳ δὲ οὐδεὶς πώποτε ἐχρήσατο εὖ. — Καὶ οὕτως· Ἐπειδὴ σῶμα ἓν ἐστιν ἡ ἐκκλησία, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη (γ), ὁ πορνεύων, εἰς πάντας ἁμαρτάνει· ἀνατρέχει γὰρ αὐτοῦ τὸ σφάλμα ἐπὶ τὸ τῆς ἐκκλησίας πλήρωμα, οὗ καὶ ἐκκοπῆναι αὐτὸν προσέταξεν, ἕως ἂν μετανοήσῃ. — Λεχθείη ἂν καὶ οὕτως· ὅτι, ἐπειδὴ οἱ νόμῳ τοῦ τιμίου γάμου συνιόντες, ἓν σῶμα γίνονται· (Ἔσονται γάρ, φησι, οἱ δύο εἰς σάρκα μίαν (δ)· διὸ καὶ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ (ε)· ὡσαύτως καὶ ὁ ἀνήρ·) εἰκότως ὁ πορνεύων ἀνὴρ, εἰς τὴν γαμετὴν, τουτέστιν, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Ὡσαύτως καὶ ἡ γυνή. Ἐπὶ μόνῃ γὰρ ταύτῃ τῇ ἁμαρτίᾳ νόμον ἔθετο ὁ Χριστὸς, χωρίζεσθαι αὐτοὺς ἀπ' ἀλλήλων (ζ).

19 Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν
ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ,
20 καὶ οὐκ ἐστὲ ἑαυτῶν; Ἠγοράσθητε γὰρ τιμῆς· δο-

(α) Ἔξοδ. Β', 12. Ἀριθ. ΚΕ', 7. (β) Πραξ. Ε', 1—5. Ι', 10.
(γ) Ῥωμ. ΙΒ', 5. (δ) Γενεσ. Β', 24. (ε) Α' Κορ. Ζ', 4.
(ζ) Ματθ. Ε', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅ τινά ἐστι τοῦ θεοῦ.

Καὶ τῷ μεγέθει τῆς δωρεᾶς, καὶ τῇ ἀξίᾳ τοῦ δεδωκότος, καταπτοεῖ· *πνεῦμα* γὰρ ἡ δωρεά· ἔχετε δὲ τοῦτο, φησὶν, ἀπὸ θεοῦ· θεὸς γὰρ ὁ δεδωκὼς αὐτὸ, καὶ ὁ οἰκῶν ἐν τῷ ναῷ τοῦ θεοῦ, τουτέστιν, ἐν τῷ σώματι ὑμῶν. *Καὶ οὐκ ἐστὲ ἑαυτῶν.*] Οὐ τὸ αὐτεξούσιον ἀναιρεῖ, ἀλλὰ τῶν κακῶν πράξεων ἀπείργει· ὅτι ὑπὸ δεσπότην, φησίν, ἐστε, καὶ οὐδὲν ἔχετε ἴδιον, οὐδὲ αὐτὸ τὸ σῶμα. *Ἠγοράσθητε γὰρ τιμῆς.*] Τῷ αἵματι τοῦ υἱοῦ αὐτοῦ, ὄντες ὑπὸ τὴν ἐξουσίαν τοῦ σατανᾶ. *Δοξάσατε δὴ τὸν θεόν.*] Ἐπεὶ οὖν ἠγοράσθητε ἀπὸ θεοῦ, δοξάσατε αὐτὸν διὰ χρηστῶν πράξεων· ὅπως γάρ, φησιν, ὁρῶντες τὰ καλὰ ὑμῶν ἔργα, δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς (α). *Καὶ ἐν τῷ πνεύματι ὑμῶν.*] Τοῦτο εἰπὼν, δείκνυσιν, ὅτι οὐ μόνον σώματι χρὴ φεύγειν τὴν πορνείαν, ἀλλὰ καὶ πνεύματι, ἤγουν, τῇ ψυχῇ, τῷ μηδὲ κατὰ διάνοιαν μολύνεσθαι· ὃς γὰρ ἂν, φησιν, ἐμβλέψῃ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ (β). *Ἅ τινά ἐστι τοῦ θεοῦ.*] Συχνῶς ἀναμιμνήσκει, ὅτι οὐκ ἐσμὲν ἑαυτῶν, ἀλλ' ὑπὸ δεσπότην τελοῦμεν, τὸν θεόν. Τοῦτο δηλοῖ τὸ, *ἅ τινά ἐστι τοῦ θεοῦ*, καὶ οὐχ ἑαυτῶν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας· ἐν ᾧ, περὶ τοῦ μὴ χωρίζεσθαι ἄνδρας γυναικῶν, μηδὲ εἰ ἄπιστοι εἶεν οἱ ἕτεροι. Περὶ ἀγνείας καὶ διγαμίας.

ΚΕΦ. VII, 1 Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀν-

(α) Ματθ. Ε, 16. (β) Ματθ. Ε, 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 θρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν
3 ἴδιον ἄνδρα ἐχέτω. Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ
4 τῷ ἀνδρί. Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.

Ἐγραψαν τῷ Παύλῳ, εἰ δεῖ γυναικὸς ἀπέχεσθαι, ἢ οὔ. *Καλὸν ἀνθρώπῳ.*] Τὸ μὲν καλὸν καὶ τὸ ὑπερέχον ἐστί, φησι, τὸ ὅλως μὴ ἅπτεσθαι γυναικός· τὸ δὲ ἀσφαλὲς καὶ βοηθοῦν τῇ ἀσθενείᾳ ἡμῶν, τὸ νομίμῳ κεχρῆσθαι γυναικί, καὶ τὸ νομίμῳ κεχρῆσθαι ἀνδρί. *Διὰ δὲ τὰς πορνείας.*] Αὕτη ἡ τῆς συγχωρήσεως αἰτία εἰς ἐγκράτειαν παρακαλεῖ. *Τὴν ὀφειλομένην εὔνοιαν.*] Ἔδειξε χρέος οὖσαν τὴν εὔνοιαν, ἤγουν, τὴν πίστιν καὶ τὴν ἀγάπην, καὶ οὐ δωρεὰν παρεχομένην. *Ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει.*] Ἐπειδὴ εἶπε, *τὴν ὀφειλομένην εὔνοιαν*, ἡρμήνευσε, ποία ἐστὶν αὕτη. Αὕτη φησίν· Οὔτε ἀνὴρ, οὔτε γυνὴ τοῦ ἰδίου σώματος ἐξουσιάζουσιν, ἀλλὰ τὴν τούτου ἐξουσίαν ὁ ἕτερος ἔχει. Καὶ φαίνεται εὔνοια, ἡ φιλία, εὐνούστατος, ὁ πιστὸς φίλος. Τί δήποτε δὲ ἐν μὲν τοῖς ἄλλοις τὸ πλέον δίδωσι τῷ ἀνδρὶ, ἔνθα περὶ ὑποταγῆς καὶ ἐξουσίας ὁ λόγος αὐτῷ· νῦν δὲ τὴν ἰσότητα ἔδωκε; Καὶ φαμὲν, ὅτι ἐκεῖ μὲν, περὶ τοῦ ἀρχικοῦ ὁ λόγος αὐτῷ· νῦν δὲ, περὶ σωφροσύνης, ἐν ᾗ οὐδεὶς τὸ πλέον ἢ τὸ ἔλαττον ἔχειν ὀφείλει.

5 Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.
6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν.
7 Θέλω γὰρ, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

Ὅρα καὶ ὧδε, τὸ χρέος σημανθὲν τῷ ῥήματι τῆς ἀποστερή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεως. *Εἰ μήτι ἂν ἐκ συμφώνου.*] Μὴ ἐγκρατευέσθω, φησί, θάτερος, θατέρου μὴ βουλομένου, μήπως πορνείας γένηται πρόξενος τῷ ἑτέρῳ μέρει ἡ ἐγκράτεια. *Πρὸς καιρόν.*] Τουτέστι, κατὰ καιρὸν τὸν προσήκοντα· εὐκαιρία δὲ ἀποχῆς ἐστιν ἡ νηστεία καὶ ἡ προσευχή. Τοῦτο δέ φησιν, οὐ τὸν συνόντα γυναικὶ, εὔχεσθαι ἢ νηστεύειν κωλύων· ἀλλ' ὅπως ἡ εὐχὴ καὶ ἡ νηστεία σπουδαιοτέρα γένηται. Ἀπέχεσθε γάρ, φησιν, *ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ*, ὡς τῆς μίξεως ἀσχολίαν, οὐκ ἀκαθαρσίαν ποιούσης, μίξεως δὲ τῆς πρὸς τὴν νομίμην γυναῖκα. *Διὰ τὴν ἀκρασίαν ὑμῶν.*] Ἵνα μάθῃς, ὅτι οὐχ ὁ διάβολος μόνος αἴτιος τῆς πορνείας, ἀλλὰ καὶ ἡ ἡμῶν ἀκρασία, ἐπάγει, *Διὰ τὴν ἀκρασίαν ὑμῶν*, δεικνὺς ἔνθεν μᾶλλον ἢ ἐκ τοῦ διαβόλου γίνεσθαι πειρασμούς. *Οὐ κατ' ἐπιταγήν.*] Οὐ γὰρ ὥσπερ τὸ, *Οὐ μοιχεύσεις, Οὐ φονεύσεις*, ἤδη καὶ τὸ μὴ ἀποστερεῖν ἀλλήλους ἐπιταγή τίς ἐστι, καὶ ἐπαινετὸς ὁ τοῦτο ποιῶν, ὡς νόμον πληρῶν. *Κατὰ συγγνώμην* δέ, φησὶ, τοῦτο εἶπον, συγκαταβὰς τῇ ἀσθενείᾳ ὑμῶν. Οὐκ ἐπιτάσσω, *Μὴ ἀποστερεῖτε*· ἀλλὰ μακάριος ὁ ἐγκρατευόμενος. Ἐκ δὲ τοῦ εἰπεῖν, *συγγνώμην*, ἔδειξεν, ὅτι καὶ κατεγνωσμένον πράττει πρᾶγμα ὁ μόνον ἐν τῇ νηστείᾳ καὶ τῇ προσευχῇ ἀπεχόμενος. *Εἶναι ὡς ἐμαυτόν.*] Ἔνθα δυσχερὲς ἐπιτάσσει πρᾶγμα, ἑαυτὸν ἐν μέσῳ φέρει. *Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ.*] Ἐπειδὴ σφόδρα αὐτῶν κατηγόρησεν, εἰπών· *Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν*· νῦν σπουδάζει παραμυθήσασθαι αὐτούς. Παρθένος ἦν ὁ Παῦλος· καὶ ἐπειδὴ εἶπε, *Θέλω, πάντας εἶναι ὡς καὶ ἐμαυτόν*, φησι, τὸ μεῖναι παρθένον, χάρισμα εἶναι ἀπὸ τοῦ θεοῦ· οὐκ ἐπειδὴ τῆς ἡμετέρας οὐ δεῖται σπουδῆς τὸ πρᾶγμα· ὑπὲρ αὐτοῦ γὰρ τοῦ ἀξιωθῆναι χαρίσματος, πολλὰ κοπιᾷ τις· ἀλλ', ὡς εἴρηται, παραμυθεῖται αὐτοὺς ὑπὲρ τῆς ὕβρεως. *Ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.*] Ὃς μὲν καὶ παντελῶς ἀπέχεται μίξεως· ὃς δὲ, ἄχρι τῆς γαμετῆς ἵσταται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐ-
9 τοῖς ἐστὶν, ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγ-
κρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γα-
μῆσαι, ἢ πυροῦσθαι.

Εδειξε πάλιν ἑαυτὸν τῆς τῶν ἀγάμων ὄντα συμμορίας. Οὐ γὰρ ἄν τις αὐτὸν εἰκότως ταῖς χηρευούσαις ἐντάττοι· νεανίας γὰρ ὢν ἔτι τῆς κλήσεως ἠξιώθη. Μηδεὶς δὲ αὐτὸν οἰέσθω τὴν μὲν ἀγαμίαν τοῖς ἀνδράσι, τὴν δέ γε μετὰ τὸν γάμον ἐγκράτειαν ταῖς γυναιξὶ μόναις νομοθετεῖν, διὰ τὸ εἰπεῖν, *τοῖς ἀγάμοις*, ἤτοι, τοῖς ἀνδράσι, *καὶ ταῖς χήραις*, ἤγουν, ταῖς γυναιξίν. Ἀμφότερα γὰρ ἑκάτερον ἐκπαιδεύει γένος, καὶ τὴν ἀγαμίαν, καὶ τὴν μετὰ τὸν γάμον ἐγκράτειαν τῆς χηρείας. *Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν.*] Ὅρα σοφίαν! Καὶ βελτίονα δείκνυσι τὴν ἐγκράτειαν, καὶ οὐκ ἀναγκάζει τὸν μὴ φθάνοντα, δεδοικὼς, μή τι μεῖζον παράπτωμα γένηται. *Ἢ πυροῦσθαι.*] Ἐνέφηνεν, ὅση τῆς ἐπιθυμίας ἡ τυραννίς. Εἰ γὰρ πολλὴν, φησιν, ὑπομένεις βίαν καὶ πύρωσιν, ἀπαλλάγηθι, καὶ γάμησαν, μή ποτε περιτραπῇς.

10 Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ'
ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι·
11 (ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ
καταλλαγήτω·) καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

Επειδὴ ῥητῶς νόμον ὑπὸ τοῦ Κυρίου τεθέντα λέγειν μέλλει, διὰ τοῦτό φησιν· *Οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος.* Τίς δὲ ὁ νόμος; Τὸ, Μὴ γίνεσθαι διαίρεσιν παρεκτὸς λόγου πορνείας (α). Καὶ τά ἔμπροσθεν εἰρημένα, εἰ καὶ μὴ ὀνομαστὶ ὁ Κύριος εἶπεν, ὅμως καὶ αὐτῷ τῷ Κυρίῳ καλῶς ἔχειν δοκεῖ λαλοῦντι, ἤγουν αὐτῷ τῷ Κυρίῳ τῷ διὰ τοῦ στόματος Παύλου λαλοῦντι· πλὴν, ἐπειδὴ τὸ τοῦ χωρισμοῦ ῥητῶς, ὡς εἴρηται, ὁ Κύριος παρέδωκε, τούτου χάριν φησίν· *Οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος.* Ὥστε

(α) Ματθ. Ε', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ, ἐγὼ, καὶ, οὐκ ἐγὼ, ταύτην ἔχει τὴν διαφοράν, ὅτι τὸ μὲν ὅπερ εἶπεν ὁ Κύριος, λέγει, *Οὐκ ἐγώ*· τὸ δὲ ἕτερον φησὶν, ἐγώ. Ἵνα δὲ μὴ τὰ αὐτοῦ ἀνθρώπινα εἶναι νομίσῃς, ἐπάγει κατωτέρω· *Δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν* (α). *Ἐὰν δὲ καὶ χωρισθῇ.*] Κάλλιον μέν, φησι, τὸ μὴ χωρισθῆναι· εἰ δὲ καὶ χωρισθῇ, μενέτω ἔχουσα ἡ γυνὴ τὸν ἄνδρα, εἰ καὶ μὴ τῇ μίξει, τῇ μέντοι διαθέσει, καὶ τῷ μὴ ἐπεισαγαγεῖν ἄνδρα ἕτερον. *Γυναῖκα μὴ ἀφιέναι.*] Εἰμή τι ἐπὶ λόγῳ πορνείας· οὗτος γὰρ ὁ τοῦ Χριστοῦ νόμος.

12 Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδο-
13 κεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ
14 οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί· καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί·

Ἵνα μὴ διασπασθῶσιν οἱ γάμοι, καὶ λοιπὸν συγχύσεως καὶ ταραχῆς καὶ οἴκων ἀνατροπῆς αἰτία ἡ εὐσέβεια τοῖς πολλοῖς νομισθῇ, διὰ τοῦτο τοὺς φθάσαντας ἀπίστοις συνοικεῖν, κωλύει διαιρεῖσθαι. Οὐ γὰρ περὶ τῶν μήπω γεγαμηκότων ταῦτα νομοθετεῖ, ἀλλὰ περὶ τῶν φθασάντων γῆμαι· οὐ γὰρ εἶπεν· Εἴ τις βούλεται λαβεῖν ἄπιστον· ἀλλ', *Εἴ τις ἔχει.* Καὶ γὰρ συνέβαινεν, ἀνδρογύνου ὄντος, ἕνα πιστεῦσαι, θάτερον δὲ ἐν ἀπιστίᾳ μεῖναι. *Ἔχει ἄπιστον.*] Τί οὖν; εἰ ἐν πορνείᾳ ἀλῷ ἡ γυνὴ, ἀφεῖναι αὐτὴν ἐπιτέτραπται, εἰ δὲ ἄπιστός ἐστιν, οὐκέτι; καίτοι χεῖρον τῆς πορνείας ἡ ἀπιστία. Χεῖρον μέν· ἀλλ' ἐπὶ τῆς πόρνης ὁμολογουμένη ἐστὶν ἡ πονηρία· ἐπὶ δὲ τῆς ἀπίστου, ἄγνοιᾳ μᾶλλόν ἐστιν, ἡ πονηρία, ἣν καὶ παυθῆναι εἰκός. Τοῦτο γὰρ καὶ αὐτός φησι· *Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις, μόνον ἐὰν συνευδοκῇ οἰκεῖν; Καὶ αὐτὴ*

(α) Α' Κορ. Ζ' 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνευδοκεῖ.] Εἰ βούλεταί, φησι. Τί γάρ ἐστι βλάβος, εἰ, τῆς πίστεως τοῦ ἑνὸς μέρους ἀκεραίου μενούσης, ἐλπὶς εἴη χρηστὴ, καὶ τὸν ἄπιστον τῷ χρόνῳ μεταβαλόντα πιστεῦσαι; *Μὴ ἀφιέτω αὐτήν.*] Εἰ ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα γίνεται, καὶ ὁ κολλώμενος τῇ ἀπίστῳ δῆλον ὅτι ἓν σῶμα γίνεται, πῶς ἐκεῖνο μὲν κωλύει, τοῦτο δὲ οὔ; Καὶ φαμέν, ὅτι ἓν μὲν σῶμα καὶ ἐπὶ τῆς ἀπίστου γίνεται· ἀλλὰ νικᾷ ἡ καθαρότης τοῦ πιστοῦ μέρους τὴν ἀκαθαρσίαν τοῦ ἀπίστου. Πῶς; Ἐπὶ μὲν γὰρ τῆς πόρνης ἀμφότεροι ἀκάθαρτοι, καὶ ἡ πόρνη, καὶ ὁ ἐπὶ τῷ πορνεῦσαι προσιών· ἐπὶ δὲ τῆς ἀπίστου, αὕτη μέν, καθό ἐστιν ἄπιστος, ἀκάθαρτος· ὁ δὲ προσιὼν, οὐκέτι· οὐ γάρ, ἵνα τῶν ἀπηγορευμένων τι πράξῃ, προσέρχεται, ἀλλὰ τὴν ἐπιτετραμμένην τοῦ γάμου μίξιν. Καὶ πάλιν· Κατ' ἄλλο μὲν ἡ ἄπιστός ἐστιν ἀκάθαρτος, τουτέστι, κατὰ τὴν ἀσέβειαν· κατ' ἄλλο δὲ κοινωνεῖ τῷ πιστῷ μέρει, οἷον, κατὰ τὴν τῶν σωμάτων μίξιν· ἐπὶ δὲ τῆς πόρνης κατ' αὐτὸ, καθό ἐστιν ἀκάθαρτος, ἡ κοινωνία γίνεται, οἷον κατὰ τὸ σῶμα. *Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος.*] Ἵνα μὴ φοβῆται τὸ πιστὸν μέρος, συνοικοῦν τῷ ἀπίστῳ, ὡς γινόμενον τῇ συνοικήσει ἀκάθαρτον, ὅρα, πῶς ἐκβάλλει τὸν φόβον. *Ἡγίασται*, φησι· τουτέστι, τῇ περιουσίᾳ τῆς καθαρότητος τοῦ πιστοῦ μέρους νικᾶται ἡ ἀκαθαρσία τοῦ ἀπίστου, οὐχ ὅτι ἅγιος ὁ ἄπιστος γίνεται· οὐ γὰρ οὕτως εἶπεν· ἀλλ', *ἡγίασται*, τουτέστι, τῇ καθαρότητι τοῦ πιστοῦ νενίκηται. Λέγει δὲ ταῦτα, παραμυθούμενος τὸ πιστὸν μέρος, καὶ τὸ ἄπιστον εἰς ἐπιθυμίαν πίστεως ἐνάγων. Καὶ αὐτὸ δὲ τοῦτο, τὸ ἀνέχεσθαι τὸν ἄπιστον, καὶ μὴ ἀποπηδᾷν τοῦ συνοικεῖν τῷ πιστῷ, ἐγγύς ἐστι τοῦ πρὸς τὴν εὐσέβειαν συνορᾷν. Ἀλλ' εἴποι τις ἂν ἴσως· Οὐκοῦν τὸ αὐτὸ νοοῦντες καὶ περὶ τοῦ πιστοῦ, ἐγγὺς αὐτὸν εἶναι φαίημεν ἂν τοῦ πρὸς ἀσέβειαν ὁρᾷν. Πρὸς ὃ φαμέν, ὅτι οὐκ ἔστιν ἴσον· ὁ μὲν γὰρ πιστὸς, συνοικῶν τῷ ἀπίστῳ, τῆς πίστεως ἐντολὴν καὶ νόμον πληροῖ, ὥστε καὶ ταύτῃ μᾶλλον ᾠκείωται τῇ πίστει, καὶ διίσταται τῆς ἀπιστίας· ὁ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄπιστος, μόνῃ τῇ πρὸς τὸν συνοικοῦντα στοργῇ δεδεμένος, τὴν συνάφειαν οὐ λύει, οὐχὶ νόμον τὸν ἀπὸ τῆς οἰκείας ἀπιστίας αὐτὸς ἐκτελῶν· στέργων δὲ τὸν συνοικοῦντα, χειραγωγηθήσεταί ποτε καὶ πρὸς τὴν αὐτοῦ πίστιν δι' αὐτοῦ. Καὶ τὸ στέργειν δὲ αὐτὸ, τῆς εὐσεβοῦς ἐστι νομοθεσίας, ἀλλ' οὐχὶ τῆς ἀσεβείας. Ὥστε καὶ ταύτῃ ἐγγύς ἐστι τοῦ εὐσεβεῖν αὐτὸν, καὶ ἡγιάσθαι διὰ τῆς συνοικήσεως τοῦ πιστοῦ.

14 Ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νῦν δὲ
15 ἅγιά ἐστιν. Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω· οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις. Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός.

Εἰ γὰρ μὴ νικᾶται τῇ καθαρότητι τοῦ πιστοῦ μέρους τὸ ἄπιστον, οὐδὲν λείπει ἀκάθαρτα τὰ γεννώμενα γίνεσθαι, ἢ ἐξ ἡμισείας καθαρά· ὅπερ, φησὶν, οὐκ ἔστιν· ἅγια γάρ ἐστι· τουτέστιν, οὐκ ἀκάθαρτα· τῇ γὰρ περιουσίᾳ τῆς τοῦ ἁγίου λέξεως ἐκβάλλει τὸ δέος τῆς τοιαύτης ὑποψίας· τοῦτο γάρ ἐστιν ὃ λέγει· *Ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν*, εἰ οὐχ οὕτως ἔχει· ἀλλὰ νῦν ἅγιά ἐστι τῇ περιουσίᾳ τῆς ἁγιωσύνης. *Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω.*] Οἷον· Εἰ κελεύει σοι, ἢ συγκοινωνῆσαι τῆς ἀπιστίας αὐτῷ, ἢ, τοῦτο μὴ ποιούσης, ἀναχωρεῖν τοῦ γάμου, ἀναχώρει, φησί· βέλτιον γὰρ τὸν γάμον, ἢ τὴν εὐσέβειαν λυθῆναι. *Οὐ δεδούλωται ὁ ἀδελφός.*] Εἰ δὲ καὶ καθ' ἑκάστην ἡμέραν πυκτεύει καὶ μάχεταί σοι, βουλόμενός σε πρὸς τὴν ἑαυτοῦ ἀπιστίαν ἑλκῦσαι, καὶ οὕτω χωρίσθητι· οὐ γὰρ δεδούλωσαι εἰς τὰ τοιαῦτα, ὥστε καὶ μαχόμενον βαστάζειν ἐν τοῖς τοιούτοις· καὶ δῆλον, ὅτι περὶ μάχης γινομένης λέγει, ἐξ ὧν ἐπάγει· *Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός.*] Τουτέστιν, ἵνα εἰρηνεύωμεν, καὶ μὴ ἐν ἡμῖν ἡ στάσις ἢ μάχη. Ἐπεὶ οὖν μάχεται ἐκεῖνος, διὰ τοῦτο ἀπαλλαγῆναι καλόν. — *Οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις.*] Οὐκ ἔχει, φησὶν, ἀνάγκην ὁ πιστὸς ἢ ἡ πιστὴ ἐν τοῖς ἀπίστοις τοιαύτην, οἵα αὐτῷ ἐπίκειται ἐπὶ τῶν πιστῶν· ἐκεῖ μὲν γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παντὶ τρόπῳ, χωρὶς λόγου πορνείας, οὐκ ἔξεστιν ἀπ' ἀλλήλων τοὺς συναφθέντας χωρισθῆναι· ἐνταῦθα δὲ, ἂν μὲν συνευδοκῇ τὸ ἄπιστον μέρος τῷ πιστῷ συνοικεῖν, δεῖ μὴ λύειν τὸ συνοικέσιον· ἂν δὲ ϛασιάζῃ, καὶ τὴν λύσιν ἐκεῖνος ποιῇ, οὐ δεδούλωται ὁ πιστὸς εἰς τὸ μὴ χωρισθῆναι· ἀλλ' ἐλεύθερός ἐϛιν, ἐκείνου λύοντος τὸν γάμον, καὶ αὐτὸς διαστῆναι. Πλὴν εἰ καὶ ἐλεύθερός ἐστι, τὸ συνοικέσιον διὰ τὴν τοῦ ἀπίστου στάσιν λύειν, ἀλλ' ἄμεινον πολλῷ ποιήσει, εἰ τὴν ἔριν εἰρήνῃ καὶ καλοκἀγαθίᾳ λύσας, μὴ λύσει τὴν γάμον. *Ἐν γὰρ εἰρήνῃ, φησὶ, κέκληκεν ἡμᾶς ὁ θεός.*] Τοῦτο γάρ, φησι, καὶ τῆς κλήσεως τῆς ἀπὸ θεοῦ σημεῖον, τὸ εἰρηνικοὺς, ὅσον τὸ ἐξ ἡμῶν, πρὸς πάντας εἶναι. Καὶ τὸ ἑφεξῆς δέ· *Τί γὰρ οἶδας, γύναι,* καὶ ἑξῆς, ταύτῃ συνάδει τῇ ἑρμηνείᾳ, διὰ τῆς πρὸς αὐτὴν μάλιϛα ἀκολουθίας (Φωτίου).

16 Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί
17 οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; Εἰ μὴ (1) ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεὸς, ἕκαστον ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω. Καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι.

Πάλιν πρὸς τὸ μὴ ἀφιέναι, μένειν θέλοντα, τὸν ἄπιϛον, μηδὲ ϛασιάζοντα, μεταβέβηκε, καίφησιν· Εἰμὴ διαϛασιάζοι πρὸς σὲ, μένε μετ' αὐτοῦ· εἰκὸς γὰρ τῷ χρόνῳ καὶ αὐτὸν σώσεις, ὁμόψυχόν σοι γινόμενον, καὶ πιϛὸν ποιήσεις. Ὅρα δὲ, πῶς οὐκ ἐν ἀνάγκῃ τοῦτο γενέσθαι ἀπήτησεν, ἵνα μὴ βάρος ἐπιθῇ, ἀλλὰ τῇ τοῦ μέλλοντος ἀδηλίᾳ καὶ τὴν ἀνάγκην ἐξεῖλε, καὶ ταύτην μὴ ἀπογνῶναι καὶ ἐκναρ-

(1) Ὁ Οἰκουμένιος στίζει καὶ ἑρμηνεύει κατὰ τὸν Σευηριανόν. — σώσεις ἢ μή; Ἑκάστῳ κ. τ. λ. Διετηρήσαμεν τὴν κοινοτέραν ἀνάγνωσιν, ἂν καὶ ἡ ἑρμηνεία γίνηται κατ' ἐκείνην. Προσθέτομεν δὲ ἐνταῦθα ἀρχαῖον σχόλιον. « Εἰ μὴ ἑκάστῳ.] Τουτέστιν, εἰ μή τις βούλεται τὴν τοῦ θεοῦ κρίσιν ἀνατρέπειν. Λύσις γάρ, ὡς μόνος εἶδὼς τὸ συμφέρον, τὸν μὲν εὐδόκησεν, ἐξ ἀρχῆς ἀπίϛῳ συναφθῆναι· τὸν δὲ, πιϛῇ συνοικεῖν αὖθις ᾠκονόμησε. Τινὲς δὲ στίζοντες τελείαν εἰς τὸ, εἰ μή, τοιαύτην τὴν ὅλην σύμφρασιν ποιοῦσι· Τί οἶδας, εἰ σώσεις· τί οἶδας, εἰ μὴ σώσεις. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κῆσαι συμβουλεύουσαν, παρεσκεύασεν. *Ἢ μή.*] Ἕως τοῦ, ἢ μὴ, στίξον τελείαν στιγμὴν, ἵνα ᾖ οὕτως· *Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις ἢ μή;* τουτέστι· Πόθεν οἶδας, εἰ σώσεις ἢ μὴ σώσεις; ἄδηλον γὰρ τὸ μέλλον· ἀδήλου δὲ ὄντος, οὐ δεῖ λύειν τὸν γάμον. Μὴ σώζων μὲν γὰρ, οὐκ ἐβλάβης· σώζων δὲ, ὠφέλησας καὶ ὠφελήθης. *Ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεός.*] Τὸ γὰρ συμφέρον αὐτὸς μόνος οἶδε· καὶ πότερον μᾶλλον συνετέλει, τὸν πιστὸν ἐξ ἀρχῆς ἀπίστῳ συναφθῆναι, ἢ πιστῷ. Ἐπ' ἐνίων μὲν γὰρ συνέφερε, πιστὸν πιστῷ συνοικεῖν, καὶ συνήφθη· ἐπ' ἐνίων δὲ, πιστὸν ἀπίστῳ, καὶ γέγονεν οὕτω. Καὶ τούτων οὐδεὶς ἐστιν ἱκανὸς συνιδεῖν τὰς αἰτίας, πλὴν τοῦ οὕτω διαταξαμένου καὶ μερίσαντος θεοῦ, καὶ καλέσαντος Κυρίου. Εἰ δὲ ὁ Θεὸς καὶ ὁ Κύριος τὰς τοιαύτας συναφείας ἔταξε καὶ ἐμέρισε κατὰ τὸ ἑκάστου συμφέρον, οὐκ ὀφείλει ὁ πιστὸς, ἀπίστῳ συναφθεὶς, δυσφορεῖν ἢ ἀγωνιᾷν, καὶ λύσιν ἐπιζητεῖν· ἀλλὰ καθὼς ἐκλήθη ἕκαστος, τούτῳ ἐμμένειν καὶ συμπεριπατεῖν. Ὁ γὰρ Σευηριανὸς ἔστιζεν οὕτως. Εἰ γὰρ μὴ οὕτω στίξῃς, ἀσυνάρτητον ἔλεγεν εἶναι τὴν σύνταξιν. Οὕτω σε, φησὶν, ἐμέρισιν ὁ θεὸς, καὶ οὕτω κέκληκε, μετὰ γυναικὸς ἢ ἀνδρὸς ἀπίστου· στέργε τοιγαροῦν τὸν γάμον, καὶ μὴ διαλύσῃς τὴν πίστιν (1). *Οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι.*] Τοῦτο ἐπάγει, ἵνα τῷ ἔχειν καὶ ἄλλους κοινωνοὺς, προθυμότεροι περὶ τὴν ὑπακοὴν γένωνται.

18 Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. Ἐν

(1) Ὁ Θεοφύλακτος· «Τινὲς οὕτως ἀνέγνωσαν· Τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις, ἢ μή; Εἶτα ἀπ' ἄλλης ἀρχῆς· Ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεὸς· τουτέστι· Πόθεν οἶδας, κἂν τε σώσῃς, κἂν τε καὶ μή; ἄδηλον πάντως· ἄδηλου δὲ ὄντος, οὐ δεῖ λύειν τὸν γάμον· μὴ σώζων μὲν γὰρ, οὐκ ἐβλάβης· σώζων δὲ, ὠφέλησας καὶ ὠφελήθης.» Ἔπειτα εἰς τὸν Χρυσόστομον (Τομ. Γ'. Σελ. 165) ἀναφερόμενος, λέγει. «Ἀλλ' οὐχ οὕτως ὁ ἐν ἁγίοις Ἰωάννης ἀνέγνω· ἀλλὰ· Εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεός· ὃ καὶ βέλτιον πάντως· ὡσανεὶ γὰρ εἶπεν ὁ ἀπόστολος· Οὐ γίνεται ὁ χωρισμὸς διὰ τὴν ἀπιστίαν, εἰ μὴ ἑκάστῳ, ἀντὶ τοῦ· Ἀλλὰ ἕκαστος οὕτως ἐχέτω, ὡς πυθόκησεν αὐτὸν ὁ θεός· γυναῖκα ἔχων ἄπιστον ἐκλήθης; μένε ἔχων, καὶ μὴ διὰ τὴν ἀπιστίαν ἐκβάλῃς.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 ἀκροβυστία τις ἐκλήθη; μὴ περιτεμνέσθω. Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν,
20 ἀλλὰ τήρησις ἐντολῶν θεοῦ. Ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω.

Πάλιν φησί· Περιτετμημένος ἐκλήθης; μὴ ἐπισπῶ. Ὁ δὲ ἅγιος Ἐπιφάνιός φησιν, ὅτι διά τινος θεραπείας φαρμακευτικῆς δύναταί τις ποιῆσαι τὸν ἐμπερίτομον ἀκρόβυστον· καὶ ὅτι ταύτης τῆς ἐπινοίας πρῶτος εὑρετὴς γέγονεν Ἡσαῦ· διὰ τοῦτό φησιν ὁ θεός· *Τὸν Ἡσαῦ ἐμίσησα. Ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω.*] Εἰκὸς γὰρ ἦν διά τινος θεραπείας δύνασθαι εἰς τὸ ἀρχαῖον ἐπανελθεῖν τὴν περιτομὴν, καὶ πρὸς αὐτὴν ἀνατρέχειν καὶ καυχᾶσθαι. Ἐν ἀκροβυστίᾳ, φησὶν, ἐκλήθης; μένε ὃ εἶ· οὔτε γὰρ ἡ περιτομὴ πρὸς σωτηρίαν συμβάλλεται, οὔτε ἡ ἀκροβυστία λυμαίνεται· ἑνὸς γὰρ χρεία μόνον, τοῦ πληροῦν τὰς ἐντολάς. Καὶ ἡ ὠφέλεια διὰ τὴν τήρησιν τῆς ἐντολῆς περιγίνεται ὁμοίως καὶ τῇ περιτομῇ καὶ τῇ ἀκροβυστίᾳ· τῶν γὰρ ἐν ἀνθρώποις πράξεων, αἱ μὲν καθ' αὑτὰς ἔχουσι τὸ χρήσιμον, καὶ εἰ μὴ ὦσιν ἐντολῆς ἠρτημέναι θείας, οἷον ἡ δικαιοσύνη καὶ τὰ ὅμοια· αἱ δὲ, διὰ μόνην τὴν ἐντολὴν, ὡς τὰ πλεῖστα τῶν ἐν τῷ νόμῳ.

21 Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύ-
22 νασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς, δοῦλός ἐστι Χρι-
23 στοῦ. Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι
24 ἀνθρώπων. Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοὶ, ἐν τούτῳ μενέτω παρὰ θεῷ.

Πάλιν ἡ αὐτὴ συμβουλὴ, οἷον τὸ ἐν τοῖς αὐτοῖς μένειν, ἐν οἷς ἐκλήθη τις. Εἰ δοῦλος ὢν ἐκλήθης, μὴ θορυβοῦ· οὐ λυμαίνεται πρὸς τὴν πίστιν ἡ δουλεία· καὶ τοσοῦτον οὐ λυμαίνεται, ὥστε, εἰ καὶ δύνασαι ἐλευθερωθῆναι, μᾶλλον χρή

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε δουλεύειν. Οὕτως οὐδὲ εἷς ἔσται σοι ἐκ τῆς δουλείας ἐμποδισμός.—ΑΛΛΩΣ. Ἵνα μὴ τοῖς δούλοις ἐμπόδιον πρὸς τὴν εὐσέβειαν ἡ δουλεία νομισθῇ, διαῤῥήδην φησίν, ὅτι τοῦτο τοσοῦτον ἀπέχει τοῦ ἐμποδὼν εἶναι, ὥστε οὐδὲ ἐν φροντίδι εἶναι δεῖ περὶ αὐτῆς· *Μὴ γὰρ μελέτω σοι*, φησίν· ἀλλ' εἰ καὶ δύνασαι διά τινος σπουδῆς καὶ ἐπιμελείας ἐλεύθερος γενέσθαι, ἔα τοῦτο, καὶ κέχρησο μᾶλλον τῇ δουλείᾳ· οὐδ' οὕτως οὐδὲν ἐλαττοῦσαι τοῦ δεσπότου· ἀπελεύθερος γὰρ, ὥσπερ κἀκεῖνος, τοῦ κοινοῦ δεσπότου. Δοῦλος μὲν γὰρ εἶ τοῦ κοινοῦ δεσπότου, ὥσπερ κἀκεῖνος· καὶ ἀπελεύθερος πάλιν, ὥσπερ κἀκεῖνος. Τί οὖν σοι τῆς σωματικῆς μέλει δουλείας, τῆς μήτε σὲ ἐλαττούσης, μήτε τῷ δουλευομένῳ μεῖζόν τι προστιθείσης, ἀλλ' ἑκάτερα μηδὲν εἰς τὸ τυχεῖν τῶν ἴσων παραβλαπτούσης; —*Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος.*] Ἐν τοῖς κατὰ Χριστὸν, φησί, πράγμασιν, ἴσοι ἐστὲ σὺ καὶ ὁ δεσπότης ὁ σός· κἀκεῖνος γὰρ δοῦλος Χριστοῦ ἐστί· σὺ δὲ τάχα καὶ πλέον ἔχεις· ἀπελεύθερος γὰρ εἶ Χριστοῦ· αὐτὸς γάρ σε πάσης νοητῆς δουλείας ἠλευθέρωσεν. Ὅμως ἐκ τῆς περιουσίας τῶν λέξεων θέλει δεῖξαι τὸ ἴσον δούλου καὶ δεσπότου· ἐπεὶ πάντες ἀπελεύθεροί τε ἐσμὲν Χριστοῦ· καθὸ ἠλευθέρωσεν ἡμᾶς τῆς τυραννίδος τοῦ σατανᾶ· καὶ δοῦλοι Χριστοῦ· ἐπειδὴ ἐκεῖθεν ἐλευθερώσας, ὑπὸ τὴν οἰκείαν ἤγαγε βασιλείαν. *Τιμῆς ἠγοράσθητε.*] Τῷ γὰρ αἵματι τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ ἠγόρασεν ἡμᾶς ὁ θεὸς καὶ πατήρ. *Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.*] Ἄνω εἶπεν· Ἐὰν καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· ἐνταῦθα δὲ λέγει· *Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων*· τοῦτο γὰρ καὶ πρὸς ἐλευθέρους καὶ πρὸς δούλους ἁρμόζει. Ὁ γὰρ τῷ δεσπότῃ, ἄτοπα καὶ ἀσεβῆ ἐπιτάττοντι, μὴ εἴκων, οὐ γίνεται δοῦλος ἀνθρώπων, κἂν ὑπὸ ζυγὸν ᾖ δουλείας· τοιοῦτος ἦν ὁ Ἰωσήφ· ὁ δὲ διὰ δῶρα ἢ γαστριμαργίαν ὑπουργῶν ἀνθρώποις πρὸς ἀτόπους ὑπηρεσίας, δοῦλός ἐστιν ἀνθρώπων, κἂν ἐλεύθερος εἶναι δοκῇ. Ταύτην ἀπαγορεύει τὴν δουλείαν, οὐ τὴν συνήθη καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νενομισμένην· ἐκείνῃ γὰρ τῇ δουλείᾳ ὑποτάσσεσθαι καὶ εἴκειν πανταχοῦ παραινεῖ (1).

25 Περὶ δὲ τῶν παρθένων, ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου
26 πιστὸς εἶναι. Νομίζω οὖν, τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ
27 τὸ οὕτως εἶναι. Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν·
28 λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι.

Ἐπειδὴ εἰς μείζονα φιλοσοφίαν ἔρχεται, φοβεῖται αὐτὸ καθαρῶς ἐπιτάξαι, τὴν ἀποτυχίαν τῶν μετιόντων δεδοικώς. Διὰ τοῦτο, οὐχ ὡς ἐπιταγὴν, ἀλλ' ὡς συμβουλὴν δίδωσι. Τὰ δὲ περὶ τῶν παρθένων, ἐμμελέστερον ἡρμήνευσεν Ἰωάννης ὁ Χρυσόστομος, ὡς ἐν μονοβίβλῳ ἀκριβέστερον περὶ τούτου διαλαβών, καὶ ἐκεῖ πρόσχες (2)· ἐγὼ δὲ τὰ χάριτι θεοῦ ἐπελθόντα μοι ἔγραψα. *Ἐπιταγὴν Κυρίου οὐκ ἔχω.*] Ἐπειδὴ ὁ Κύριός, φησιν, οὐκ ἐνομοθέτησεν, οὐδὲ ἐπέταξέ τι περὶ τῆς παρθενίας· ἀλλ' εἶπεν· *Ὁ δυνάμενος χωρεῖν, χωρείτω* (α)· οὐκοῦν οὐδὲ ἐγὼ τολμῶ ἐπιτάξαι· μέγα γὰρ καὶ ἐπικίνδυνον τὸ πρᾶγμα· πλὴν ἀλλὰ *γνώμην δίδωμι*, τουτέστι, συμβουλήν· καθὸ καὶ αὐτὸς ἠξιώθην διὰ τὸ ἔλεος τοῦ θεοῦ πιστὸς εἶναι (3). *Ὡς ἠλεημένος ὑπὸ Κυρίου.*] *Ἠλεημένος*, φησίν, εἰς τὸ *εἶναι πιστὸς*, οἷον, κῆρυξ καὶ γνωμοδότης. *Νομίζω οὖν, τοῦτο καλὸν ὑπάρχειν.*] Ὅρα πάλιν, πῶς τὴν ἐξ ἀνάγκης ἐπιταγὴν κολάζει. *Νομίζω*,

(1) Ἐφεσ. Ϛ', 5—8. Κολοσ. Γ', 22—25. Α' Τιμ. Ϛ', 1. 2.

(2) Εἰς τὸ σύγγραμμα ἐκεῖνο παραπέμπει ἐνταῦθα καὶ αὐτὸς ὁ Χρυσόστομος, λέγων· «Εἰ δὲ παρεδράμομεν τὰ περὶ τῆς παρθενίας, μηδεὶς ἡμῶν ὄκνον καταγινωσκέτω· καὶ γὰρ ἐλόκληρον ἡμῖν βιβλίον εἰς τοῦτο σύγκειται τὸ χωρίον· καὶ μετὰ ἀκριβείας, τῆς ἡμῖν ἐγχωρούσης, ἐκεῖ πάσαν ἐπεξελθόντες, περιττολογίαν εἶναι ἐνομίσαμεν καὶ ἐνταῦθα πάλιν αὐτὰ ἐνθεῖναι. Διόπερ ἐκεῖ παραπέμπομεν ὑπὲρ τούτων τὸν ἀκροατήν.» Τομ. Ι. Σελ. 168. Εὑρίσκεται δὲ τὸ σύγγραμμα τοῦτο ἐκδεδομένον ἐν τόμῳ Α'. Σελ. 268.

(α) Ματθ. ΙΘ', 12. (3) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησί. Τί; Ὅτι καλὸν τὸ ἄνευ γάμου εἶναι, διὰ τὰς ἐν αὐτῷ δυσκολίας, καὶ τὰ τοῦ γάμου κακά. *Διὰ τὴν ἐνεστῶσαν ἀνάγκην.*] Τὸν διωγμὸν οἶμαι λέγειν αὐτὸν ἐνταῦθα, τὸν ἀπὸ τῶν ἀπίστων τοῖς πιστοῖς ἐπανατεινόμενον, καὶ τὰς ἄλλας ἐπηρείας καὶ κακώσεις, ἃς ὑπέμενον· τοῦτο γὰρ ἀκόλουθον *ἐνεστῶσαν ἀνάγκην* αὐτὸν καλεῖν. Ἐπειδὴ γὰρ παραίνεσιν ὑψηλὴν καὶ μεγάλην ἠθέλησε ποιήσασθαι, μετὰ περιστάσεως ἔδοξεν αὐτὴν εἰσάγειν. Καλόν, φησιν, ἡ παρθενία, καὶ διὰ τὴν ἐνεστῶσαν τῶν πειρασμῶν φοράν· ῥᾷον γὰρ καὶ ἀκοπώτερον ταύτην οἴσομεν, ἢ γυναῖκας καὶ τέκνα ἐν διωγμοῖς καὶ μυρίαις ταλαιπωρίαις συνεπαγόμενοι. Καταμεριζομένης γὰρ εἰς πολλὰ πάθη τῆς ψυχῆς, ἐν ἀφορήτῳ κακῷ ἀνάγκη καταβαπτισθῆναι τὸν ἄνθρωπον· μόνον δὲ ὄντα, καὶ τοῖς ἑτέρων πάθεσι μὴ κατατεμνόμενον, εὐχερὲς τῆς τῶν κακῶν ὑπερανασχεῖν τρικυμίας. Εἶτα, ἵνα μή τις εἴπῃ· Οὐκοῦν καὶ ὁ φθάσας γάμῳ κοινωνῆσαι, ἄμεινον ποιήσει λύων τὸν γάμον· ἐπήγαγε, Μὴ γένοιτο! τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, *δέδεσαι γυναικί, μὴ ζήτει λύσιν*. Ἀλλ' ὥσπερ, φησὶν, ὁ δεδεμένος, οὐκ ὀφείλει λύσιν ζητεῖν, οὕτως οὐδὲ ὁ λελυμένος, δεσμὸν ἑαυτῷ ὀφείλει περινοεῖν. Τὸ δὲ, *Λέλυσαι*, διχῶς ἐστιν ἐκλαβεῖν, ἢ ὅτι οὔπω ὅλως ἐδέθης, ἢ ὅτι λυθεὶς, ἀφ' οὗ ἐδέθης δεσμοῦ, οὐκ ὀφείλεις ἄλλῳ γυναικὸς δεσμῷ πάλιν συνδεθῆναι. *Μὴ ζήτει λύσιν.*] Ἐπειδὴ εἶπε περὶ παρθενίας, δεδοικὼς αὐτοὺς, ὡς ἀστηρίκτους, μήτι θορυβηθῶσι, συντρέχει τὸν γάμον· συνάδει δὲ τοῖς ἄνω εἰρημένοις. *Λύσιν* γὰρ ἐνταῦθα, οὐ τὴν ἐκ συμφωνίας ἀποχὴν τῆς μίξεως λέγει, ἀλλὰ τὴν παρὰ γνώμην, καὶ ἄνευ λόγου πορνείας, διάλυσιν τοῦ συναλλάγματος· τὸ δὲ, μένοντος τοῦ ἀνδρογύνου, παρθενεύειν, καλόν. *Ἐὰν δὲ καὶ γήμῃς.*] Ἐπιδιορθοῦται αὐτὸ, τὸ ἀσθενὲς τῶν ἀκροατῶν δεδοικὼς, ὡς οὐ χωρούντων τὴν παρθενίαν.—ΑΛΛΩΣ. Τὸ, *Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες*, καὶ ἑφεξῆς, τοῖς ἄνω καθ' ὑπερβατὸν συντακτέον· οἷον· *Καλὸν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώπῳ τὸ οὕτως εἶναι· ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες, καὶ ἐξῆς. Οὐ γὰρ δεῖ συνάπτειν αὐτὸ τῷ, *Λέλυσαι ἀπὸ γυναικὸς; μὴ ζήτει γυναῖκα·* ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. Πρῶτον μὲν γὰρ ἀνακόλουθος, οὕτω λαμβανομένη ἡ ἔννοια· τί γὰρ τῷ γεγαμηκότι ἤδη καὶ διαλυθέντι προσήκει λέγειν, *Ἐὰν δὲ καὶ γήμῃς*; τοῦτο γὰρ τοῖς μήπω γεγαμηκόσιν ἁρμόδιον. Ἔπειτα δὲ, καὶ μέγα ἐστὶν ἁμάρτημα, λυσάμενον ἀπὸ τῆς γυναικὸς, ἄλλην γήμασθαι. Ὥστε οὐκ ἐγχωρεῖ οὕτω συνάψαι τὸ χωρίον, ἀλλ' ὡς πρότερον εἴρηται. Καὶ γὰρ καὶ πρὸ ὀλίγου εἶπε· *Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος* (α). Διά τε οὖν τὰ προειρημένα, καὶ τὸ νῦν εἰρημένον, ἵνα μὴ ἐναντία ἑαυτῷ λέγειν δόξῃ, καθ' ὑπερβατὸν συντακτέον. Εἰ δὲ τὸ, *λέλυσαι*, οὐχὶ πρὸς τοὺς συναφθέντας, εἶτα διαλυθέντας, ἀκούσεις, ἀλλ' ἁπλῶς πρὸς τοὺς μὴ συνελθόντας ὅλως εἰς γάμου κοινωνίαν, ἀλλὰ λελυμένους ὄντας τοῦ τοιούτου δεσμοῦ, ἐγχωρεῖ καὶ κατὰ πόδα ἡ σύνταξις.—*Καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε.*] *Παρθένον* ἐνταῦθα φησὶν οὐ τὴν ἀφιερωμένην θεῷ, ἀλλὰ τὴν ἄγαμον κόρην· ὡς ἦγε ἀφιερωθεῖσα θεῷ, ἐὰν γήμῃ, μοιχὸν ἐπιφέρει τῷ Χριστῷ, ᾧ νενύμφευται. *Θλῖψιν δὲ ἕξουσι τῇ σαρκί.*] Οἱ γαμοῦντες, φησὶ, θλῖψιν ἕξουσι, διὰ τὰς ἐν τῷ γάμῳ φροντίδας καὶ λύπας· *Ἐγὼ δέ*, φησι, *φείδομαι ὑμῶν*, ὡς τέκνων, καὶ βούλομαι, ἐλευθέρους εἶναι καὶ ἀλύπους· τέως γὰρ ἐν δεσμοῖς τυγχάνετε· δέδεσαι γάρ, φησι, γυναικί. Εἶτα καὶ ἑαυτῶν οὐκ ἐξουσιάζουσιν, ὡς ἄνω φησίν.

29 Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι ὁ καιρὸς συνεσταλμέ-
νος τὸ λοιπόν ἐστιν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας,
30 ὡς μὴ ἔχοντες ὦσι· καὶ οἱ κλαίοντες, ὡς μὴ
κλαίοντες· καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες· καὶ
31 οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες· καὶ οἱ χρώ-

(α) Α' Κορ. Ζ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

Ἐπειδὴ εἶπεν, ὅτι *θλίψιν τῇ σαρκὶ ἕξουσιν*, ἵνα μή τις εἴπῃ, Ἀλλὰ καὶ ἡδονήν· ἐκ τοῦ συνεσταλμένου καιροῦ πειρᾶται τὰ τῆς ἡδονῆς ὑποτεμεῖν. Διὰ τοῦτό, φησι, λέγω, ὅτι θλίψιν ἕξουσιν, ἐπειδὴ μήτε ἡδονὴν δύνανται ἔχειν, τῷ τὸν καιρὸν οὕτω συνεστάλθαι, καὶ πρὸς λύσιν ἐπείγεσθαι. Ἤδη γὰρ ἤγγικεν ἡ βασιλεία τοῦ Χριστοῦ, καὶ λοιπὸν ἀποδημεῖν πρὸς αὐτὸν κελευόμεθα. *Ὡς μὴ ἔχοντες ὦσι.*] Πῶς δ' ἂν ὦσιν ὡς μὴ ἔχοντες; Ἐν τῷ μὴ ὑπακούειν αὐταῖς εἰς τὰς μωρὰς τοῦ κόσμου ἐπιθυμίας· ἢ ὅτι καὶ περὶ τὴν μίξιν ἐγκρατεῖς εἶναι βούλεται. *Καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες.*] Διὰ τὴν τοῦ καιροῦ βραχύτητα, πάντα τὰ ἐν σπουδῇ νῦν ὑπάρχοντά τισιν, ὡς οὐκ ὄντα, φησὶν, ὀφείλομεν ἡγεῖσθαι, καὶ τὸ ἔχειν γυναῖκα, καὶ τό χαίρειν, καὶ τὸ λυπεῖσθαι. Ὅταν γὰρ ἐγγὺς ὁ θάνατος, τί δεῖ τοῖς ὧδε ἐμφιλοχωρεῖν; καὶ νομίζειν εἶναι γάμον καὶ ἀγορασίας, ἢ τὸ ὅλως χρᾶσθαι τῷ κόσμῳ; *Καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι.*] Τὸ πάνυ τῇ κοσμικῇ ἀπολαύσει, οἷον τρυφῇ, καὶ πλούτῳ, καὶ δυναστείᾳ κεχρῆσθαι, *κατάχρησιν* καλεῖ, τὸ μὴ κεχρῆσθαι αὐτῷ, καθὼς πρέπει, σημαίνων. Οὐ γὰρ διὰ τοῦτο παρήχθημεν εἰς τὸν κόσμον, ἵνα ταῦτα πράττωμεν· ἐπ' ἔργοις γὰρ ἀγαθοῖς ἐκτίσμεθα. Ὁ οὖν τὰ ἐν οἷς ἐπλάσθη ἀφεὶς, καὶ ἑτέρως τῷ κόσμῳ χρώμενος, παραχρᾶται αὐτῷ. *Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.*] Παρέρχεται, καὶ τέλος ἕξει, φησὶν, ὁ κόσμος ὁ νῦν ὁρώμενος. Τί οὖν ἔχεσθαι δεῖ τοῦ λυομένου; *Σχῆμα* δὲ εἶπεν, ἐμφαίνων, ὅτι ἄχρις ὄψεώς εἰσι τὰ τοῦ παρόντος κόσμου, καὶ οὐκ ἔχουσί τι μόνιμον ἢ βέβαιον.

32 Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μερι-
33 μνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ
34 γυναικί. Μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.

Πῶς δ' ἂν εἴημεν ἀμέριμνοι; Εἰ ἄγαμοι ὦμεν· τὰς γὰρ κοσμικὰς φροντίδας τίς ἀγνοεῖ; *Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου.*] Ὅρα, πῶς τῇ τῆς μερίμνης διαφορᾷ ἐπὶ τὴν παρθενίαν παρακαλεῖ· τὸ γὰρ τὰ τοῦ Κυρίου μεριμνᾶν, οὐκ ἔστι μέριμνα, ἀλλὰ σωτηρία. Ὅθεν ἄνω λέγει· *Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος.*] *Μεμέρισται*, τουτέστι, διαφέρουσιν ἀλλήλων, καὶ οὐ τὴν αὐτὴν ἔχουσι φροντίδα, ἀλλὰ μεμερισμέναι εἰσὶ ταῖς σπουδαῖς· ἡ μὲν γὰρ παρθένος, τὰ τοῦ Κυρίου μεριμνᾷ, *ἵνα ᾖ σώματι καὶ πνεύματι ἁγία*· σώματι μέν, διὰ τὴν ἁγνείαν, πνεύματι δὲ, διὰ τὴν πρὸς τὸν θεὸν οἰκειότητα, καὶ τὴν ἐνοίκησιν τοῦ παρακλήτου πνεύματος· *ἡ δὲ γαμήσασα, τὰ τοῦ κόσμου μεριμνᾷ*· ἀνδρὶ γὰρ ἀρέσαι βούλεται. Ἴσως γὰρ καὶ εὔοπτος εἶναι βούλεται, καὶ οἰκουρὸς, καὶ μηδὲ τῷ δεομένῳ ἁπλοῦσα χεῖρα φιλάνθρωπον. *Γυναῖκα* δέ φησι, τὴν γεγαμηκυῖαν.

35 Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως.

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι· ὃ θέλει, ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν.

Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω.] Τοὺς περὶ παρθενίας λόγους, φησὶν, ἐκίνησα, τοῦτο ὑμῖν συμφέρειν εἰδὼς· οὐχ ἵνα δὲ ἀναγκάσω ὑμᾶς, καὶ θέλοντας, καὶ μὴ θέλοντας, παρθενεύειν. Τὴν γὰρ ἀνάγκην *βρόχον* καλεῖ. Ὁρᾷς, πῶς δέδοικε τέλειόν τι ἐπιτάξαι; *Ἀλλὰ πρὸς τὸ εὔσχημον.*] Τί γὰρ παρθένου καὶ τῆς τοιαύτης πολιτείας καὶ ζωῆς εὐσχημονέστερον καὶ καθαρώτερον; *Καὶ εὐπρόσεδρον τῷ Κυρίῳ.*] Οὐ γὰρ λέγω, φησὶ, ταῦτα, ἵνα βρόχον ὑμῖν καὶ ἀνάγκην ἐπιβάλω, ἀλλὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς τὸ εὔσχημον καὶ ἀπερισπάστως εὐπρόσεδρον τῷ Κυρίῳ ἀγαγεῖν ὑμᾶς βουλόμενος. Ἔστι δὲ εὐπρόσεδρον, τὸ εὐχερῶς παραμένον, ἢ διηνεκῶς, ἀμετεωρίστως, ἀφροντίστως. *Εἰ δέ τις ἀσχημονεῖν νομίζει.*] Ἀσθένεια φύσεως ἀνθρώπου τὸ νομίζειν ἀσχημονεῖν, εἴγε τὴν ἑαυτοῦ θυγατέρα φυλάττει παρθένον, καὶ θεῷ ἀφιεροῖ. Εἰ δέ τις, φησίν, ἀσχημοσύνην νομίζει φέρειν αὐτῷ, τὸ ἀνέκδοτον γάμῳ φυλάττειν οἴκοι τὴν θυγατέρα παρθενεύουσαν, καὶ οἴεται οὕτω μᾶλλον ὀφείλειν γίνεσθαι, οἷον ἐκδοῦναι, *ποιείτω, ὃ θέλει·* οὐ γὰρ κεκώλυται ὁ γάμος· μὴ γένοιτο! εἰ καὶ ὑψηλότερον ἡ παρθενία. Ὥστε, εἰ βούλονται, ἐκγαμείτωσαν αὐτάς, φησι. Εἰ δέ τις ἔστηκεν ἐν ταύτῃ τῇ γνώμῃ ἑδραῖος, ἤτοι εἰς τὸ μὴ ἐκγαμίσαι αὐτὴν, μὴ ποιῶν τοῦτο ὡς ἐξ ἀνάγκης καὶ ἀπὸ νόμου κωλυόμενος· (ὁ γὰρ οὕτω τοῦτο ποιῶν, λίαν ἁμαρτάνει·) ἐὰν οὖν τις τοῦτο, ὡς μὴ ἔχων ἀνάγκην ποιῇ, ἀλλ' ὡς κύριος μὲν ὢν ἑκατέρου θελήματος ἀπὸ τοῦ νόμου, αὐτὸς δὲ αἱρετώτερον κρίνων τὸ μὴ ἐκγαμίζειν, καὶ οὗτος καλῶς ποιεῖ, φυλάττων παρθένον καὶ ἀμέριμνον τὴν ἑαυτοῦ θυγατέρα. Δύναται δὲ τὸ, *Μὴ ἔχων ἀνάγκην*, καὶ ἄλλως οὐδὲν ἧττον οἰκείως ἐκληφθῆναι· οἷον· Μὴ ἀναγκαζόμενος τὸ ἐναντίον ποιεῖν ὑπὸ τῆς θυγατρός. Ἐὰν γὰρ ὁρᾷ τὰ τῆς θυγατρὸς εἰς τὸ ἐκγαμίζειν αὐτὸν ἀναγκάζοντα, οὐκ ὀφείλει παρθένον αὐτὴν τηρεῖν, εἰς τὸ ἐναντίον αὐτὴν καὶ τῆς ὁρμῆς καὶ τῆς γνώμης ἐκβιαζόμενος· ἑκούσιον γάρ, ἀλλ' οὐκ ἀκούσιον τὸ τῆς παρθενίας· ἐπεὶ μετὰ τοῦ ἀκουσίου, καὶ εἰς χεῖρον ἂν ἀποκλίνειεν, ἑαυτῇ μὲν συγγνώμην φέρουσα, εἰς δὲ τὸν βιασάμενον αὐτὴν παρθενεύειν, τῆς ἀτοπίας τὴν αἰτίαν ἀναφέρουσα. Ἢ τὸ, *Μὴ ἔχων ἀνάγκην*, καὶ τοῦτο ἂν ὑποδηλώσειε· Μὴ ἔχων ἀνάγκην τοῦτο ποιεῖν, ἢ ὡς προαφιερώσας τῷ θεῷ, καὶ ἀναθεὶς παρθενεύειν, ἢ ὡς τῆς θυγατρὸς ἐπὶ τοῦτο καταναγκαζούσης. Τῷ γὰρ ὑπό τινος τῶν εἰρημένων ἀνάγκην ἔχοντι μὴ ἐκγαμίζειν, οὐδὲ βουλεύσασθαι ἄλλως ἔνι, οὐδὲ κρίσιν ἄλλην ἐν τῇ καρδίᾳ μελετῆσαι· ἀλλ' οὐδὲ ἐπιτελοῦντι τηλικοῦτος ὁ ἔπαινος, ὅσον μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιτελοῦντι τὸ κατάκριμα, ἀλλὰ πολλαπλάσιον. Ὃς δὲ χωρὶς ἀνάγκης τοῦτο κέκρικε ποιεῖν ἐν τῇ καρδίᾳ, παρθένον μὲν ἔχων, μέγα κατώρθωσεν, ἐκγαμίσας δὲ, οὐδὲν ὅλως ἥμαρτεν.—*Ὃ θέλει, ποιείτω.*] Εἴτε ἐκγαμισάτω, εἴτε τηρείτω παρθένον· οὐδέτερον γὰρ ἁμαρτία· εὐδοκεῖ δὲ μᾶλλον ὁ φυλάττων παρθένον, ὡς προϊὼν φησίν.

37 Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ
38 τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ. Ὥστε καὶ ὁ ἐκγαμίζων, καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων, κρεῖσσον ποιεῖ.

Ὁρᾷς, πῶς ἐκ προοιμίων θαυμάζει τὸν τηροῦντα αὐτὴν παρθένον; *Ὃς ἕστηκέ*, φησιν, *ἑδραῖος ἐν τῇ καρδίᾳ.*] Δῆλον ὅτι ἐκεῖνος, ὁ διὰ τὴν δοκοῦσαν ἀσχημοσύνην καθυφεὶς καὶ ἐκγαμίσας, οὐχ ἕστηκεν ἑδραῖος ἐν τῷ ἔργῳ τοῦ θεοῦ. *Μὴ ἔχων ἀνάγκην.*] Οὐκ ἔχει, φησὶν, ἀνάγκην μὴ ἐκγαμίσαι αὐτήν. Ἦ γὰρ ἂν, οὔτε οὕτω θαυμάσιος ἦν μὴ ἐκγαμίζων· τῇ γὰρ ἀνάγκῃ, καὶ οὐχ αὐτῷ, τὸ ἔργον ἐλογίζετο· νῦν δὲ αὐτοῦ φιλοτιμία ἐστὶ τὸ πᾶν, καὶ θεοφιλὴς προαίρεσις. Ὁ γὰρ ἄκων καὶ ἐξ ἀνάγκης φυλάττων τὴν ἑαυτοῦ παρθένον, ἄχαρις· ὁ δὲ διὰ τὸν τοῦ Κυρίου πόθον, μὴ ἔχων ἀνάγκην, ἀλλ', ὃ θέλει, τοῦτο ποιεῖν δυνάμενος, εἰ φυλάξει, ἐκεῖνος θαυμάσιος. *Καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ.*] Ἑδραῖόν τινα ὑποτίθεται ἄνθρωπον, ὃν οὐκ ἴσχυσε σαλεῦσαι ἡ δοκοῦσα παρὰ τοῖς ἀνθρώποις ἀσχημοσύνη ἐπὶ τῶν φυλαττόντων παρθένους τὰς θυγατέρας. *Καλῶς ποιεῖ.*] Ἐπαινεῖ αὐτὸν τῆς ἑδραίας γνώμης, *Καὶ ὁ ἐκγαμίζων, καλῶς ποιεῖ.*] Καὶ ἐκεῖνο μὲν καλόν· οὐ γὰρ ἁμαρτία τὸ ἐκγαμίζειν· πᾶν δὲ, ὃ οὐχ ἁμαρτία, καλόν· ὁ δέ γε μὴ ἐκγαμίζων, καὶ κατόρθωμά τι πράττει, ὃ κρεῖττόν ἐστιν. Ὅρα δὲ, πῶς ἐκ τῆς συγκρίσεως, τὸ μὴ ἐκγαμίζειν συμβουλεύει.

39 Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα
40 ἐστὶν, ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν.

[Περὶ δευτερογαμίας ἐνταῦθα διδάσκει, συγχωρῶν μὲν αὐτὴν· πλὴν μακαριωτέραν τιθεὶς τὴν μὴ διγαμοῦσαν. Ὡς γὰρ ἡ παρθενία τοῦ πρώτου γάμου καλλίων· οὕτω καὶ ὁ πρῶτος γάμος τοῦ δευτέρου (1).] *Γυνὴ δέδεται νόμῳ.*] *Νόμῳ* λέγει τῷ περὶ τῶν μοιχῶν, ᾧ κατέχεται εἰς τὸ μὴ συμπλακῆναι ἑτέρῳ. Διὰ τοῦτο εἶπε, *Δέδεται*· καὶ ἐν τῷ ἑπεῖν, *δέδεται*, δείκνυσιν, ὅτι μοιχαλὶς ἂν γένοιτο, ἑτέρῳ συζευχθεῖσα, ζῶντος τοῦ ἀνδρός· ἀποθανόντος δὲ, *Ἐλευθέρα ἐστὶν, ᾧ θέλει γαμηθῆναι.* Ἠλευθέρωται γὰρ τοῦ πρώτου δεσμοῦ καὶ νόμου, καὶ λέλυται. Εἰπὼν δὲ, ὅτι ἐλύθη, προτρέπεται, μὴ πάλιν γῆμαι καὶ δεθῆναι. *Μόνον ἐν Κυρίῳ.*] Πλὴν μετὰ σωφροσύνης, φησὶ, καὶ κοσμιότητος δεθήτω νομίμῳ γάμῳ, ἐπὶ παιδοποιΐᾳ καὶ προστασίᾳ, μὴ διὰ πάθος ἐπιθυμίας. *Κατὰ τὴν ἐμὴν γνώμην.*] Ἵνα μὴ ἀνάγκην τὸ πρᾶγμα νομίσῃς, φησὶ, *Κατὰ τὴν ἐμὴν γνώμην*· ὅσον ἐγὼ γινώσκω, κατὰ τὴν ἐμὴν παραίνεσιν καὶ συμβουλὴν, οὐ κατά τινα νομοθεσίας ἀνάγκην. Εἶτα, ἵνα μή τις εἴπῃ· Οὐκοῦν, εἰ μή ἐστι νομοθεσία, τί χρὴ ὅλως τινὰ κατὰ τὴν σὴν παραίνεσιν ποιεῖν; ἐπήγαγεν, ὅτι καὶ ταῦτα ἐκ τοῦ παναγίου Πνεύματος παραινοῦμεν, εἰ καὶ μὴ εἰς νόμου ἀνάγκην, διὰ τὴν ἀσθένειαν ὑμῶν, τὴν συμβουλὴν κατακλείομεν. *Δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν.*] Ἵνα μή τις νομίσῃ τὰς τοιαύτας συμβουλίας Παύλου εἶναι, καὶ διὰ τοῦτο ἀνθρωπίνας, ἐπάγει, ὅτι *πνεῦμα θεοῦ ἔχω*· ὡς εἰ ἔλεγεν ὅτι, Νομοθεσίαι εἰσὶ τοῦ παρακλήτου, οὐκ ἐμαί. Πολλὴν δὲ ταπεινοφροσύνην ἐνδείκνυται τὸ, *δοκῶ*, λέγων, τουτέστιν, ἡγοῦμαι, ὑπονοῶ.

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ διαφορᾶς ἐδεσμάτων καὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος· ἐν ᾧ, περὶ συμπεριφορᾶς· περὶ τῆς ἑαυτοῦ πολυπλόκου συμπεριφορᾶς· περὶ τοῦ μὴ κοινωνεῖν δαίμοσι· περὶ τοῦ μὴ ἀδιαφορεῖν ἐν ὠνίοις καὶ κλήσεσιν.

ΚΕΦ. VIII, 1 Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχομεν· (ἡ γνῶσις φυσιοῖ, ἡ δὲ 2 ἀγάπη οἰκοδομεῖ· εἴ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω 3 οὐδὲν ἔγνωκεν, καθὼς δεῖ γνῶναι· εἰδέ τις ἀγαπᾷ τὸν θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ·)

Η αἰτία τῆς τῶν εἰδωλοθύτων ἐπιπλήξεως αὕτη. Τινὲς, ὄντες παρὰ Κορινθίοις περὶ τὴν πίστιν τέλειοι· καὶ εἰδότες, ὅτι οὐ τὰ εἰσπορευόμενα κοινοῖ τὸν ἄνθρωπον, καὶ ὅτι τὰ εἴδωλα, ξύλα καὶ λίθοι ὄντα, οὐδέν εἰσιν, ἀδιαφόρως ἐν τοῖς μιαροῖς τῶν εἰδώλων οἴκοις εἰσιόντες, μετεῖχον τῶν ἐκεῖσε τραπεζῶν, καὶ εἰδωλοθύτων ἐγεύοντο. Τοῦτο δὲ καὶ αὐτοὺς τοὺς τελείους ἔβλαπτε· (δαιμόνων γὰρ ἐκοινώνουν τραπέζαις·) καὶ τοὺς ἀτελεστέρους· οὐδὲ γὰρ ἐξήταζον οὗτοι μεθ' ἧς ταῦτα ποιοῦσιν ἐκεῖνοι γνώμης· ἀλλὰ τὸ γινόμενον μόνον ὁρῶντες, πρόφασιν ἐλάμβανον εἰδωλοθυτεῖν, ὡς καὶ τῶν τελείων, κατὰ τιμὴν τῶν εἰδώλων, κοινωνούντων τῶν ἐκεῖσε τραπεζῶν. *Οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχομεν.*] Μέγα ἐφρόνουν, ὡς γνῶσιν ἔχοντες θεοῦ· διὸ ἐδόκουν μηδὲ παραφυλάττεσθαι τὰ εἰδωλόθυτα. Ταύτην οὖν τὴν γνῶσιν κοινὴν πάντων λέγει· πάντες γάρ, φησιν, ἔχομεν ταύτην τὴν γνῶσιν. Τοῦτο δὲ λέγων, καθαιρεῖ αὐτῶν τὸ φρόνημα. *Ἡ γνῶσις φυσιοῖ.*] Καὶ ἑτέρως αὐτῶν καταβάλλει τὸ φύσημα, δεικνὺς τὴν γνῶσιν χωρὶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγάπης οὐ μόνον οὐκ ὠφελοῦσαν, ἀλλὰ καὶ βλάπτουσαν· *Φυσιοῖ* γάρ, φησιν· ἡ δὲ ἀγάπη, τοὐναντίον, οἰκοδομεῖ τὰ καταβληθέντα καὶ σχισθέντα προφάσει τῆς ἐπὶ τῇ γνώσει φυσιώσεως μέλη. *Καθὼς δεῖ γνῶναι.*] Πάλιν ἑτέρως αὐτοὺς συστέλλει. Οὐ μόνον, φησὶν, ἡ γνῶσις κοινή ἐστι, καὶ φυσιοῖ, ἀγάπης οὖσα χωρίς· ἀλλ' οὐδὲ τελεία ἐστὶ, καθὼς εἶναι δεῖ· ὡς εἰ ἔλεγεν· Οὔπω οὐδὲν ἔγνωτε τέλειον, εἰ καὶ δοκεῖτε εἰδέναι, καὶ διὰ τί τοσοῦτον ἐπαίρεσθε; Οὐ περὶ τῶν προκειμένων δὲ μόνον, ἀλλὰ καὶ περὶ παντὸς πράγματος, οὐκ ἔνεστι νῦν γνῶσις τελεία. Εἰπὼν δὲ· *Εἰ δέ τις ἀγαπᾷ τὸν θεόν*· δείκνυσιν ἀπὸ ἀγάπης ἐγγινομένην τὴν τελείαν γνῶσιν. *Εἴ τις* γάρ, φησιν, *ἀγαπᾷ τὸν θεόν*. Καὶ ὅρα· οὐκ εἶπεν οὐδὲ οὕτως, ὅτι γινώσκει τὸν θεὸν, ἀλλ' *ἔγνωσται ὑπὸ τοῦ θεοῦ*· ταύτῃ ἀδύνατον κατασκευάζων τὴν τελειοτάτην γνῶσιν, καὶ καθαιρῶν αὐτῶν τὸ οἴημα· ἢ ὅτι ὁ ἐγνωσμένος παρὰ θεοῦ, ἀξιοῦται ἀποκαλύψεως, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησι· Καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι (α)· τοῦτο δηλῶν· Ὅς τις ἔχει τὴν ἀγάπην, ἐκεῖνος ἀποκαλύπτεται τὴν τελειωτέραν γνῶσιν.

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν,
ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς
5 ἕτερος, εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι
θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς· (ὥσπερ
6 εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοί·) ἀλλ' ἡμῖν εἷς
θεὸς, ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καί εἷς Κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα,
7 καὶ ἡμεῖς δι' αὐτοῦ. Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις·

Τί μέγα φρονεῖτε; Οὐχ ἡμῶν μόνον ἡ τοιαύτη εἴδησις, τὸ εἰδέναι δηλαδὴ, ὅτι οὐκ ἔστιν εἴδωλα, τουτέστιν, ὅτι οὐδέν ἐστιν, οὐδενός εἰσιν ἄξια· ὅτι γάρ εἰσι ξύλα καὶ λίθοι, πάντες τοῦτο γινώσκομεν, καὶ οὐχ ὑμεῖς μόνοι. *Οὐδὲν ἐν κόσμῳ εἴδωλον.*] Τουτέστιν, οὐδὲν τῶν ἐν κόσμῳ ὄντων ἐστὶν εἴδωλον·

(α) Β' Κορ. ΙΒ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἐπινοίας ματαίας ἀναπλασμὸς καὶ ἀνατύπωσις. Διὸ ἐν μόναις ταῖς τούτων διανοίαις ἡ τῶν εἰδώλων ὕπαρξις ἵδρυται· ἐν ἄλλῳ δὲ οὐδενὶ δύναται ἔχειν τὴν ὑπόστασιν. *Καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος.*] Τοῦτο πρὸς τοὺς νομίζοντας, αὐτὰ τὰ ξύλα καὶ τοὺς λίθους τῶν εἰδώλων ἔχειν τινὰ ἰσχύν. *Εἰ μὴ εἷς.*] Τοῦτο πρὸς τοὺς νομίζοντας, δυνάμεις τινὰς θείας παρέπεσθαι τοῖς τῶν εἰδώλων ξοάνοις. *Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί.*] Ἐπειδὴ εἶπεν, *οὐδεὶς θεὸς ἕτερος*· ἐνομίζοντο δὲ παρ' Ἕλλησιν εἶναι πολλοὶ θεοί· ἵνα μὴ τῇ φανερᾷ δόξῃ τῶν Ἑλλήνων, (τῇ πεπλανημένῃ μὲν, κρατούσῃ δὲ ὅμως,) ἐναντιοῦσθαι δόξῃ, ὅρα τί, φησιν· *Εἴπερ εἰσὶ λεγόμενοι θεοί.* Καὶ καλῶς τὸ, *λεγόμενοι*· οὐκ εἰσὶ γάρ· τουτέστιν, οὐκ εἰσὶν ἐν ἀληθείᾳ, ἀλλ' ἐν λόγῳ· εἴτε ἐν οὐρανῷ, οἷον, ἥλιος καὶ σελήνη· εἴτε ἐπὶ γῆς, οἷον, οἱ παρ' αὐτοῖς ἥρωες. Εἰ οὖν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἔχωσιν οἱ Ἕλληνες πολλοὺς θεοὺς καὶ κυρίους· ἀλλ' ἡμῖν εἷς θεός. *Ὥσπερ εἰσὶ θεοὶ πολλοί.*] Ἀπὸ κοινοῦ τὸ, *λεγόμενοι*, δέξαι. Εἰσὶ γάρ, φησι, παρ' Ἕλλησι θεοὶ καὶ κύριοι λεγόμενοι, ἀλλ' ἡμῖν εἷς Θεὸς, καὶ εἷς Κύριος. *Ἀλλ' ἡμῖν εἷς θεὸς, ὁ πατήρ.*] Ἐπειδὴ εἶπεν· *Εἷς θεὸς, ὁ πατήρ*· καὶ *εἷς Κύριος, Ἰησοῦς Χριστὸς*, μὴ νομίσῃς ἀποκεκληρῶσθαι τῷ μὲν πατρὶ τὸ, Θεὸς, τῷ δὲ υἱῷ τὸ, *Κύριος*. Πολλαχοῦ γὰρ αἱ Γραφαὶ, καὶ τὸν πατέρα *Κύριον* καλοῦσιν, ὡς· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου (α) »· καὶ τὸν υἱὸν, Θεὸν, ὡς· « Διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου (β) »· καὶ· « Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητός (γ) ». Εἰ δέ τις λέγει, ἐπὶ τοῦ πατρὸς μόνου τὸ, *Θεὸς*, ἁρμόζειν, διὰ τὸ εἰπεῖν, *εἷς θεὸς*, ἆρά γε καὶ ἐπὶ μόνου τοῦ υἱοῦ ἁρμόσει τὸ, *Κύριος*, διὰ τὸ εἰπεῖν, *εἷς Κύριος, Ἰησοῦς Χριστός*; Ἀλλ' οὐκ ἔστι. Πρὸς ἀντιδιαστολὴν γὰρ τῶν ψευδωνύμων θεῶν καὶ κυρίων τὸ, *εἷς*, εἴρηται. Πολλοὶ δὲ ζητοῦσι, τίνος ἕνεκεν οὐκ ἐμνήσθη τοῦ ἁγίου Πνεύματος. Καὶ φαμὲν, ὅτι πρὸς Ἕλ-

(α) Ψαλμ. ΡΘ', 1. (β) Ψαλμ. ΜΔ', 8. (γ) Ῥωμ. Θ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λήνας ἦν ὁ λόγος αὐτῷ, τοὺς πολλοὺς θεοὺς καὶ κυρίους λέγοντας. Ἐφοβήθη οὖν καὶ τοῦ πνεύματος μνησθῆναι, μή πως· καὶ παρ' ἡμῖν πολυθεΐαν εἶναι νομίσωσι. Διὸ καὶ οὕτως ἀσφαλῶς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐμνήσθη· τὸν μὲν *πατέρα*, εἰπὼν ἕνα θεόν, ἵνα μὴ δύο θεοὺς νομίσωσι· τὸν δὲ υἱόν, ἕνα Κύριον, ἵνα μὴ δύο Κυρίους νομίσωσιν. Εἰ γὰρ εἶπε θεὸν καὶ θεόν, πολυθεΐαν ἂν ἐξ ἀπειρίας ἐνόμισαν Ἕλληνες· ἢ Κύριον καὶ Κύριον, πολυκυριότητα ἂν ἐνόμισαν. Ὥστε καὶ τοῦ νῦν εἰπεῖν Θεὸν τὸν πατέρα, καὶ Κύριον, τὸν υἱόν, αὕτη ἡ αἰτία· ἦν γὰρ ὑποσχόμενος, παρ' ἡμῖν ἕνα θεὸν εἶναι. Εἰ οὖν εἶπε καὶ τὸν πατέρα καὶ τὸν υἱόν, Θεὸν ἢ Κύριον, πάλιν εὑρίσκετο τῇ οἰκείᾳ μὲν ὑποσχέσει ὅσον πρὸς Ἕλληνας ἐναντιούμενος, καὶ πολυθεΐαν ἢ πολυκυριότητα κατὰ τὸ φαινόμενον εἰσάγων. Διὸ Θεὸν εἰπὼν τὸν πατέρα, Κύριον εἶπε τὸν υἱόν, τῇ νηπιότητι συγκαταβαίνων τῶν Ἑλλήνων. Ἀποδέδεικται γὰρ ἀδιαφόρως τοῖς τοιούτοις ὀνόμασι κεχρημένη ἡ Γραφή. *Ἐξ οὗ τὰ πάντα.*] Αὐτὸς γὰρ αἰτία πᾶσι τοῖς οὖσι· τὸ γάρ, *Ἐξ οὗ τὰ πάντα*, τὴν δημιουργίαν σημαίνει, καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν. *Καὶ ἡμεῖς εἰς αὐτόν.*] Διὰ τούτου τὸν τῆς πίστεως καὶ τῆς πρὸς αὐτὸν οἰκειώσεως δηλοῖ λόγον· οἷον, εἰς αὐτὸν ἐπεστράμμεθα, καὶ εἰς αὐτὸν ἐσμὲν ἠρτημένοι. *Καὶ εἷς Κύριος.*] Ἄλλος ὁ πατήρ· διὰ τοῦτο καὶ ἐπ' αὐτοῦ τὸ, *εἷς*. *Καὶ ἡμεῖς δι' αὐτοῦ.*] Διπλῷ τῷ λόγῳ, τῷ τε ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐλθεῖν, καὶ τῷ ἐκ τῆς πλάνης εἰς τὴν ἀλήθειαν ἐπισρέψαι δι' αὐτοῦ. *Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις.*] Οὐ πάντες, φησὶν, ἴσασιν, ὅτι εἷς θεός ἐστι, καὶ εἷς Κύριος, καὶ οὐ πολλοί· οὐδὲ πάντες ἴσασιν, ὅτι τὰ εἴδωλα οὐδέν εἰσιν.

7 Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν,
8 ἀσθενὴς οὖσα, μολύνεται. Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα.

Λέγων, *τινὲς*, ἀορίστως, οὐκ ἀποκαλύπτει αὐτοὺς, ἵνα μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναισχυντοτέρους ποιήσῃ. *Ἕως ἄρτι.*] Ὁρᾷς, ὅτι οὐ πάντες ἴσασιν, ὅτι οὐδέν ἐστι τὰ εἴδωλα; Ἀμέλει *ἕως ἄρτι τινὲς*, τουτέστι, καὶ μετὰ τὸ πιστεῦσαι, τὰ εἰδωλόθυτα, ὡς εἰδωλόθυτα ἐσθίουσι, *τῇ συνειδήσει τοῦ εἰδώλου*, τουτέστι μετὰ τῆς αὐτῆς γνώμης, μεθ' ἧς καὶ οἱ Ἕλληνες, ὡς ἡγούμενοι εἶναί τι τὰ εἴδωλα, καὶ δεδοικότες, ὡς βλάψαι δυνάμενα. *Καὶ ἡ συνείδησις αὐτῶν, ἀσθενὴς οὖσα, μολύνεται.*] Οὐκ εἶπεν, ὅτι ἐκεῖνα μολύνουσιν· ἀλλὰ, *ἡ συνείδησις αὐτῶν μολύνεται*, ὡς ἀσθενὴς οὖσα, καὶ μὴ δυναμένη νοῆσαι, ὅτι οὐδέν εἰσιν. Ἐπεὶ οὖν ἀσθενῆ καὶ σαθρὰν ἔχουσι τὴν συνείδησιν, μολύνονται ἐσθίοντες, εἰ καὶ μὴ ἐμολύνοντο. Διὰ τί δὲ μὴ ἔχοντες ἀσθενῆ τὴν συνείδησιν, οὐκ ἐμολύναντο; Ὅτι οὐκ εἰσί τι ὅλως τὰ εἴδωλα, οὐδέν εἰσιν, οὐδενὸς ἄξια, ἀνωφελῆ. *Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ.*] Ἵνα μὴ, οἷα εἰκὸς, εἴπωσιν· Ἐγὼ καθαρᾷ ἐσθίω συνειδήσει, καὶ τί μοι μέλει, εἴ τις δι' ἀσθένειαν σκανδαλίζεται; δείκνυσιν, ὅτι καὶ αὐτὸ τὸ φαγεῖν ὅλως ἐπὶ καταφρονήσει τῶν εἰδώλων, οὐδὲν γενναῖον ἐστί. Κἂν γὰρ μὴ ἐβλάπτετό, φησιν, ὁ ἀδελφὸς, ἀσθενὴς ὢν, οὐδὲ οὕτω τι τῶν ἐπαινουμένων ἐποίεις, ἢ τῶν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσαγαγεῖν καὶ παραστῆσαι δυναμένων. Τί γάρ ἐστι φαγεῖν καὶ μὴ φαγεῖν; *Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν*· τουτέστιν, εὐδοκιμοῦμεν παρὰ τῷ θεῷ, ὡς μέγα τι πεποιηκότες, καὶ περισσεύομεν ἐν ἐπαίνῳ· (ἐναβρύνοντο γὰρ ἐκεῖνοι ἐπὶ τοῦτο, καὶ δείκνυσιν αὐτοὺς οὐδὲν ποιοῦντας·) *οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα*, τουτέστιν, ὑστεροῦμεν καὶ ἐλαττούμεθα ἐν ἐπαίνῳ.

9 Βλέπετε δὲ, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσ-
10 κομμα γένηται τοῖς ἀσθενοῦσιν. Ἐὰν γάρ τις ἴδῃ σὲ, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδο-
11 μηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπο-
λεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν
12 Χριστὸς ἀπέθανεν. Οὕτω δὲ, ἁμαρτάνοντες εἰς τοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

Φοβοῦντος ὁ λόγος. *Μήπως ἡ ἐξουσία αὕτη.*] Οὐκ εἶπεν, ἡ γνῶσις, ἢ ἡ τελειότης, ἀλλ', ἡ ἐξουσία, ὅπερ προπετείας ἐστὶ καὶ ἀλαζονείας μᾶλλον. *Πρόσκομμα γένηται.*] Τουτέστι, σκάνδαλον, καταστροφή. Εἰπὼν δὲ, *τοῖς ἀσθενοῦσιν*, αἰτιᾶται αὐτοὺς, ὅτι οὐδὲ τῶν ἀσθενούντων φείδονται ἀδελφῶν, οἷς ἔδει καὶ χεῖρα ὀρέγειν. *Σὲ τὸν ἔχοντα γνῶσιν.*] Τουτέστι, Σὲ τὸν, ὡς λέγεις, τέλειον ὄντα, ἐὰν ἴδῃ ἀσθενής τις, τῶν εἰδωλοθύτων γευόμενον, *οὐχὶ ἡ συνείδησις αὐτοῦ*, ἀφορμὴν πλείω λάβῃ εἰς τὸ ἐσθίειν τὰ εἰδωλόθυτα, καὶ οἴεσθαι εἶναί τι τὰ εἴδωλα; Εἰπὼν δὲ, *οἰκοδομηθήσεται*, δείκνυσιν, ὅτι ἐπὶ πλεῖον αὐτοῦ ἡ ἀσθένεια αὐξηθήσεται. *Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφός.*] Καὶ γενήσεται πρόφασις ἀπωλείας ἑτέρῳ ἡ σὴ τελειότης. *Δι' ὃν Χριστὸς ἀπέθανεν.*] Καὶ ὁ μὲν Χριστός, φησιν, οὐδὲ ἀποθανεῖν ὑπὲρ αὐτοῦ παρητήσατο· σὺ δὲ οὐδὲ ἄχρι βρωμάτων ἀποχῆς συγκαταβαίνεις, ἵνα μὴ σκανδαλίζηται. *Καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν.*] Οὐκ εἶπε, σκανδαλίζοντες, ἀλλὰ, τὸ ὠμότερον, *τύπτοντες*· τί γὰρ ὠμότερον τοῦ τύπτοντος τὸν ἀσθενῆ; *Εἰς Χριστὸν ἁμαρτάνετε.*] Πῶς εἰς Χριστὸν πταίομεν, ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς; Πῶς; Ὅτι τὰ τῶν οἰκετῶν, αὐτὸς ὡς δεσπότης, οἰκειοποιεῖται· καὶ ὅτι εἰς σῶμα αὐτοῦ τελοῦσιν οἱ πλησιάζοντες· καὶ ὁ ἐκεῖνος διὰ τῆς οἰκείας κατώρθωσε σφαγῆς, τουτέστι, τὴν σωτηρίαν, σὺ διὰ βρώματος καταλύεις· καὶ τί γένοιτ' ἂν τούτου ἀλογώτερον;

13 Διόπερ, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

ΚΕΦ. IX, 1. Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν, τὸν Κύριον ἡμῶν, ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν Κυρίῳ;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ·

Τοῦτο μάλιστα ἀρίζου διδασκάλου, τὸ ἐξ ἑαυτοῦ παιδεύειν. Ὑμεῖς, φησὶν, οὐδὲ εἰδωλοθύτων, τῶν καὶ ἄλλως ἀπηγορευμένων, φείδεθε, ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τὸν ἀδελφόν· ἐγὼ δὲ, τί λέγω εἰδωλοθύτων; οὐδὲ ἄλλου ἂν ἀψαίμην κρέως, εἰ ἐκ τούτου σκανδαλίζεταί τις· ἡ δὲ παραίτησίς μου ἔσται αἰωνία· *οὐ μὴ φάγω κρέα*, φησὶν, *εἰς τὸν αἰῶνα*. Καὶ ἐπειδὴ εἶπεν· *Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα*· ἵνα μή τις νομίσῃ, ὅτι φιλοτιμίᾳ ῥημάτων αὕτη· (οὐκ ἂν γὰρ καὶ ἔργῳ ταῦτα ἐπλήρωσεν·) ἀναγκάζεται λοιπὸν δεῖξαι, πῶς καὶ τῶν συγκεχωρημένων ἀπέσχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαί τινας. Τί γαρ λέγω, φησὶ, περὶ τῶν εἰδωλοθύτων; Αὐτοῦ γὰρ τοῦ Χριστοῦ ἐπιτάξαντος, τὸν κηρύσσοντα τὸ εὐαγγέλιον, ἐκ τοῦ εὐαγγελίου, τουτέστι, παρὰ τῶν μαθητευομένων, ἐσθίειν (α), ἐγὼ εἰλόμην καὶ λιμῷ, εἰ δέοι, φθαρῆναι, καὶ μηδὲν παρ' ὑμῶν λαβεῖν· οὐκ ἐπειδὴ παρέχοντές μοι, φησὶ, σκανδαλίζεσθε· ἀλλ' ἵνα πλέον οἰκοδομῆσθε, ὁρῶντές με, ἀδάπανον ὄντα ὑμῖν. Ὥστε, φησὶ, καὶ νόμου θείου ἐπιτρέποντός μοι λαμβάνειν, διὰ τὴν ὑμῶν οἰκοδομὴν οὐδὲν εἰλόμην λαβεῖν παρ' ὑμῶν· ἀλλὰ ταῖς χερσί μου ἐκοπίων ἐργαζόμενος καὶ ἀποτρεφόμενος. Ἰδοὺ, τέως ἀπέδειξεν ἑαυτὸν ἀληθεύοντα· λοιπὸν δὲ καὶ ἄλλο κατασκευάζει. Ἐγὼ μέν, φησιν, οὕτως· ὑμεῖς δὲ οὐδὲ εἰδωλοθύτων ἀπέχεσθε, πρὸς τὸ μὴ τοὺς ἀσθενεῖς τῶν ἀδελφῶν σκανδαλίζειν, μᾶλλον δὲ ἀπολλύειν. Πολλῶν δὲ στίχων περιεκτικὴ ἐστιν ἡ ἔννοια τῆς παραγραφῆς, καὶ ἐκτείνεται ἕως τοῦ· *Ἐλεύθερος ὢν ἐκ πάντων.—Οὐκ εἰμὶ ἀπόστολος;*] Εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι, εἰ καὶ ἐβούλου λαβεῖν, ἐπειδὴ οὐκ ἐξῆν σοι λαβεῖν, διὰ τοῦτο

(α) Ματθ. Ι'. 10. Λουκ. Ι', 7. Α' Κορ. Θ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲ εἶληφας· ἰνατί, φησιν, οὐκ ἐξῆν μοι; Οἱ ἄλλοι ἀπόστολοι οὐ τρέφονται ἐκ τοῦ εὐαγγελίου; Ναί, φασι. Τί οὖν ἐγώ; *Οὐκ εἰμὶ ἀπόστολος;* τουτέστιν, ὡς ἐκεῖνοι· *οὐκ εἰμὶ ἐλεύθερος;* τουτέστι, μὴ ὑπό τινα εἰμὶ τὸν κωλύοντά με λαβεῖν; Εἶτα, ἵνα μὴ παλιν λέγωσιν, ὅτι οἱ ἄλλοι ἀπόστολοι πλέον ἔχουσι τὸ, τὸν Χριστὸν ἑωρακέναι καὶ συναναστραφῆναι αὐτῷ, ἐπάγει· *Οὐχὶ Ἰησοῦν Χριστὸν, τὸν Κύριον ἡμῶν, ἑώρακα;*] Ὥστε μηδὲ ἐν τούτῳ ἐλάττόν τι ἔχω τῶν λοιπῶν ἀποστόλων. « Ἔσχατον γὰρ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοὶ (α). » *Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν Κυρίῳ;*] Εἶτα, ἵνα μὴ λέγωσιν· Εἰ καὶ ἀπόστολος εἶ, καὶ ἐλεύθερος, οὐδὲν μέντοι ἔργον ἐπεδείξω ἀποστόλου· πῶς, φησίν; *οὐ τὸ ἔργον μου ὑμεῖς ἐστέ;* τουτέστιν, οὐκ ἐργασίαν ἀποστόλοις πρέπουσαν ἐπεδειξάμην εἰς ὑμᾶς, ἐπισρέψας ὑμᾶς; ὅπερ ἐν Κυρίῳ διὰ Χριστοῦ πέπραχα. *Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος.*] Καίτοι, φησιν, ἔξεστί μοι λέγειν, ὅτι ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ, μέχρι τοῦ Ἰλλυρικοῦ, πεπλήρωκα τὸ εὐαγγέλιον τοῦ Χριστοῦ (β)· ἀλλὰ τέως οὐ λέγω. Μὴ κἂν ὑμῶν οὐ γέγονα ἀπόστολος; Εἰ γὰρ ἄλλων οὐκ εἰμὶ, ὑμῶν τέως εἰμί· ἀλλ' ὅμως οὐδὲν παρ' ὑμῶν εἴληφα· εἰς τοῦτο γὰρ ὁρα τὸ ἀποτέλεσμα αὐτῷ. Ὅθεν φησίν· *Ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστέ.*] Τουτέστιν, εἰ βούλεταί τις μαθεῖν, εἰ εἰμὶ ἀπόστολος, ὑμᾶς εἰς ἀπόδειξιν προβάλλομαι. Πάντα γὰρ τὰ τοῦ ἀποστόλου ἐν ὑμῖν ἐπεδειξάμην, καὶ σημεῖα ποιήσας, καὶ διδάξας τὴν πίστιν, καὶ κινδύνους ὑπομείνας, καὶ βίον ἀνεπίληπτον ἐπιδείξας. Ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα, σφραγίζει, καὶ ἐκτυποῖ, καὶ ἀποδεικνύει τὸν ἀπόστολον.

3 Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη
4 ἐστί. Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;
5 μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν,

(α) Α' Κορ. ΙΕ', 8. (β) Ρωμ. ΙΕ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ
6 Κυρίου, καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας
οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;

Τοῖς ζητοῦσι μαθεῖν, πόθεν δῆλον, ὅτι τὰ τοῦ ἀποστόλου σημεῖα ἐπεδειξάμην, ἢ ὅτι ἀδάπανον ἐκήρυξα τὸ εὐαγγέλιον, ὑμᾶς εἰς μαρτυρίαν καὶ ἀπόδειξιν προβάλλομαι. Τοῦτο γάρ ἐστιν ὃ λέγει· *Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί·* τουτέστιν, ἡ εἰς ὑμᾶς ἀποστολή. *Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;*] Οὐκ εἶχον ἄρα, φησίν, ἐξουσίαν φαγεῖν καὶ πιεῖν ἐκ τῶν μαθητευομένων; τοῦτο γὰρ ὁ Χριστὸς ἐκέλευσεν· ἀλλ' ὅμως καὶ τούτου ἀπεσχόμην, διὰ τὸ μὴ σκανδαλισθῆναι ὑμᾶς. *Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν;*] Αἱ εὔποροι γυναῖκες, πιστεύουσαι, ἠκολούθουν ἐνίοις τῶν ἀποστόλων, εἰς τὰς ἀναγκαίας αὐτῶν χρείας χορηγοῦσαι, ὡς αὐτοὺς λοιπὸν ὄντας περὶ τούτου ἀμερίμνους, μόνῳ τῷ κηρύγματι αὐτοὺς ἀπασχολεῖσθαι. Ὅρα δὲ, ὅτι τὸν κορυφαῖον, ἔσχατον τέθεικε· τοῦτο αἰνιττόμενος· Καὶ τί τοὺς ἄλλους λέγω; αὐτὸς ὁ Πέτρος οὐ τοῦτο ἐποίει; *Καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου.*] *Ἀδελφοὺς τοῦ Κυρίου*, τοὺς νομισθέντας ἀδελφοὺς αὐτοῦ λέγει. Ἐπειδὴ γὰρ οὕτως ἐχρημάτιζον, καὶ αὐτὸς κατὰ τὴν κοινὴν δόξαν εἶπεν· οἵτινές εἰσιν υἱοὶ Ἰωσὴφ, Ἰάκωβος, ἐπίσκοπος Ἱεροσολύμων, Ἰωσῆς, καὶ Σίμων, καὶ Ἰούδας· οἱ ἀδελφοὶ ὠνομάσθησαν τοῦ Κυρίου, διὰ τὴν πρὸς τὴν Θεοτόκον μνηστείαν τοῦ Ἰωσήφ. *Ἐγὼ καὶ Βαρνάβας.*] Εἰδὼς τὸν Βαρνάβαν κοινωνοῦντα αὐτῷ τῆς ἀκριβείας ταύτης, ἤγουν, τοῦ ἄνευ δαπάνης κηρύττειν, καίγε ἐξουσίαν ἔχων μὴ ποιεῖν οὕτως, οὐκ ἀπέκρυψεν. *Οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;*] Τουτέστι, τοῦ μὴ τὰ πρὸς τροφὴν καὶ αὐτάρκειαν ἀπὸ τοῦ κηρύγματος πορίζεσθαι; Ἀλλ' ὅμως ἔχοντες ἐξουσίαν, οὐ χρώμεθα τῇ ἐξουσίᾳ, ἵνα μᾶλλον ὑμᾶς ὠφελήσωμεν, ἀδάπανον κηρύσσοντες τὸ εὐαγγέλιον. Εἰ δὲ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι, εἰ καὶ συνήδειν σκανδαλιζομένους ὑμᾶς ἕνεκεν κρεωφαγίας, καίτοι ἀκώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυτον ὄν, οὐκ ἂν ἔφαγον εἰς τὸν αἰῶνα, ἵνα μὴ σκανδάλου πρόξενος γενοίμην τῷ ἀδελφῷ, πόσῳ μᾶλλον δεῖ φυλάττεσθαι ὑμᾶς ἀπὸ τῶν εἰδωλοθύτων, δι' ὧν οἱ ἀδελφοὶ οὐ μόνον σκανδαλίζονται, ἀλλὰ καὶ τὰς συνειδήσεις μολύνουσι; Τὸ δὲ, *Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι*, οἰκειότερον ἐπὶ τῆς λέξεως οὕτως ἐκλαβεῖν· Οἱ μὲν οὖν ἄλλοι ἀπόστολοι ἐξουσίαν ἔχουσι τοῦ μὴ ἐργάζεσθαι, μηδὲ κοπιᾷν ταῖς χερσὶν, ἀλλ' ἐκ τῶν διακονούντων αὐτοῖς τρέφεσθαι· ἐγὼ δὲ καὶ Βαρνάβας, ὡς φαίνεται, οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι, ἀλλ' ἀνάγκη ταῖς χερσὶ κοπιῶντας, οὕτως ἑαυτοῖς τὰ πρὸς τὴν ἀναγκαίαν χρείαν ἐπαρκεῖν;

7 Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτὲ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

Τίς, φησι, στρατευόμενος, οἰκοθεν τρέφεται, καὶ οὐκ ἐκ τῆς στρατείας; Καὶ τοῦτο λέγει, *ἰδίοις ὀψωνίοις*. Καλῶς δὲ τὸ τοῦ στρατιώτου πρότερον τέθεικε· τοῦτο γὰρ ἁρμόδιον τῇ ἀποστολῇ διὰ τοὺς ἐν αὐτῇ κινδύνους καὶ τὸν πόλεμον τῶν νοητῶν ἐχθρῶν. *Τίς φυτεύει ἀμπελῶνα.*] Ἐκ τοῦ ἀμπελῶνος, τὸν ἐν τῇ ἀποστολῇ πόνον, καὶ τὴν πολλὴν ταλαιπωρίαν καὶ ἐπιμέλειαν δηλοῖ. *Ἢ τίς ποιμαίνει ποίμνην.*] Διὰ τῆς *ποίμνης* δηλοῖ τὴν διδαχὴν καὶ τὴν κηδεμονίαν τὴν ἐν τῇ ἀποστολῇ. Ταῦτα δὲ πάντα τὰ παραδείγματα δείκνυσι, χρῆναι τὸν διδάσκαλον ἐκ τῶν μαθητευομένων ἐσθίειν, ὥσπερ τὸν στρατιώτην, ἐκ τῆς στρατείας, καὶ τὸν φυτεύσαντα ἀμπελῶνα, ἐκ τοῦ καρποῦ αὐτοῦ, καὶ τὸν ποιμένα, ἐκ τοῦ τῆς ποίμνης γάλακτος. Ἀλλ' ὅμως, φησὶ, καὶ τοῦ δικαίου τοῦτο βουλομένου, καὶ τοῦ Κυρίου κελεύσαντος, ἐγὼ ἀδαπάνως ὑμῖν ἐκήρυξα, ἵνα μή τινα σκανδαλίσω. Ἐγὼ τοιγαροῦν καὶ τῶν ἐπιτεταμμένων ἀπεσχόμην διὰ τὴν ὑμετέραν οἰκοδομήν· ὑμεῖς δὲ οὐδὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΒΛΙΟΘΗΚΗ

εἰδωλοθύτων· ἀπέχεσθε διὰ τὸ μὴ βλάπτειν τοὺς ἀδελφούς. Οὗτος γὰρ ὁ σκοπός ἐστιν αὐτῷ εἰς ὅλον τοῦτο τὸ χωρίον.

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ
9 νόμος ταῦτα λέγει; Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· « Οὐ φιμώσεις βοῦν ἀλοῶντα (α).»
10 Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ ὁ ἀλοῶν, (1) τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.

Ἐπειδὴ τὸ δεῖν τρέφεσθαι αὐτοὺς ἐκ τῶν μαθητευομένων ἔδειξε, καὶ τῶν λοιπῶν ἀποστόλων κοινὴν εἶναι συνήθειαν τοῦτο, λοιπὸν καὶ ἀπὸ γραφικῆς μαρτυρίας θέλει τοῦτο πιστώσασθαι, καί φησι· *Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ;*] Τουτέστι, Μὴ τοῖς ἀνθρώποις μόνον τοῦτο δοκεῖ; ἢ ἐξ ἀνθρωπίνων μόνων παραδειγμάτων τοῦτο ἔχω συστῆσαι τῷ λόγῳ; οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; *Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται.*] Ἐκ περιουσίας κατασκευάζει ὃ βούλεται· διὰ τοῦτο καὶ τὸ τῶν βοῶν παρεισάγει ὑπόδειγμα. *Μὴ τῶν βοῶν μέλει τῷ θεῷ;*] Ἵνα μή τις εἴπῃ· Καὶ τί ἀνήκει πρὸς τὸ προκείμενον τὸ περὶ τῶν βοῶν εἰρημένον; φησί, Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; Μέλει μὲν γὰρ αὐτῷ καὶ περὶ τῶν ζώων· οὐχ οὕτω δὲ, ὡς καὶ νόμον περὶ τούτων τιθέναι· ἀλλ' ἐκ τούτου παιδεῦσαι ἡμᾶς βούλεται, τοὺς κοπιῶντας μὴ ἀνονήτως κοπιᾷν, ἀλλὰ τρέφεσθαι ἐκ τῶν πόνων. Καὶ ἐγὼ οὖν, ὃς ἐκοπίασα, δίκαιος ἤμην τρέφεσθαι παρ' ὑμῶν. *Ἢ δι' ἡμᾶς πάντως λέγει;*] Τὸ, *πάντως*, ὡς ἐπὶ ὁμολογουμένου φησί, τουτέστι, πᾶσι τρόποις. *Ὅτι ἐπ' ἐλπίδι ὀφείλει.*] Ἐπέμεινε τῇ τροπῇ τῶν βοῶν. Ὅτι ὁ διδάσκαλος, φησίν, ὀφείλει τῶν πόνων ἔχειν τὰς ἀμοιβὰς, οὐχὶ ἐφ' ὅτῳ μηδὲν περαιτέρω ἀπολαύσειν, ἀλλ' ἐφ' ᾧ ἐλπίδα ἔχειν, μετὰ ταύτην τὴν πρόσκαιρον καὶ βραχεῖαν ἀπόλαυσιν, καὶ τῶν

(α) Δευτερ. ΚΕ', 4. (1) Παρ' ἄλλοις· ἐπ' ἐλπίδι τοῦ μετέχειν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

αἰωνίων καὶ ὑπερφυῶν τυχεῖν ἀγαθῶν. Τοῦτο γὰρ δηλοῖ τὸ ἐπαγόμενον· *Καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.* Τῆς γὰρ διακονίας οἱ ἀπόστολοι τῆς ἐπὶ τῇ διατροφῇ ἐλπίδα εἶχον παρὰ τῶν μαθητευομένων τυγχάνειν, καὶ ἐτύγχανον· οὐ μέντοίγε τοῦτο ἦν αὐτοῖς ἡ τελεία ἐλπίς· ἀλλὰ ταύτης ἀπολαύοντες τῆς ἐλπίδος, ἔτι τὰ μείζονα ἐκαρδόκουν καὶ ἤλπιζον. Τοῦτο δέ φησιν, ὅτι οὐδὲν ἐνέκοπτε τὴν τῶν μελλόντων ἐλπίδα καὶ ἀπόλαυσιν ἡ τῆς παρὰ τῶν μαθητευομένων ἐπὶ τῇ τροφῇ ὑπηρεσίας ἀπόλαυσις· ἐντεῦθεν δηλῶν, ὡς, καίτοι μηδὲν ἐμποδὼν ὄντος πρὸς τὴν ἐκεῖθεν ἀπόλαυσιν τοῦ τρέφεσθαι παρὰ τῶν μαθητῶν, ὅμως οὐκ εἴληφά, φησι. Πλείοσι δὲ αὐτὸ ἐπιχειρήμασιν ἀκώλυτον ὂν κατασκευάζει, διά τε τὸ εἰρημένον, καὶ ἵνα μὴ, ἀπεχόμενος αὐτὸς, τοὺς ἄλλους δόξῃ χρωμένους ἐν διαβολῇ τινὶ καθιστᾷν. *Καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ.*] Ἡ αὐτὴ πάλιν τροπή. *Καὶ ὁ ἀλοῶν*, φησὶ, *τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.* Ἐπειδὴ γὰρ ὁ ἀροτριῶν, ἐπ' ἐλπίδι ἀροτριᾷ, ταύτης τῆς ἐλπίδος λοιπὸν καὶ ἀλοῶν ὀφείλει ἀπολαῦσαι, ἣν ἤλπισεν ἐν τῷ ἀροτριᾷν. Τίς δὲ ἡ ἐλπίς; Τὸ μεταλαβεῖν δηλονότι τῶν καρπῶν. Εἶτα προστίθησιν, *ἐπ' ἐλπίδι.*] Ἵνα γὰρ μή τις εἴπῃ· Τῶν τοσούτων οὖν πόνων, ὧν ὑπομένουσιν οἱ ἀπόστολοι, αὕτη ἐστὶν ἡ ἀμοιβὴ, τὸ τρέφεσθαι μόνον; προσέθηκεν, *ἐπ' ἐλπίδι·* τουτέστιν, ἐπ' ἐλπίδι μὲν τῶν μελλόντων ἀγαθῶν οἱ ἀπόστολοι μοχθοῦσι· πλὴν δεῖ καὶ ἐντεῦθεν ἔχειν παραψυχὴν, τὴν παρὰ τῶν μαθητευομένων χορηγίαν. Τοῦτο δὲ δηλοῖ, ὅτι ἐπὶ τῇ μελλούσῃ ἐλπίδι, δεῖ μετέχειν καὶ ἑτέρας ἐλπίδος, τουτέστι, τροφῆς, καὶ τῶν λοιπῶν.

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ
12 ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.

Εἶτα καὶ ἄλλο λέγει, δεικνὺς, δεῖν τὸν διδάσκαλον τρέφεσθαι. Οὐ γὰρ ὅμοια, φησὶν, ὧν λαμβάνετε, παρέχετε. Εἰ γὰρ ἡμεῖς τὰ πνευματικὰ εἰς ὑμᾶς *ἐσπείραμεν*, τουτέστι, παρέσχομεν, μέγα ἐστὶν, ἐὰν τὰ σαρκικὰ λάβωμεν; *πνευματικὰ*, τὴν πίστιν, λέγων, *σαρκικὰ* δὲ, τὴν τροφήν. *Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσι.*] Δηλοῖ τινας ἀπατεῶνας, κρατοῦντας αὐτῶν· καὶ οὐ μόνον παρ' αὐτοῖς ἐσθίοντας, ἀλλὰ καὶ ἐξουσιάζοντας αὐτῶν. Εἰ οὖν ἐκεῖνοι, φησὶ, τῆς ἐξουσίας ὑμῶν μετέχουσιν ἐν τῷ ἄρχειν ὑμῶν, οὐκ ἄρα ἡμεῖς, οἱ ἀληθῶς ἀπόστολοι, ἐσμὲν δίκαιοι μᾶλλον τοῦτο ποιεῖν; *Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ.*] Ὁρᾷς, ποῦ ἀποδίδοται τὸ συμπέρασμα τοῦ νοήματος; Εἰ γὰρ καὶ ἦν μοι, φησὶν, ἐξουσία τοῦ λαμβάνειν παρ' ὑμῶν, ὡς ἀποδέδεικται ἔκ τε τοῦ ταῦτα ποιεῖν καὶ τοὺς λοιποὺς ἀποστόλους, καὶ ἐξ ὧν παρεθέμην παραδειγμάτων, καὶ ἐκ τοῦ νόμου Μωσέως, ὅμως οὐδὲν εἴληφα, δεδοικὼς, μὴ τοῦτό τινας ἐγκόψῃ πρὸς τὴν πίστιν. Εἰ οὖν ἐγώ, φησὶ· (τοῦτο γὰρ βούλεται τὸ νόημα·) καὶ τῶν ἐπιτεταραμμένων ἀπέχομαι, διὰ τὸ μὴ σκανδαλίσαι τινὰς, πῶς ὑμεῖς οὐδὲ τῶν εἰδωλοθύτων ἀπέχεσθε, καὶ ὅλως ἀπηγορευμένων, ὑπὲρ τοῦ μὴ σκανδαλίζειν τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν; *Τῇ ἐξουσίᾳ ταύτῃ.*] Τουτέστιν, οὐδὲν παρά τινος ἔλαβον. *Ἀλλὰ πάντα στέγομεν.*] Ἵνα γὰρ μή τις εἴπῃ, ὅτι, ἐπειδὴ οὐκ ἔχρηζες, διὰ τοῦτο οὐκ ἔλαβες· ἐπάγει, *Ἀλλὰ πάντα στέγομεν*· τουτέστι, καὶ ἐν μεγάλῃ στενοχωρίᾳ ὄντες, ὅμως πάντα στέγομεν, οἷον, καὶ πεῖναν, καὶ δίψαν, καὶ γυμνότητα, ἵνα μόνον μή τις *ἐγκοπὴ γένηται*, τουτέστιν, ἡ σμικρὰ καὶ ἡ τυχοῦσα ἀναβολὴ εἰς τὸ εὐαγγέλιον καὶ τὸ κήρυγμα.

13 Οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύον-
14 τες, τῷ θυσιαστηρίῳ συμμερίζονται; Οὕτω καὶ ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν. Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων.

Μὴ ἀρκεσθεὶς τοῖς πρώτοις, καὶ ἕτερα ἐπάγει ἐκ τοῦ νόμου δεικνὺς, ὡς ἐξῆν αὐτῷ παρὰ τῶν μαθητῶν λαβεῖν· καὶ φησιν· *Οἱ τὰ ἱερὰ ἐργαζόμενοι.*] Τουτέστιν, οἱ παραμένοντες τῷ ἱερῷ, καὶ τὰς ἐν αὐτῷ λειτουργίας ἐκτελοῦντες λευῖται. *Ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν.*] Οὐκ εἶπεν, Ἐκ τῶν προσφερόντων· ἵνα μήτε τοὺς λαμβάνοντας εὐτελίσῃ, μήτε τοὺς διδόντας ἐπάρῃ· ἀλλ', *Ἐκ τοῦ ἱεροῦ. Οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες.*] *Ἱερὰ μὲν ἐργαζομένους* τοὺς λευῖτας φησὶν, οἳ τὰ ἐπιδέκατα ἐλάμβανον· *τῷ θυσιαστηρίῳ δὲ προσεδρεύοντας*, τοὺς ἱερέας, οἳ ἐκ τῶν θυμάτων εἶχον ἀφαιρήματα. *Τῷ θυσιαστηρίῳ συμμερίζονται.*] Πάλιν καὶ ὧδε τὸν αὐτὸν εἶπε τρόπον. Οὐ γὰρ εἶπεν, Ἐκ τῶν θυόντων λαμβάνουσιν, ἀλλ', Ἐκ τοῦ θυσιαστηρίου· τὰ γὰρ προσενεχθέντα μετὰ τὸ προσενεχθῆναι, οὐκέτι τῶν προσενεγκάντων ἦσαν, ἀλλὰ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου. Καλῶς τὸ, *συμμερίζονται*· τὰ μὲν γὰρ ὁλοκαυτώματα ἐγίνετο, καὶ ἦν μόνου τοῦ θυσιαστηρίου· καὶ ἐκ τῶν θυομένων δὲ, τὸ μὲν αἷμα προσεχεῖτο τῷ θυσιαστηρίῳ, καὶ τὸ στέαρ ἐθυμιᾶτο· τῶν δὲ κρεῶν ἀφαίρημά τι ἐλάμβανεν ὁ ἱερεὺς, οἷον, τὸν δεξιὸν βραχίονα, καὶ τὸ στηθύνιον, καὶ τὸ ἧνυστρον. *Οὕτω καὶ ὁ Κύριος.*] Οὕτως, οὐδέν, φησι, ξένον· ἀλλὰ τῇ Παλαιᾷ ἑπόμενος, οὐδὲν καινοτομῶν ἐποίησα. Ὅρα δὲ, τὸ μέγιστον ἔσχατον τέθεικεν. *Ἐκ τοῦ εὐαγγελίου ζῆν.*] Καθώσπερ οὐκ εἶπεν, Ἐκ τῶν προσενεγκάντων, ἀλλ', Ἐκ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου, οὕτω καὶ ὧδε οὐκ εἶπεν, Ἐκ τῶν μαθητῶν, ἀλλ', Ἐκ τοῦ εὐαγγελίου. Καλῶς δὲ λέγει τὸ, ζῆν, δεικνὺς, ὅτι οὐδὲν ἔξεστιν ἄλλο λαμβάνειν, πλὴν τροφῶν καὶ ἐνδύματος. *Οὐδενὶ ἐχρησάμην τούτων.*] *Τούτων.* Ποίων; Τῶν παραδειγμάτων, ὧν εἶπον, τοῦ νόμου, καὶ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ, ὅτι χρὴ λαμβάνειν τοὺς διδασκάλους, καὶ ζῆν ἐκ τῶν μαθητευομένων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά
16 μου ἵνα τις κενώσῃ. Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαί
17 δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι. Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονο-
18 μίαν πεπίστευμαι. Τίς οὖν μοί ἐστὶν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

Ἵνα μὴ νομίσωσι, διὰ τοῦτο αὐτὸν ταῦτα γεγραφηκέναι, ὡς βουλόμενον ἀπ' ἄρτι τοῦ λοιποῦ λαμβάνειν, διορθοῦται αὐτό. *Οὐκ ἔγραψα ταῦτα*, φησὶν, *ἵνα οὕτω γένηται ἐν ἐμοί.*] Τουτέστιν, ὡς τὰ παραδείγματα βούλεται, ὡς αἱ τοῦ Κυρίου διατάξεις διατάττουσιν· οἷον, ἵνα λαμβάνω. *Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν.*] Ὅρα, μετὰ πόσης τὸ λαβεῖν διακρούεται σηοδρότητος! *Καλόν μοι*, φησὶ, *μᾶλλον ἀποθανεῖν*· οἷον, αἱροῦμαι μᾶλλον διαφθαρῆναι λιμῷ, ἢ *ἵνα κενωθῇ*, τουτέστι, μάταιόν μου τὸ ὑπὲρ τούτου γένηται καύχημα. Ἵνα γὰρ μή τις λέγῃ, ὅτι, Εἰ καὶ μὴ λαμβάνει, ἀθυμεῖ μέντοι καὶ ἀδημονεῖ ἐφ' οἷς οὐ λαμβάνει, *καύχημα* τὸ πρᾶγμα καλεῖ, δεικνὺς τὴν ὑπὲρ τοῦ γινομένου χαρὰν καὶ προθυμίαν. Τίς γὰρ ἤμελλε κενῶσαι τὸ καύχημα Παύλου; Ὁ παρέχων τι αὐτῷ εἰς τὸ εὐαγγέλιον. *Ἐὰν γὰρ εὐαγγελίζωμαι*, φησὶν, *οὐκ ἔστι μοι καύχημα.*] Τί οὖν ἐστί σοι καύχημα; εἴποι τις ἂν αὐτῷ· ἐπάγει· Τὸ ἀδάπανον ποιῆσαι τὸ εὐαγγέλιον. Τί οὖν; τοῦτο τοῦ εὐαγγελίζεσθαι μεῖζον; Οὐμενοῦν φησιν· ἀλλὰ τὸ μὲν εὐαγγελίζεσθαι ἐνεχειρίσθην, ἐπιτέτραμμαι· τὸ δὲ ἀδαπάνως κηρύσσειν, ἐμῆς φιλοτιμίας ἔργον. *Καύχημα* γάρ φησιν, ὃ αὐτὸς ἐξ οἰκείας φιλοτιμίας ἐπιδείκνυται· τὴν δὲ δεσποτικὴν ἐπιταγὴν, ὡς δοῦλος πιστὸς, ποιῶν, οὐ λογίζεται εἰς οἰκεῖον κατόρθωμα. Ἤκουσε γὰρ τοῦ δεσπότου λέγοντος· Ὅταν πάντα ποιήσητε, λέγετε· Ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(α). » Ποῖον οὖν καύχημα, τὸ κατὰ χρέος γινόμενον; *Ἀνάγκη γάρ μοι ἐπίκειται.*] Ἐπειδὴ ὁ Χριστὸς ἐνετείλατο (1). *Οὐαὶ δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι.*] Παραβαίνω γὰρ τὰς ἐντολὰς τοῦ Κυρίου. *Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω.*] Ποῖον; Τὸ ἀδάπανον τιθέναι τὸ εὐαγγέλιον. *Μισθὸν ἔχω.*] Ὅτι, καὶ τοῦ Κυρίου λαμβάνειν ἐπιτρέψαντος, οὐκ εἴληφα.—Η ΟΥΤΩΣ. Εἰ γὰρ τὸ κηρύσσειν τὸ εὐαγγέλιον τῆς ἐμῆς ἦν ὅλως φιλοτιμίας, καὶ οὐδεμία μοι ἀνάγκη ἐκ τῆς δεσποτικῆς ἐντολῆς ἐπέκειτο, εἰκότως ἐπὶ τούτῳ μισθὸν μέγαν ἤλπιζον, καὶ ἐξῆν μοι, ὡς ἐπὶ ἰδίῳ κατορθώματι, καυχᾶσθαι· εἰ δὲ ὡς διακονίαν καταπιστευθεὶς, καὶ ἀνάγκην ἔχων ὑπηρετεῖν, τοῦτο πράσσω, οὐκέτι ὅμοιος ὁ μισθὸς ἔπεται, οὐδ' ἐστὶν ἐπὶ τούτῳ καυχᾶσθαι. Ἐπὶ τίνι οὖν ἐστὶ λαμπρὸς ὁ μισθὸς καὶ τὸ καύχημα; Ἐφ' ᾧ κηρύσσειν μὲν, ὡς προσετάγην, τὸ εὐαγγέλιον, μηδὲν δὲ ἐκ τοῦ κηρύγματος, μηδ' ὅσον ἀποζῆν, λαμβάνειν· ἀλλ' ἀδαπάνως καὶ δωρεὰν ὑπηρετεῖν τῇ διακονίᾳ.—*Εἰ δὲ ἄκων.*] Ἄκων δὲ λέγει· ὅτι οὐκ αὐτοῦ ἔργον, οὐδὲ φιλοτιμία τὸ πρᾶγμα· ἀλλὰ τοῦ Χριστοῦ ἐπιταγή. Ὅρα δὲ, ὅτι οὐκ εἶπεν, Οὐκ ἔχω μισθὸν, ὡς ἄνω· ἀλλ', *Οἰκονομίαν πεπίστευμαι*, δεικνὺς, ὅτι καὶ τοῦτο μισθὸν ἔχει, ἀλλ' οὐχ οἷον ἐκεῖνο, τὸ ἀδαπάνως κηρύξαι.—Η ΟΥΤΩΣ. *Εἰ μὲν ἑκὼν τοῦτο πράσσω*, τὸ ἀδάπανον τιθέναι τὸ εὐαγγέλιον, *μισθὸν ἔχω· εἰ δὲ ἄκων*, οὐδὲ οὕτω σφάλλομαι. Τί δή ποτε; Οἰκονομίαν γὰρ πεπίστευμαι· τοὺς δὲ τοιαύτην οἰκονομίαν πεπιστευμένους, ἔξεστι λαμβάνειν· ὁ γὰρ Κύριος προσέταξε τοῖς τὸ εὐαγγέλιον κηρύσσουσιν, ἐξ αὐτοῦ ἐσθίειν. Τοῦ δὲ, *ἑκὼν*, καὶ, *ἄκων*, αὕτη ἡ διαφορά· *ἑκὼν* μὲν, ἔνθα καὶ λογισμὸς συνευδοκεῖ, ἀβαρῶς φέρων καὶ χαίρων ἐπὶ τῷ γινομένῳ· *ἄκων* δὲ,

(α) Λουκ. ΙΖ', 10.

(1) «Τὸ, ἀνάγκη μοι ἐπίκειται, οὐ πρὸς ἀναίρεσιν τοῦ αὐτεξουσίου· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς ἐλευθερίας τῆς ἐν τῷ λαμβάνειν εἰρηται, καὶ διὰ τὸν φόβον τῆς ἐπὶ τῷ μὴ ποιῆσαι κολάσεως.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔνθα μετὰ βίας καὶ ἀνάγκης τοῦ λογισμοῦ τοῦτο πράσσει. — *Τίς οὖν μοί ἐστιν ὁ μισθός;*] Ἐπειδὴ ἀσαφῶς εἴρηκεν, ἑαυτὸν ἑρμηνεύει, ποῖον αὐτῷ τὸ καύχημα. *Εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου.*] *Ἐξουσίαν* λέγει πανταχοῦ τὸ πρᾶγμα, δεικνὺς, ὅτι οὐδὲ οἱ λαμβάνοντες σφάλλονται· ἐξουσίαν γὰρ ἔχουσι τοῦ λαβεῖν. Ὅρα δὲ τὴν ἀκρίβειαν αὐτοῦ! *Κατάχρησιν* καλεῖ, τὴν ὅλως χρῆσιν, οἷον τὸ ὅλως λαβεῖν· καὶ τὸ ἄλλοις ἀληθῶς ἀναμάρτητον, ἡγεῖται αὐτὸς ἑαυτῷ ἐπιβλαβὲς, οὐχ ὡς βλαβερὸν, ἀλλ' ἑαυτὸν ἀκριβάζων. *Ἐν τῷ εὐαγγελίῳ δὲ* προσέθηκε, δεικνὺς, τὸν διδάσκοντα ὀφείλειν λαμβάνειν, τὸν καὶ ποιοῦντα, οὐ μὴν δὲ καὶ τὸν ἀργοῦντα.

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν
20 ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Καὶ ἐγε-
νόμην τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους
κερδήσω· τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς
21 ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις, ὡς ἄνομος, (μὴ
ὢν ἄνομος θεῷ, ἀλλ' ἔννομος Χριστῷ,) ἵνα κερδή-
22 σω ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν, ὡς ἀσθενὴς,
ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ
23 πάντα, ἵνα πάντως τινὰς σώσω. Τοῦτο δὲ ποιῶ
διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι.

Τὸ πλέον λέγει· ὅτι οὐ μόνον οὐκ ἔλαβον, καίτοι ἐξουσίαν ἔχων· ἀλλὰ καὶ *ἐλεύθερος ὤν*, καὶ μηδενὶ ὑποκείμενος, οὐδὲ ἀνάγκην ἔχων, ἑκὼν *ἐμαυτὸν ἐδούλωσα πᾶσιν*, ἵνα σώσω πολλούς. Τοῦτο δηλοῖ τὸ, *τοὺς πλείονας*. *Ἵνα τοὺς πλείονας κερδήσω.*] Εἶδες ἀγάπην; Κέρδος ἴδιον ἡγεῖται τὴν ἑτέρων σωτηρίαν. *Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος.*] Λοιπὸν λέγει τοὺς τρόπους τῆς δουλείας. Οὐκ εἶπε δὲ, *Ἰουδαῖος ἐγενόμην*, ἀλλ', ὡς *Ἰουδαῖος*, ἵνα δείξῃ, ὅτι οἰκονομία ἦν τὸ γινόμενον. Πότε δὲ γέγονεν ὡς Ἰουδαῖος; Ὅτε περιέτεμε τὸν Τιμόθεον (α)· ὅτε ἁγνισάμενος εἰσῆλθεν εἰς τὸ

(α) Πραξ. ΙΣ, 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἱερὸν μετὰ τῶν ἐχόντων τὴν εὐχήν (α). Ἵνα γὰρ τοὺς ὄντας ἀληθεῖς Ἰουδαίους μεταστήσῃ, ἐγένετο ὡς Ἰουδαῖος. Πῶς; Ὅτι, εἰ μὴ περιέτεμε, μηδὲ ἡγνίσθη, καὶ ἐν τούτῳ ἔπεισεν Ἰουδαίους, ὅτι ἔχεται τοῦ νόμου, οὐκ ἂν προσῆλθον αὐτῷ, καὶ, ὡς ἀποστάτῃ, οὐδὲ λόγων ἐκοινώνησαν. Πῶς δὲ ἦν σῶσαι τοὺς μηδὲ προσιόντας, μηδὲ ἀκούοντας τῆς αὐτοῦ διδαχῆς, ἀλλ' ὡς βδέλυγμα αὐτὸν ἡγουμένους; — ΑΛΛΩΣ. Ἐγένετο τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ὅτε ἐν τῷ ἱερῷ ἡγνίσατο καὶ ἔθυσε, καὶ περιτεμὼν τὸν Τιμόθεον, Ἰουδαίοις πέπομφε διδάσκαλον, διὰ περιτομῆς τὴν περιτομὴν ἀναιρῶν. Διὸ οὐκ εἶπεν, *Ἰουδαῖος*, ἀλλ', *ὡς Ἰουδαῖος* (Ἰσιδώρου).—ΑΛΛΩΣ. *Ἰουδαίους*, οἶμαι, τοὺς μηδέπω πεπιστευκότας καλεῖ· *ὑπὸ νόμον* δὲ, τοὺς τὸ εὐαγγέλιον μὲν δεξαμένους, ἔτι δὲ τῇ τοῦ νόμου φυλακῇ προσδεδεμένους. Καὶ διὰ τούτους γάρτοι καὶ δι' ἐκείνους, καὶ τῆς νομικῆς καθάρσεως ἐν Ἱεροσολύμοις ἠνέσχετο, καὶ ἐν τῇ Λυκαονίᾳ τὸν Τιμόθεον περιέτεμε, καὶ ἄλλα μυρία παραπλήσια ᾠκονόμησε (Θεοδωρήτου.) — *Τοῖς ὑπὸ νόμον.*] *Ὑπὸ νόμον* λέγει, τοὺς προσηλύτους, ἢ τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας μὲν, ἔτι δὲ καὶ τοῦ νόμου ἐχομένους. Πότε δὲ γέγονεν *ὡς ὑπὸ νόμον*; Ὅτε εἶπον αὐτῷ οἱ ἀμφὶ τὸν Ἰάκωβον· «Ὁρᾷς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν οἱ πιστεύσαντες; καὶ πάντες εἰσὶ ζηλωταὶ τοῦ νόμου (β)· » τότε ἡγνίσθη δι' αὐτούς. Ὅρα δὲ πανταχοῦ τὸ, ὡς, προσκείμενον, ἵνα δείξῃ, ὅτι οἰκονομικῶς ταῦτα ἐποίει, ἵνα τοὺς ἀληθῶς ταῦτα ποιοῦντας διορθώσηται. *Τοῖς ἀνόμοις, ὡς ἄνομος.*] Ὅτε Ἀθηναίοις δημηγορῶν, οὐκ ἀπὸ προφητῶν, οὐδὲ ἀπὸ τοῦ νόμου διελέχθη, ἀλλ' ἀπὸ τοῦ βωμοῦ τὴν παραίνεσιν ἐποιήσατο, ἀπὸ τῶν οἰκείων αὐτοὺς δογμάτων χειρούμενος· ὅτε εὗρεν ἐν τῷ βωμῷ καὶ ὅτις εἴη ὁ *ἄγνωστος θεός* (γ). Διὸ οὐκ εἶπεν, *ἄνομος*, ἀλλ', *ὡς ἄνομος*. Τὸ δὲ, *Μὴ ὢν*

(α) Πραξ. ΚΑ', 26. (β) Πραξ. ΚΑ', 20.
(γ) Πραξ. ΙΖ', 16—23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνομος θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἢ ὡς ἀδιάφορον εἶπεν· (ἐπὶ γὰρ μιᾶς οὐσίας οὐκ ἔστι διαφορά·) ἢ, εἰ τοῦτο βεβιασμένον ἡγῇ, οἶμαι τοῦτο μηνύειν, τὸ μὴ μόνον κατὰ νόμον πεπολιτεῦσθαι, τὸν τῷ πατρὶ παρά τινων ἐπιγραφόμενον, καὶ διὰ τὴν ἕξιν τῶν μανθανόντων, οὐ διὰ τὴν ἀξίαν τοῦ δεδωκότος, νηπίοις μᾶλλον ἁρμόζοντα· ἀλλὰ καὶ κατὰ τὸν τοῦ Χριστοῦ οὐράνιον καὶ τέλειον νόμον. Οὐκ ἄνομος, κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ καὶ ἔννομος κατὰ τὸ εὐαγγέλιον· οὐκ ἔξω τοῦ νόμου, ἀλλὰ καὶ εἴσω τῆς χάριτος· οὐκ ἐμοίχευσα διὰ τὸν νόμον· ἀλλ' οὐδὲ εἶδον ἀκολάστως διὰ τὸ εὐαγγέλιον· οὐκ ἐφόνευσα διὰ τὸν φόβον· ἀλλὰ καὶ ὀργῆς ἐκράτησα διὰ τὸν πόθον (α). Ὁ μὲν γὰρ τὸν παλαιὸν φυλάξας νόμον, οὐκ ἦν ἄνομος θεῷ· ὁ δὲ τὸν νέον, ἔστι καὶ ἔννομος Χριστῷ. Ταῦτα δέ φησιν, οὐκ ἀποκληρῶν τῷ πατρὶ μὲν τὸν νόμον, τῷ υἱῷ δὲ τὸ εὐαγγέλιον· ἀλλὰ πρὸς τὴν τῶν πολλῶν ὑπόνοιαν καὶ δόξαν ἀφορῶν. Πάντα γὰρ τὰ τοῦ πατρὸς, τοῦ υἱοῦ ἐστί, καὶ τὰ τοῦ υἱοῦ, τοῦ πατρός (β). — ΑΛΛΩΣ. *Τοῖς ἀνόμοις, ὡς ἄνομος.*] *Ἀνόμους* λέγει, τοὺς μὴ ὄντας ὑπὸ τὸν τοῦ Μωσέως νόμον, τοὺς ἐξ ἐθνῶν, οἷς καὶ αὐτὸς ἐπιφοιτῶν, συγκατέβαινε τῇ ἀσθενείᾳ αὐτῶν, καὶ πολλὰ τῶν μεγάλων δογμάτων οὐκ ἐξέφαινεν, εἰδὼς αὐτοὺς μὴ βαστάζοντας. Οὕτως οὖν, φησὶν, ἐγενόμην πρὸς αὐτοὺς, ὡς μὴ ὢν ὑπὸ τοὺς νόμους τοῦ Χριστοῦ. Ἡνίκα γὰρ πρὸς Ἀθηναίους ἐδημηγόρει, οὐ τρανῶς ὡς περὶ θεοῦ διελέχθη περὶ τοῦ Χριστοῦ, ἀλλ' ὡς περὶ ἀνθρώπου ψιλοῦ· οὐδὲ γὰρ ἐχώρουν τοιοῦτόν τι ἀκούειν· ὑπενόησαν γὰρ ἂν αὐτὸν ἕνα τῶν παρὰ σφίσι τεθεοποιημένων· οἷος ὁ Ἡρακλῆς, ὁ Ἀσκληπιὸς, καὶ οἱ λοιποί.—*Μὴ ὢν ἄνομος θεῷ.*] Ἵνα μὴ νομίσῃς, μεταβολὴν γνώμης γεγονέναι, ἐπάγει· *Μὴ ὢν ἄνομος θεῷ*· τουτέστι, μὴ ὢν ἔξω τῶν νόμων τοῦ θεοῦ· *ἀλλ' ἔννομος*· τουτέστιν, ἔννομος ὑπάρχων Χριστοῦ. Σημειωτέον δὲ τὸ ῥητὸν,

(α) Ματθ. Ε', 21. 27. 28. (β) Ἰων, ΙΔ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐκ εἰμὶ ἄνομος θεῷ, ἀλλ' ἔννομος· καὶ ἀντὶ τοῦ εἰπεῖν, *θεῷ·* (τοῦτο γὰρ ἡ ἀκολουθία·) εἶπε, *Χριστῷ.* Ἄρα Θεὸς ὁ Χριστός. *Τοῖς ἀσθενέσιν, ὡς ἀσθενής.*] Καὶ οὐδὲ μέχρι τούτων ἔστην, φησίν· ἀλλὰ καὶ τοῖς ἀσθενέσι περὶ τὴν πίστιν, ὡσαύτως ἀσθενὴς γέγονα. Πῶς γὰρ οὐκ ἦν οὕτως, ὅτε, δημηγορῶν, οὐ τρανῶς, ὡς περὶ θεοῦ, τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐμνημόνευεν; Καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ὅτε τοὺς διακρινομένους φαγεῖν κρέα, διὰ τὴν ἐνίων κρεῶν παρατήρησιν, τούτων τῇ ἀσθενείᾳ συγκαταβαίνων, οὔτε αὐτὸς τούτοις ἐπετίμα, καὶ τοὺς ἄλλους ὄχλησιν αὐτοῖς ἐπάγειν ἐκώλυε (α). *Τοῖς πᾶσι γέγονα τὰ πάντα.*] Καὶ συντόμως εἰπεῖν, *τοῖς πᾶσι γέγονα* ὃ ἦσαν, καίτοιγε οὐ πάντας σώζειν προσδοκῶν· (ἦ γὰρ ἂν οὐκ ἦν οὕτως θαυμαστόν·) ἀλλ' ἵνα καὶ ὀλίγους σώσω. Τὸ δὲ, *πάντως,* καὶ πρὸς προτροπὴν κεῖται τῶν κηρυσσόντων. Ὥσπερ γάρ, φησι, πάντας σωθῆναι δυσχερές, οὕτω καὶ τὸ μὴ πάντας σωθῆναι (1). *Τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον.*] *Εὐαγγέλιον* λέγει τοὺς πιστοὺς, τοὺς διὰ τοῦ εὐαγγελίου σωζομένους, ὡς καὶ ἄνω ἔλεγεν· *Ἐκ τοῦ εὐαγγελίου ζῇν,* τουτέστιν, ἐκ τῶν αὐτῷ πεπιστευκότων. *Τοῦτο δὲ ποιῶ* διὰ τοὺς ἐκ τοῦ εὐαγγελίου πιστεύσαντας. Ἵνα οὖν δυνηθῶ, φησὶ, κοινωνῆσαι τοῖς πιστοῖς τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν, πάντα ἐποίησα καὶ ποιῶ. Ὅρα δὲ ταπεινοφροσύνης ὑπερβολήν! Ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπειδὴ ἐπὶ μισθῷ τινι ταῦτα ἔπραττεν, ἀλλ' ἵνα ἐκείνους πείσῃ, πάντα ποιεῖν ὑπὲρ τῆς τῶν ἀδελφῶν οἰκοδομῆς, ὡς καὶ αὐτὸς ἐποίει.

24 Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες
μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; Οὕτω
25 τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος,
πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν

(α) Ῥωμ. ΙΔ'. ΙΕ'. 1. (1) «Τὸ δὲ, πάντως, προσέθηκε, παραμυθούμενος τοὺς διδάσκοντας. Κἂν γὰρ μὴ τοὺς πάντας διασώσῃ τις, πάντως γε ὀλίγους διασώσῃ. Οὐκοῦν οὐκ ὀφείλει ἀπογνῶναι.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 στέφανον λάβωσιν· ἡμεῖς δὲ, ἄφθαρτον. Ἐγὼ τοί-
νυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω,
27 ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα
καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς
ἀδόκιμος γένωμαι.

Μετὰ τὸ δεῖξαι, δεῖν συγκαταβαίνειν τοῖς ἀσθενέσι, δι' ὧν εἶπεν, Ἐγενόμην ὡς Ἰουδαῖος, ὡς ἄνομος, ὡς ἀσθενὴς, ἵνα τοὺς ἐν ἀληθείᾳ ὄντας οὕτω σώσω, λοιπὸν πληκτικώτερον αὐτοῖς διαλέγεται. Τὸ δὲ παράδειγμα τοῦτο εἶπεν, οὐ δεῖξαι θέλων, ὅτι ἐκ πάντων εἰς σωθήσεται, ἄπαγε! ἀλλὰ δεικνὺς, ὅτι οὐκ ἀρκεῖ πιστεῦσαι μόνον εἰς σωτηρίαν, ὥσπερ οὐδὲ ἐκείνοις τὸ δραμεῖν ἁπλῶς· ἀλλὰ χρὴ σπουδάζειν μέχρις αὐτοῦ τοῦ βραβείου, ἤγουν, τοῦ στεφάνου. Εἰ γὰρ καὶ γνῶσιν ἔχετέ, φησι, τῆς πίστεως, εἰ μὴ μετὰ τῆς τῶν ἀδελφῶν ἀγάπης ἔχετε ταύτην, οὐδὲν ὠφεληθήσεσθε. Τοῦτον γὰρ τὸν λόγον καὶ ἄνω ἐγύμνασεν. *Οὕτω τρέχετε, ἵνα καταλάβητε.*] Οὐκ ἄρα κατειληφότες ἦσαν. *Πᾶς δὲ ὁ ἀγωνιζόμενος.*] Διδάσκει καὶ τὸν τρόπον, πῶς ἄν τις καταλάβοι. *Πάντα ἐγκρατεύεται.*] Τουτέστιν, Οὐχὶ τοῦδε μὲν ἀντέχεται, τοῦδε δὲ οὔ. Τοῦτο γὰρ τὸ ὄντως ἀγωνίσασθαι, τὸ πασῶν τῶν ἀρετῶν καὶ ἐντολῶν φύλαξ γενέσθαι, καὶ ἀπέχεσθαι πάντων τῶν πονηρῶν καὶ ἐναντίων. Οὗτος γὰρ ἀληθὴς ἀγωνιστής. *Ἵνα φθαρτὸν στέφανον λάβωσιν.*] Ἐκ τῆς εἰς τὸ ἔλαττον συγκρίσεως αὔξει τὸ πρᾶγμα. Εἰ οἱ ἀγωνιζόμενοι, φησὶν, ἐν τῷ σταδίῳ, πάντα ἐγκρατεύονται, ἵνα μὴ τὴν ἰσχὺν ἐκλύσωσι, φθαρτοῦ ἐφιέμενοι στεφάνου, πῶς ἡμεῖς οἱ ἄφθαρτον προσδοκῶντες, οὐκ ἂν μᾶλλον ἐγκρατευσώμεθα ἐκ πάντων τῶν βλαπτόντων; *Ἐγὼ τοίνυν.*] Λοιπὸν ἑαυτὸν εἰς μέσον φέρει· καὶ οὗτος ἄριστος τρόπος διδασκαλίας, ἐξ ἑαυτοῦ εὑρεῖν τὰ παραδείγματα. Ἐγὼ τοιγαροῦν μετὰ γνώσεως τρέχω, *οὐχὶ ἀδήλως*, τουτέστιν, οὐκ εἰκῇ καὶ μάτην, καὶ πρὸς οὐδένα σκοπὸν, ὡς ὑμεῖς, οἱ μάτην τρέχοντες. Τί γὰρ ὑμῖν ὄφελος ἐκ τοῦ τελειότητα δῆθεν ἐπιδείκνυσθαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῷ τὰ εἰδωλόθυτα ἐσθίειν, ἤ τις σου τελειότης, φησί, βλάπτει τὸν ἀδελφόν; Ἀλλ' οὐκ ἐγὼ οὕτως· ἀλλ' ἐν καιρῷ καὶ συγκαταβάσει κέχρημαι, ἵνα πάντως τινὰς σώσω. *Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.*] Οὕτω πυκτεύω καὶ ἀγωνίζομαι, οὐχ ἵνα δέρω ἀέρα· ἔχω γάρ τινα δείρω, τὸν διάβολον· ὑμεῖς δὲ τῇ πίστει τρέχοντες, καὶ ταῖς πληγαῖς πυκτεύοντες, εἰς οὐδὲν δέον κέχρησθε. *Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα.*] Οὐκ ἀφίημι, φησί, τῇ γαστρὶ καὶ τῷ σώματι τὰς ἡνίας· ἀλλὰ περισφίγγω αὐτὸ καὶ ὑποτάσσω· τοῦτο γὰρ λέγει τὸ, Ὑπωπιάζω καὶ δουλαγωγῶ, τουτέστι, δαμάζω, καὶ ὡς δοῦλον ἄγω (1). Οὐ γὰρ συμβάλλεταί μοι, φησί, τὸ κηρύξαι μόνον, ἂν μὴ καὶ τὰ παρ' ἐμαυτοῦ παράσχωμαι. Ταῦτα δὲ λέγων, αἰνίττεται αὐτοὺς καὶ γαστριμάργους, καὶ ὅτι οὐκ ἀρκεῖ ὑμῖν τὸ πιστεῦσαι μόνον, ὥσπερ οὐδὲ ἐμοὶ τὸ κηρύξαι, ἐὰν μὴ ἐγὼ καὶ ὑμεῖς καὶ τὸ σῶμα καὶ τὰς ἐπιθυμίας αὐτοῦ δουλώσωμεν.

ΚΕΦ. Χ, 1 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν (α), 2 καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον (β)· καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ 3 καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες τὸ αὐτὸ βρῶμα 4 πνευματικὸν ἔφαγον (γ)· καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον (δ)· (ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός·)

Καταλέγει λοιπόν, πόσων ἠξιώθησαν οἱ Ἰουδαῖοι ἀπὸ θεοῦ δωρεῶν· καὶ δείκνυσι μετὰ τὰς δωρεὰς ταύτας τοὺς πολλοὺς μὴ ἀρέσαντας θεῷ. Ταῦτα δέ φησι, πείθων, ὅτι, ὥσπερ ἐκεί-

(1) « Ὑπωπιάζω, τουτέστι, πυκτεύω πρὸς τὸ σῶμα. Ὑπώπια γὰρ λέγονται τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς τραύματα, ἃ ἐν τῷ πυκτεύειν ἐγίνοντο. » Θεοφύλακτος. « Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, τουτέστι, πρὸς ἄσκησιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω, καὶ πρὸς τὴν τῶν κρειττόνων συνέργειαν, οὐ πρὸς ἀσέλγειαν ὑπονοοῦμαι. » Σουΐδας.

(α) Ἀριθ. Θ', 15—23. Ἐξοδ. ΙΓ', 21. 22. (β) Ἐξοδ. ΙΔ'.
(γ) Ἐξοδ. ΙϚ'. (δ) Ἐξοδ. ΙΖ', 6. Ἀριθ. Κ', 8—12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νους οὐκ ὤνησε τὸ τοσούτων ἀπολαῦσαι δωρεῶν, ἐπειδὴ τὰ παρ' ἑαυτῶν οὐ παρέσχοντο· οὕτως οὐδὲ ὑμᾶς ὠφελήσει ἡ πίστις καὶ τὸ μυστηρίων ἀξιωθῆναι πνευματικῶν, εἰ μὴ καὶ ἀξίους ἑαυτοὺς παράσχοιτε τῆς τοῦ θεοῦ χάριτος. *Ὅτι οἱ πατέρες ἡμῶν πάντες.*] Ἐν τούτοις, ἀπὸ τῆς παραθέσεως τῶν παλαιῶν παιδεῦσαι αὐτοὺς βούλεται τὰ προσήκοντα, δεικνὺς κἀκείνους, καθάπερ ἔν τινι τύπῳ, τῶν ἴσων ἀξιωθέντας. Οὕτω γὰρ, καταλλήλου φαινομένου τοῦ παραδείγματος, εὑρίσκετο δικαίως αὐτοῖς παραινῶν, μὴ τὰ ὅμοια πλημμελεῖν, ἵνα μὴ τὰ ὅμοια πείσωνται. Τὸ μὲν οὖν *ὑπὸ τὴν νεφέλην* αὐτοὺς γενέσθαι, δήλωσις ἦν τῆς τοῦ πνεύματος χάριτος. Ἐκείνους τε γὰρ ἡ νεφέλη σκιάζουσα, τῆς τῶν Αἰγυπτίων βλάβης ἀπήλλατε· καὶ ἡμᾶς ἡ χάρις τοῦ ἁγίου πνεύματος, τῆς δαιμονικῆς ἐξαίρει κακίας. Τὸ δὲ *διὰ τῆς θαλάσσης* αὐτοὺς διελθεῖν, ἔοικε κατὰ τοῦτο τοῖς ἡμετέροις· ὅπερ γὰρ ἐκείνοις ἡ διὰ τῆς θαλάσσης παρέσχε διάβασις, τῶν μὲν πολεμίων αὐτοὺς παντελῶς ἀπαλλάξασα, βεβαίαν δὲ τοῦ λοιποῦ τὴν ἐλευθερίαν δωρησαμένη, τοῦτο ἡμῖν πρὸς τοὺς ἡμετέρους ἐχθροὺς, τοὺς δαίμονας, τὸ βάπτισμα γέγονε. Τὸ δὲ, *Εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ*, σημαίνει, ὅτι, καθάπερ ἐκεῖνοι, τούτων τυχόντες, ὑπέσχοντο τοῖς Μωσαϊκοῖς νόμοις βιοῦν· οὕτω καὶ ἡμεῖς ἐν τῷ βαπτίσματι, τὸ τῆς υἱοθεσίας κομιζόμενοι πνεῦμα, συνθήκας καὶ ὁμολογίας τιθέμεθα τοῦ κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ ζῆν, ὥσπερ καὶ οἱ Ἰουδαῖοι εἶπον πρὸς τὸν Μωϋσῆν· ὅτι, Εἴ τι ἡμῖν ὁ θεὸς εἴπῃ, ποιήσομεν μετὰ τὴν διάβασιν τῆς Ἐρυθρᾶς (α). — *Ὑπὸ τὴν νεφέλην ἦσαν.*] Λέγει γὰρ ὁ Δαυΐδ· « Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοὺς τὴν νύκτα (β).» *Εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο.*] Τουτέστι, τῷ Μωϋσεῖ ἐκοινώνησαν ἐν τῷ βαπτισμῷ. Ἐπειδὴ γὰρ τὸ βάπτισμα κοινωνεῖν ἡμᾶς ποιεῖ τῷ θανάτῳ τοῦ Χριστοῦ, τὸ τῶν αὐτῶν,

(α) Ἔξοδ. ΚΔ', 3—7. (β) Ψαλμ. ΡΑ', 39.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧν εἶπον, θαυμάτων κοινωνῆσαι τοὺς Ἰουδαίους, βάπτισμα καλεῖ. Βούλεται γὰρ τὸν τύπον ἐγγὺς ἀγαγεῖν τῆς ἀληθείας· διὸ καὶ τῷ αὐτῷ ῥήματι ἐχρήσατο, τὴν διὰ τῆς θαλάσσης δίοδον βάπτισμα προσειπών.—Ἐβάπτισε Μωϋσῆς, καὶ πρὸ τούτου ἐν νεφέλῃ καὶ ἐν θαλάσσῃ· τύπος δὲ τοῦτο ἦν, ὡς καὶ Παύλῳ δοκεῖ, ἡ θάλασσα, τοῦ ὕδατος, ἡ νεφέλη, τοῦ πνεύματος, τὸ μάννα, τοῦ τῆς ζωῆς ἄρτου, τὸ πόμα, τοῦ θείου πόματος. (Γρηγορίου τοῦ θεολόγου).—Εἰς ἐκεῖνον, φησὶν, ἀφορῶντες καὶ θαρρήσαντες, ἀφῆκαν ἑαυτοὺς τῷ θαλασσίῳ ῥείθρῳ βαπτίζεσθαι. Εἶτα καὶ ὑπὸ τῆς νεφέλης, ὡσαύτως ἐκείνῳ κατακολουθοῦντες, ἐσκιάζοντο. Εἰ γὰρ καὶ μὴ τῷ ὕδατι ἐκαλύφθησαν, ἀλλ' οὖν ἐν ἐκείνῳ τῷ χώρῳ τοῦ ὕδατος γεγονότες ἐπορεύοντο, ἐν ᾧ ἀνάγκη τοὺς διαπορευομένους ὅλῳ καταβαπτίζεσθαι τῷ ὕδατι, κατὰ φύσιν ἔχοντος τοῦ ὕδατος (Φωτίου).—*Εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντό*, φησιν· ἐπειδὴ αὐτὸν ἰδόντες πρῶτον εἰσβαλόντα μετὰ τὴν διαίρεσιν τῆς θαλάσσης, ἐμιμήσαντο καὶ αὐτοί. Οὕτως οὖν ὥσπερ πρωτοστάτης αὐτοῖς τούτου γέγονε Μωϋσῆς. —*Ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ.*] Καὶ γὰρ συνεσκιάζοντο τῷ Μωϋσεῖ ὑπὸ τῆς νεφέλης, καὶ συνεπέζευον Μωϋσεῖ, διαιρεθείσης τῆς θαλάσσης. *Τὸ αὐτὸ βρῶμα πνευματικόν.*] *Πνευματικὸν* καλεῖ καὶ τὸ βρῶμα καὶ τὸ πόμα, ὡς ἂν τοῦ πνεύματος ἄμφω διὰ τοῦ Μωσέως κατὰ τὴν ἀπόῤῥητον αὐτοῦ δύναμιν παρασχόντος. Λέγει δὲ περὶ τοῦ μάννα καὶ τῶν κρεῶν, καὶ περὶ τοῦ ὕδατος. *Ἔφαγον.*] Οἷον, τὸ μάννα, ὥσπερ ἡμεῖς τὸ σῶμα τοῦ Χριστοῦ. *Πόμα πνευματικόν.*] Οἷον, τὸ ἐκ τῆς ἀκροτόμου πέτρας ἀναβλύσαν ὕδωρ, ὥσπερ ἡμεῖς τὸ αἷμα τοῦ Χριστοῦ. Εἰ γὰρ καὶ αἰσθητὰ ἐκείνοις ἦν τὰ γινόμενα, ἀλλὰ πνευματικῶς παρείχοντο. Οὐ γὰρ φύσεως ἦν ἀκολουθία ἡ δόσις, ἀλλὰ χάριτος πνευματικῆς (1). *Ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας.*] Αἰσθητὴ μὲν ἦν ἡ πέτρα,

(1) « Πνευματικὰ δὲ ταῦτα λέγει· ἐπειδὴ εἰ καὶ αἰσθητὰ ἦσαν, ἀλλ' οὐ φύσεως ἀκολουθίᾳ ἐγίνοντο, ἀλλὰ χάριτι πνευματικῇ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δηλονότι, ἡ τὸ ὕδωρ τοῖς Ἰσραηλίταις ἀναβλύσασα, ἀλλ' οὐχὶ τῇ οἰκείᾳ φύσει τοῦτο ἔβλυσεν, ἀλλὰ τῇ δυνάμει τῆς κατ' ἐνέργειαν παρούσης αὐτῇ πνευματικῆς πέτρας, καὶ ἀκολουθούσης τῇ χρείᾳ τῶν διψώντων, τουτέστι, πρὸς τὴν ἐκείνων σωτηρίαν καὶ ὠφέλειαν πάντα μεταποιούσης καὶ μεταπλαττούσης, καὶ συνεπομένης αὐτῶν τῷ βουλήματι· καὶ ποτὲ μὲν τὸ ὕδωρ εἰς διάβασιν αὐτοῖς, ἴσα πέτραις στερεούσης· ποτὲ δὲ τὸν οὐρανὸν, εἰς ὄμβρωσιν καὶ τροφὴν αὐτοῖς ἄφθονον γεωργούσης· ἄλλοτε δὲ τὴν πέτραν εἰς ὑδάτων γονὰς ἀναστομούσης. Διὸ εἰκότως λέγοιντ' ἂν *ἐκ πνευματικῆς πέτρας πιεῖν*· αὕτη γὰρ ἦν ἡ τὴν αἰσθητὴν ἐκείνην εἰς ὑδάτων λύσασα πηγάς. Τίς δὲ ἦν ἡ πνευματικὴ ἐκείνη πέτρα, ἡ πᾶσι τούτοις παρακολουθοῦσα, καὶ πρὸς τὴν ἑκάστου καιροῦ χρείαν τὰς φύσεις τῶν πραγμάτων μεταστοιχειοῦσα καὶ συμμεταβάλλουσα; Τίς; ἀκολούθως φησίν· Ὁ Χριστὸς δηλονότι, ὁ καὶ νῦν εἰς ἡμᾶς τὰ ὅμοια καὶ μείζω ἐπιδεικνύμενος. Ἔστι δὲ τὸ, *ἀκολουθούσης*, καὶ ἑτέρως ἐκλαβεῖν. Ἡ γὰρ νοητὴ πέτρα, ἤτοι, ὁ Χριστὸς, οὐ μόνον τὰ εἰρημένα αὐτοῖς παραδόξως ἐβράβευσεν, ἀλλὰ καὶ ἐν τοῖς ἑφεξῆς ἠκολούθει καὶ εἵπετο, παραπλήσια τούτοις καὶ μείζονα τὸν Ἰσραηλίτην εὐεργετῶν. Ἀλλὰ καὶ νῦν ἡμῖν τοῖς πιστοῖς ἀκολουθούσης· ὥστε εἶναι κατὰ συνέχειαν τῆς αὐτῆς προνοίας, καὶ τοῦ αὐτοῦ δεσπότου καὶ θεοῦ, τά τε ἐν τῇ Παλαιᾷ θαυματουργήματα καὶ τὰς εὐεργεσίας, καὶ τὰ ἐν τῇ Καινῇ. *Ἐκ πνευματικῆς.*] Ἐπειδὴ εἶπε, *πνευματικὸν* τὸ πόμα, τοῦτο δὲ οὐδὲν εἶχε παρηλλαγμένον, ὥσπερ τὸ μάννα, ἀλλ' ὕδωρ ἦν κοινόν· οὕτως ἐκ τοῦ τρόπου τῆς ἀναβλύσεως κατασκευάζει αὐτὸ πνευματικόν· οὐ γὰρ εἰκεία φύσει ἡ πέτρα αὐτὸ ἀνεδίδου· εἰ γὰρ τοῦτο ἦν, ἔδει καὶ πρὸ τούτου ἀναδιδόναι· ἀλλ' ἑτέρα τις πέτρα πνευματικὴ τὸ πᾶν ἐνήργει, ἥτις ἦν, φησὶν, ὁ Χριστός. Τὸ δὲ, *ἀκολουθούσης*, εἶπεν, ἵνα δείξῃ, ὅτι αὐτὸς ἦν παρὼν αὐτοῖς πανταχοῦ, καὶ πάντα θαυματουργῶν.

5 Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6 κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ (α). Ταῦτα δὲ
τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπι-
θυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν (β).
7 Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν·
ὡς γέγραπται· «Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν,
8 καὶ ἀνέστησαν παίζειν (γ). » Μηδὲ πορνεύωμεν, κα-
θώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ
9 ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες (δ). Μηδὲ ἐκπειράζωμεν
τὸν Χριστόν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν,
10 καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο (ε). Μηδὲ γογγύζετε,
καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο
ὑπὸ τοῦ ὀλοθρευτοῦ (ζ).

Πάντες ὧν εἶπον θαυμάτων καὶ δωρεῶν ἠξιώθησαν· ἀλλ' οὐκ ἐν πᾶσι, φησίν, ἠρέσθη, ἢ εὖ ἐβουλεύσατο ἐπ' αὐτῶν ὁ θεός· τοῦτο γὰρ τὸ, *εὐδόκησε*· καίτοι μεγάλων ἦσαν ἀξιωθέντες δωρεῶν. Ὁρᾶτε οὖν, φησί, μήπως οὐδὲ ἐφ' ὑμῶν εὖ βουλεύσεται ὁ θεός, εἰ καὶ ἠξίωσθε πολλῶν δωρεῶν, ἐὰν μὴ ἄξιον βίον παράσχητε. Πάντες οἱ Ἰουδαῖοι ἀπώλοντο. Πῶς οὖν φησίν, ὅτι *οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός*; Ἵνα μὴ δόξῃ αὐτοῖς πανωλεθρίαν προφητεύειν· ἢ διὰ τὸν Ἰησοῦν καὶ τὸν Χαλέβ, καὶ τοὺς νέους τῶν Ἰουδαίων υἱούς (η)· καὶ εἰς τὴν μοσχολατρείαν, μεσιτεύσαντος τοῦ Μωσέως, μόνον δισμύριοι καὶ τρισχίλιοι ἀπώλοντο (θ). *Κατεστρώθησαν.*] Τὸ, *κατεστρώθησαν*, τὴν αἰφνιδίαν αὐτῶν καὶ πλείστην ἀπώλειαν δηλοῖ. *Τύποι ἡμῶν ἐγενήθησαν.*] Ὥσπερ γὰρ ὁ βαπτισμὸς, καὶ τὸ βρῶμα, καὶ τὸ πόμα τύποι ἦσαν ἡμῶν, οὕτω καὶ ὁ ὅλεθρος τύπος ἦν ἡμῶν, εἰς τὸ μὴ τὰ ἴσα πράξαντας τὰ ἴσα παθεῖν. *Καθὼς κἀκεῖνοι ἐπεθύμησαν.*] Καὶ ὁ Δαυὶδ φησι· « Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ

(α) Ἀριθ. ΙΔ', 16. 29. 32. (β) Ἀριθ. ΙΑ', 4. Ψαλμ. ΟΗ', 29.
(γ) Ἐξοδ. ΑΒ', 6. (δ) Ἀριθ. ΚΕ, 1. 9. (ε) Ἀριθ. ΚΑ', 5. 6. Ἐξοδ. ΙΖ, 2. 7. (ζ) Ἀριθ. ΙΔ', 2. 37.
(η) Ἀριθ. ΙΔ', 30. 38. ΚΣ', 65. (θ) Ἐξοδ. ΑΒ'. Ψαλμ. ΡΕ, 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(α).» Καθίσαντες γὰρ οἱ Ἰουδαῖοι ἔκλαιον, καὶ εἶπον· « Τίς ψωμιεῖ ἡμᾶς κρέας; Ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικύους, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα. Νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος· οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν (ε).» *Μηδὲ εἰδωλολάτραι γίνεσθε.*] Διὰ τούτου ῥήματα πως τοὺς τὰ εἰδωλόθυτα ἐσθίοντας αἰνίττεται, δεικνὺς, ὅτι καὶ ἐκεῖνοι ἀπὸ γαστριμαργίας ἦλθον εἰς εἰδωλολατρείαν· καὶ ὑμεῖς, φησὶν, ἀπὸ γαστριμαργίας αὐτὰ μᾶλλον, ἢ ἀπὸ τελειότητος ἐσθίετε, ὥσπερ ἐκεῖνοι, χοροὺς στήσαντες περὶ τὸν μόσχον, ἔπαιζον χορεύοντες ἔμπροσθεν αὐτοῦ, καὶ ἔλεγον· « Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου (γ)». Τινὲς δὲ τὸ, *παίζειν*, ἀντὶ τοῦ, εἰδωλολατρεῖν, ἐνόησαν. *Μηδὲ πορνεύωμεν.*] Πάλιν εἶπεν ἁμαρτίαν ἄλλην, ἀπὸ γαστριμαργίας τικτομένην. Γέγραπται γὰρ ἐν βίβλῳ Ἀριθμῶν· « Καὶ κατέλυσεν Ἰσραὴλ ἐν Σαττείμ· καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας Μωάβ· καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων αὐτῶν. Καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν, καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν· καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγώρ· καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ. Καὶ εἶπε Κύριος τῷ Μωϋσῇ· Λάβε πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παραδειγμάτισον αὐτοὺς τῷ Κυρίῳ ἀπέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ἡ ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ. Καὶ εἶπε Μωϋσῆς ταῖς φυλαῖς Ἰσραήλ· Ἀποκτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ (δ)». Τότε καὶ ὁ Φινεὲς, υἱὸς Ἐλεάζαρ, συνεξεκέντησε τῷ Ζαμβρῇ, καὶ τῇ γυναικὶ Χάσβῃ. Καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ πληγῇ εἰκοσιτρεῖς χιλιάδες. Τινὲς δὲ τῶν ἀντιγραψάντων τὸ παλαιὸν, *εἰκοσιτέσσαρας* ἔθεσαν. *Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν.*] Αἰνίττεται αὐτοὺς, ὅτι σημεῖα ἐπεζήτουν, πειράζοντες τὸν

(α) Ψαλμ. ΡΕ', 14.
(γ) Ἔξοδ. ΛΒ', 4.
(ε) Ἀριθ. ΙΑ', 4—6.
(δ) Ἀριθ. ΚΕ', 1—5. Ψαλμ. ΡΕ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστὸν, καθὼς καὶ οἱ Ἰουδαῖοι εἰς Ὤρ τὸ ὄρος. Κυκλώσαντες γὰρ τὴν γῆν Ἐδὼμ, κατελάλησαν κατὰ τοῦ θεοῦ καὶ κατὰ Μωϋσῆ, λέγοντες· «Ἵνατί ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου, ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ, ἔνθα οὐκ ἔστιν ἄρτος οὐδὲ ὕδωρ; ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισεν ἐν τῷ ἄρτῳ τῷ διακένῳ. Καὶ ἀπέστειλε Κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαόν· καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραὴλ (α)». *Μηδὲ γογγύζετε.*] Αἰνίττεται δὲ αὐτοὺς καὶ διὰ τούτου, ὅτι ἐν τοῖς πειρασμοῖς οὐ γενναίως ἔφερον, ἀλλὰ μετὰ γογγυσμοῦ, λέγοντες, Πότε ἥξει τὰ ἀγαθά; καὶ ἕως πότε αἱ κακώσεις; Οὐ γὰρ τὸ παθεῖν ὑπὲρ Χριστοῦ μόνον μέγα, ἀλλὰ καὶ τὸ εὐχαρίστως παθεῖν, ὡς ὁ Ἰώβ. Ἐγόγγυσαν καὶ Ἰουδαῖοι εἰς Μερρὰν διὰ ὕδωρ· πικρὸν γὰρ ἦν (β). Πάλιν ἐγόγγυσαν, οὐκ ὄντος ὕδατος, ὅτε Μωϋσῆς καὶ Ἀαρὼν ἐκελεύσθησαν ἐξαγαγεῖν ὕδωρ ἐκ πέτρας, καὶ πατάξας αὐτὴν ὁ Μωϋσῆς, εἶπε· Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξαγάγωμεν ὑμῖν ὕδωρ (γ); Πάλιν ἐγόγγυσαν, ὅτε ἐπέμφθησάν τινες ἐκ τοῦ λαοῦ κατασκέψασθαι τὴν γῆν Χαναάν. Πάλιν ἐγόγγυσαν, ὅτε ἐκέλευσε Μωϋσῆς τῷ λαῷ ποιῆσαι σάλπιγγας ἀργυρᾶς, ὥστε δι' αὐτῶν σημαίνειν. Καὶ ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν, ἐγόγγυζεν ὁ λαὸς, καὶ εὐθὺς κατεκάη μέρος τῆς παρεμβολῆς, καὶ ἐκλήθη ὁ τόπος *ἐμπυρισμὸς*· καὶ πῦξατο Μωϋσῆς, καὶ ἐπαύσατο ἡ τιμωρία (δ), ἣν καὶ λέγει ὁ μέγας Παῦλος *ὀλεθρον*, τουτέστι, δύναμίν τινα τιμωρόν.

11 Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις· ἐγράφη
δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν
12 αἰώνων κατήντησεν. Ὥστε ὁ δοκῶν ἑστάναι, βλε-
13 πέτω, μὴ πέσῃ. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ
μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει
ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει

(α) Ἀριθ. ΚΑ', 5—7. (β) Ἔξοδ. ΙΕ', 23. 24.
(γ) Ἔξοδ. ΙΖ, 2—7. Ἀριθ. Κ', 10. (δ) Ἀριθ. Ί, 1. ΙΑ', 3. ΙΔ'. ΙϚ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

Τύπους ἐκεῖνα καλεῖ, δεικνὺς μειζόνως αὐτοὺς κολασθήσεσθαι. Ὥσπερ γὰρ ἐπὶ τῶν δωρεῶν ἡ ἀλήθεια τοῦ τύπου μείζων, οὕτω πάντως καὶ ἐπὶ τῶν τιμωριῶν. *Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων.*] Τῷ τε εἰπεῖν, ὅτι πρὸς νουθεσίαν ἡμῶν ἐγράφη, καὶ ἐκ τοῦ ἐφιστᾷν αὐτοῖς τὸ τέλος, καὶ τὰς ἐκεῖ αἰωνίας τιμωρίας, πλέον αὐτοὺς πτοεῖ. Ἤδη γάρ, φησι, τὰ τέλη τῶν αἰώνων κατήντησε, καὶ ἡ ἡμέρα δηλονότι τῆς τιμωρίας. Εἰ γὰρ ἐκεῖνοι ἅμα καὶ ἅμα ἐτιμωροῦντο, ἀλλ', ἰδοὺ, καὶ ὑμῖν ἔφθασεν ἡ ἡμέρα τοῦ τέλους. Τὸ δὲ, *κατήντησεν*, οἷον, ἔφθασεν. *Ὥστε ὁ δοκῶν ἑστάναι.*] Πάλιν τοὺς ἐπὶ τῇ γνώσει μέγα φρονοῦντας αἰνίττεται. Εἰ γὰρ καὶ ἑστάναι, φησὶ, νομίζεις, εὐλαβοῦ, μὴ πέσῃς. Αὐτὸ γὰρ τὸ θαρρεῖν, ὅτι ἕστηκας, οὐδὲ ἑστάναι ἐστί· δοκεῖς γὰρ· οὐκ ἀληθῶς δὲ ἕστηκας· εἰ δὲ καὶ ἕστηκας, εὐχερὴς ἐξ ἀπονοίας ἡ πτῶσις. *Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν.*] Ἐπειδὴ ἐφόβησεν αὐτοὺς, εἰπών· *Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ·* πολλοὺς δὲ ἦσαν ὑπενεγκόντες ἤδη πειρασμούς· ἵνα μὴ λέγωσι· Τί ἡμᾶς φοβεῖς; πολλῶν γὰρ ἡμῖν γενομένων πειρασμῶν καὶ κινδύνων, οὐ πεπτώκαμεν, καὶ νῦν ἔχομεν πεσεῖν; φησὶν, ὅτι οὐκ εἴληφεν ὑμᾶς πειρασμὸς, εἰ μὴ μικρός· *ἀνθρώπινον γὰρ* τὸν μικρὸν καλεῖ. *Πιστὸς δὲ ὁ θεός.*] Τουτέστιν, ἀληθὴς, καὶ οὐ διαψεύσεται. Ἐπηγγείλατο γάρ· Δεῦτε οἱ κοπιῶντες, καὶ ἀναπαύσω ὑμᾶς (α), ἦγουν, τοὺς πειραζομένους. *Ὑπὲρ ὃ δύνασθε.*] Ἀναλόγως, φησὶ, τῇ ὑμῶν δυνάμει συγχωρεῖ τὸν πειρασμὸν ἔρχεσθαι· μᾶλλον δὲ πᾶς πειρασμὸς μείζων τῆς ὑμετέρας δυνάμεως, εἰ μὴ ὁ θεὸς βοηθεῖ. *Ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν.*] Τοῦτο διχῶς ἐστὶν ἐκλαβεῖν· ἢ ὅτι τὸν πειρασμὸν συγχωρῶν ἐπελθεῖν, αὐτίκα καὶ διασκεδάζει,

(α) Ματθ. ΙΑ΄, 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παύει αὐτὸν, ὥστε καὶ ὑμᾶς δύνασθαι, διὰ τὸ ὀλίγον χρόνον ἐνοχλεῖν ὑμῖν, ὑπενεγκεῖν αὐτόν· ἢ ὅτι σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἐπὶ τῇ ὑπομονῇ καὶ καρτερίᾳ ἔκβασιν, τουτέστι, ποιήσει ὑμᾶς αὐτίκα καρτερικοὺς καὶ ὑπομένειν ἱκανούς, ὥστε μηδὲν ὑμᾶς ἐκ τοῦ πειρασμοῦ βλάπτεσθαι, ἀλλὰ μᾶλλον καὶ μεγάλα κερδαίνειν. *Ἔκβασιν* δὲ λέγει τὴν πλήρωσιν καὶ παῦσιν, διὰ τὸ δυνηθῆναι ὑμᾶς ὑπενεγκεῖν· ὡς εἰ ἔλεγεν· Ὃς ποιήσει συντόμως τοὺς πειρασμοὺς πέρας λαβεῖν, ἕνεκεν τοῦ δυνηθῆναι ὑμᾶς ὑπενεγκεῖν.

14 Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλο-
15 λατρείας. Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς, ὃ
16 φημι. Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί; Τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ
17 Χριστοῦ ἐστίν; Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμέν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.
18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί;

Ἐπειδὴ ἱκανῶς αὐτῶν καθήψατο, θεραπεύει λοιπὸν αὐτοὺς, ἀγαπητοὺς αὐτοὺς καλῶν. Ὅρα δέ· οὐκέτι διὰ μόνην τὴν βλάβην τῶν ἀσθενεστέρων ἀδελφῶν, κωλύει αὐτοὺς ἐσθίειν τὰ εἰδωλόθυτα, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ τὸ ἐσθίειν διαβάλλει, εἰδωλολατρείαν τὸ πρᾶγμα καλῶν, καὶ τὴν ταχεῖαν ἀπ' αὐτοῦ ἀναχώρησιν ἀπαιτῶν· *φεύγετε γάρ φησιν. Ὡς φρονίμοις λέγω.*] Ἐπειδὴ ἐξῆρε τὸ ἐσθίειν εἰδωλόθυτα, εἰδωλολατρείαν τὸ πρᾶγμα προσειπών, καὶ διὰ τοῦτο καθήψατο αὐτῶν, λοιπὸν πειρᾶται θεραπεῦσαι τὸ τραχὺ τοῦ λόγου, καί φησιν· Ὑμεῖς φρόνιμοι ὄντες, κρίνατε τὸ πρᾶγμα, καὶ ἔχετε εὑρεῖν αὐτὸ εἰδωλολατρείαν. Τοῦτο δὲ ποιῶν, καὶ αὐτοὺς τοὺς ὑπευθύνους καθίζει δικαστὰς, δεικνὺς, ὅτι σφόδρα θαῤῥεῖ τοῖς οἰκείοις λόγοις ὡς ἀληθέσι· καὶ λοιπὸν κατασκευάζει εἰδωλολάτρας ὄντας, καὶ κοινωνοὺς εἰδώλων, τοὺς ἐσθίοντας τὰ εἰδωλόθυτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ ποτήριον τῆς εὐλογίας.] *Ποτήριον τῆς εὐλογίας* φησὶ, τὸ ποτήριον τοῦ αἵματος τοῦ Χριστοῦ. *Ὃ εὐλογοῦμεν.*] Ὃ μετὰ χεῖρας ἔχοντες εὐλογοῦμεν τὸν χαρισάμενον ἡμῖν τὸ αἷμα αὐτοῦ, τουτέστιν, εὐχαριστοῦμεν τῷ τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ἐκχέαντι, καὶ ἀῤῥήτων ἀγαθῶν ἡμᾶς ἀξιώσαντι. *Οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί;*] Συνάπτει γὰρ ἡμᾶς τῷ Χριστῷ τὸ αἷμα αὐτοῦ, ὡς μέλη τῇ κεφαλῇ, διὰ τῆς μεταλήψεως. *Τὸν ἄρτον, ὃν κλῶμεν.*] Ὅπερ ἐπὶ τοῦ σταυροῦ οὐ τέτονθεν ὁ Κύριος· (ὀστοῦν γὰρ αὐτοῦ, φησὶν, οὐ συντριβήσεται (α)·) τοῦτο νῦν δι' ἡμᾶς ὑπομένει, κατακλώμενος, ἵνα συνάψῃ ὑμᾶς ἑαυτῷ.—ΑΛΛΩΣ. Ἀπόδειξίς ἐστι τοῦ εἰρημένου τὸ ἐπαγόμενον. Πόθεν γὰρ δῆλον, φησὶν, ὅτι ὁ ἄρτος, ὃν κλῶμεν, κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστὶν, τουτέστιν, ὅτι εἰς κοινωνίαν ἡμᾶς τοῦ σώματος συνάγει τοῦ Χριστοῦ; Πόθεν δῆλον; Ὅτι ἓν σῶμα ἐσμὲν καὶ καλούμεθα οἱ πάντες, Χριστῷ συναπτόμενοι, ὡς τοῦ κοινοῦ σώματος κεφαλῇ. Εἰ οὖν μὴ τῷ σώματι αὐτοῦ καὶ τῷ αἵματι εἰς κοινωνίαν συνηγόμεθα, τίνι ἂν ἑτέρῳ ἓν σῶμα ἦμεν καὶ ἐκαλούμεθα;—*Ὅτι εἷς ἄρτος.*] Ἐπειδὴ εἶπε, *Κοινωνία τοῦ σώματος τοῦ Κυρίου ἐστί·* δοκεῖ δὲ, τὸ κοινωνοῦν ἕτερον εἶναι παρ' ἐκεῖνο, ὃ κοινωνεῖ· νῦν θέλει δεῖξαι, ὅτι οὐ κοινωνοῦμεν, ἀλλ' αὐτὸ τὸ σῶμα ἐσμὲν τοῦ Χριστοῦ οἱ πάντες· ὥσπερ ἀμέλει σῶμά ἐστι τῆς κεφαλῆς τὸ λοιπὸν σῶμα. Καθάπερ γὰρ ὁ ἄρτος ἐκ πολλῶν κόκκων εἷς ἄρτος γίνεται, οὕτω καὶ ἡμεῖς, πολλοὶ ὄντες, ἓν γινόμεθα σῶμα Χριστοῦ. *Οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.*] Εἶτα ἐπάγει καὶ λογισμὸν, πῶς γινόμεθα σῶμα Χριστοῦ. Τί γάρ ἐστί, φησιν, ὁ ἄρτος; Δῆλον ὅτι σῶμα Χριστοῦ. Τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; Δῆλον ὅτι σῶμα Χριστοῦ· μετέχοντες γὰρ τοῦ σώματος τοῦ Χριστοῦ, καὶ ἡμεῖς ἐκεῖνο γινόμεθα· ἐπειδὴ εἷς ἄρτος, ὁ Χρι-

(α) Ἐξοδ. ΙΒ', 10. Ἀριθ. Θ', 12. Ἰωαν. ΙΘ', 36.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στός. Ἐκ πολλῶν γὰρ κόκκων, ἐπὶ παραδείγματος, ὁ ἄρτος γίνεται· καὶ ἡμεῖς οἱ πολλοί, ἐξ αὐτοῦ τοῦ ἑνὸς μεταλαμβάνοντες, γινόμεθα ἓν σῶμα Χριστοῦ. Ἐπειδὴ γὰρ ἡ παλαιὰ ἡμῶν σὰρξ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν σαρκὸς νέας. *Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα.*] Ὑμεῖς γάρ, φησι, κατὰ πνεῦμα ἐστὲ Ἰσραήλ. *Οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσὶ;*] Κατ' ἐρώτησιν ἀνάγνωθι. Ἐπειδὴ δὲ μέρος τι τοῦ θύματος, οἷον, τὸ στέαρ, κατεκαίετο ἐν τῷ θυσιαστηρίῳ (α), τοὺς ἐκ τοῦ αὐτοῦ θύματος ἐσθίοντας, κοινωνοὺς ἐκάλεσεν, οὐ τοῦ θεοῦ, ἀλλὰ τοῦ θυσιαστηρίου· ἐπὶ δὲ τοῦ σώματος τοῦ Χριστοῦ, οὐχ οὕτως· ἀλλὰ, κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν.

19 Τί οὖν φημί; ὅτι εἴδωλόν τί ἐστιν; ἢ, ὅτι εἰδω-
20 λόθυτόν τί ἐστιν; Ἀλλ' ὅτι, ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ θεῷ·

Μὴ γὰρ τοῦτό, φησι, λέγω, ὡς ἐχόντων τινὰ ἰσχὺν τῶν εἰδώλων ἢ τῶν θυομένων αὐτοῖς, καὶ διὰ τοῦτο δυναμένων ἢ ὠφελῆσαι, ἢ βλάψαι; Οὐχί, φησιν· οὐδενός εἰσιν ἄξια, οὐδέν εἰσιν. Ἐπειδὴ γὰρ ἐσπουδαιολογήσατο περὶ τῶν εἰδώλων, ἐφοβήθη, μὴ νομίσωσιν ἔχειν τινὰ ἰσχὺν αὐτά. *Ὅτι εἴδωλόν τί ἐστιν;*] Οὐχ ὅτι ἔστι τι τὰ εἴδωλα, διὰ τοῦτο κωλύω τῶν εἰδωλοθύτων γεύεσθαι· προείρηται γὰρ, ὅτι τῶν μὴ ὄντων ἐστὶ καὶ ἀνυπάρκτων κατ' οὐσίαν, καὶ οὔτε βλάβην οὔτε ὠφέλειαν ἔχουσιν ἰσχὺν προξενῆσαί τινι· ἀλλὰ διὰ τοῦτο κωλύω, ὅτι διὰ τῶν εἰδώλων τοῖς δαίμοσι προσάγεται ἡ θυσία. Πῶς οὖν οὐκ αὐτόθεν δῆλον καὶ φανερὸν τὸ μεταλαμβάνειν δαιμονικῆς θυσίας, καὶ δι' αὐτῆς αὐτοῖς ἐκείνοις ἔρχεσθαι εἰς κοινωνίαν; Εἶτα καὶ διὰ τῆς παραθέσεως τῆς κυριακῆς τραπέζης καὶ τοῦ κυριακοῦ ποτηρίου, μᾶλλον ἐλέγχει τὸ ἄτοπον τῶν γευομένων ἃ ἔστιν εἰδωλόθυτα. Καὶ ὅρα τὸ σοφόν! Κατ'

(α) Ἐξοδ. ΚΘ', 13. Λευῖτ. Γ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρχὰς μὲν ῥῆμα πως ἥπτετο τῶν ἐλέγχων· προϊὼν δὲ, ὡς ἐνταῦθα, λίαν πικρῶς ἐπεμβαίνει. *Ἀ θύει τὰ ἔθνη.*] Οὐ λέγω, ὅτι ἔχουσι τινὰ ἰσχὺν τὰ εἴδωλα· ἀλλ' ὅτι τὰ θύματα, οὐ θεῷ, ἀλλὰ δαίμοσι θύεται. Μὴ τοίνυν τρέχε ἐπὶ τὰ μισητὰ τῷ θεῷ. Καὶ γὰρ εἰ καὶ βασιλικῆς μετεῖχες τραπέζης, καὶ, ταύτην ἀφεὶς, ἐπὶ τὰς τῶν καταδίκων ἔτρεχες, εὖ ἐποίεις; οὐχ ὅτι ἔβλαπτεν ἢ ὠφέλει ἐκείνη, ἀλλ' ὅτι ἐνύβριζες τὴν βασιλικὴν τράπεζαν.

20 Οὐ θέλω δὲ, ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνε-
21 σθαι. Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου
22 μετέχειν καὶ τραπέζης δαιμονίων. Ἢ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμέν;

Εἰ γὰρ οἱ τῆς μυστικῆς μετέχοντες τραπέζης, κοινωνοῦσι Χριστῷ· οἱ δαιμόνων μετέχοντες τραπέζης, δῆλον ὅτι δαίμοσι κοινωνοῦσιν. *Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν.*] Ἐπειδὴ ἐν τάξει παραινέσεως εἰρήκει· *Οὐ θέλω ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι·* ἵνα μὴ ἡ παίνεσις καταφρονηθῇ, νῦν ὡς ἐν τάξει ἀποφάσεως αὐτὸ τέθεικεν, εἰπών· *Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων.* Ἐκ μόνων τῶν ὀνομάτων *Κυρίου* καὶ *δαιμονίων* κατεσκεύασε τὴν κώλυσιν. *Ἢ παραζηλοῦμεν τὸν Κύριον;*] Ἐντρεπτικῶς αὐτὸ τέθεικεν. Ἢ πειράζομέν, φησι, καὶ παρακνίζομεν τὸν θεὸν, εἰ δύναται κολάσαι ἡμᾶς, πρὸς τοὺς ἐχθροὺς αὐτοῦ ἀποχωροῦντας; Εἶτα εἰς τὴν εἰς ἄτοπον ἐπαγωγὴν ἐξέρχεται, καὶ φησι· *Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμέν,* καὶ πειράζομεν καὶ παρακνίζομεν; Ἀναμιμνήσκει σφόδρα πληκτικῶς τῆς Μωσαϊκῆς ῥήσεως· «Παρεζήλωσάν με ἐπ' οὐ θεῷ· παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν (α).»

23 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα

(α) Δευτερ. ΛΒ', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ
ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος.
25 Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν
26 ἀνακρίνοντες διὰ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου
ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς (α).

Ἵνα μή τις εἴπῃ αὐτῷ, Ὅτι, ἐπειδὴ μετὰ καθαρᾶς ἐσθίω συνειδήσεως, ἐξουσίαν ἔχω τοῦτο ποιεῖν, ἐπάγει· Ναί, πάντα μέν σοι ἔξεστιν· ἐπειδὴ αὐτεξούσιος παρὰ θεοῦ γέγονας· ἀλλ' οὐ πάντως καὶ συμφέρει σοι τὸ ἐσθίειν· ὁδῷ γὰρ προβαίνων, διάθεσιν σχοίης πρὸς τὰ εἴδωλα τῷ συνεχῶς κοινωνεῖν τῶν τραπεζῶν αὐτῶν. *Ἀλλ' οὐ πάντα οἰκοδομεῖ.*] Τοῦτο ὡς πρὸς τοὺς βλαπτομένους ἀδελφούς. Εἰ γὰρ καὶ ἔξεστί σοι, φησίν, ἀλλ' οὐκ οἰκοδομεῖς τὸν ἀδελφόν σου, τοῦτο ποιῶν, ἀλλὰ καὶ καταλύεις. *Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω.*] Μὴ γὰρ τοῦτό, φησι, μόνον ζητεῖ [ὁ θεὸς], εἰ καθαρᾷ σὺ ἐσθίεις συνειδήσει· ἀλλ' εἰ καὶ τὸν ἀδελφόν σου ὠφελεῖ τὸ γινόμενον. *Πᾶν τὸ ἐν μακέλλῳ.*] Ἐπειδὴ πολὺν κατέτεινε λόγον περὶ τῶν εἰδωλοθύτων, ὡς λοιπὸν αὐτοὺς, ὡς εἰκός, καὶ τὰ ἐπ' ἀγορᾶς ὤνια παραιτεῖσθαι φοβουμένους, ὡς ὄντα εἰδωλόθυτα, ἀπάγει αὐτοὺς τοῦ τοιούτου φόβου.—ΑΛΛΩΣ. Τὸ ἀντιπίπτειν δοκοῦν λύει. Ἐπειδὴ γὰρ μετὰ σφοδρότητος τῶν εἰδωλοθύτων κατέδραμε, καὶ τοὺς ἐσθίοντας ἐπετίμησεν, ἵνα μή τις εἴπῃ· Τί οὖν; ἀποσχέσθαι ἄρα δεῖ ἡμᾶς καὶ τῶν ἐν ἀγορᾷ προκειμένων κρεῶν; ἢ ἀνάγκην σχοίημεν ἂν περιϊέναι τὰς ἀγορὰς, καὶ ἐπερωτᾶν καὶ ἀνακρίνειν, μή ποτε εἰδωλόθυτον εἴη; εἰς τοιαῦτα ἡμῶν συγκλείσομεν καὶ σενελάσομεν τὸν βίον; Ἵν' οὖν μὴ τοιαῦτά τινες ἀντιτείνειν ἔχωσιν, προφθάσας αὐτὸς δίδωσι τὰς λύσεις, καὶ φησι· Μήτε τὰ ἐν ἀγορᾷ ἀνάγκην εἶναι παραιτεῖσθαι, μήτε ἀνακρίνειν καὶ ἐπερωτᾶν, εἰ ἄρα εἰδωλόθυτόν ἐστιν, ἢ οὔ· ἀλλ' ἐκείνων ἀπέχεσθαι μόνον, περὶ ὧν τις φθάσας

(α) Ψαλμ. ΚΓ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμήνυσεν, εἰδωλόθυτα εἶναι. *Πᾶν τὸ ἐν μακέλλῳ*, φησίν, *ἐσθίετε, μηδὲν διστάζοντες κατὰ συνείδησιν, μηδὲ ἀνακρίνοντες καὶ ἐπερωτῶντες δι' αὐτὴν, ἵνα ταύτην ἀμφίβολον οὖσαν θεραπεύσητε.* Οὐ γὰρ ἐβούλετο δύσκολον αὐτοῖς τὴν μετάληψιν παρασκευάσαι τῆς τροφῆς, ἵνα μὴ ἐκ τούτου ὀλιγωρήσαντες, τὸ πᾶν τῆς ἀκριβείας, ὡς ἀδυνάτου τῆς ἐντολῆς οὔσης εἰς τὸ φυλαχθῆναι, παραλύσωσι.—*Μηδὲν ἀνακρίνοντες.*] Μὴ ἀνακρίνοντες τοὺς πωλοῦντας, καὶ ἐρωτῶντες, εἰ ἄρα εἰδωλόθυτόν ἐστιν, ὡς πληττόμενοι τὴν συνείδησιν, καὶ καθαρίσαι αὐτὴν ἐθέλοντες· ἀλλ' ἀζητήτως τὰ ἐπ' ἀγορᾶς πωλούμενα ἐσθίετε. Ἢ, *Μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν*, τουτέστι, Μηδὲν ἕνεκεν αὐτῆς ἐπερωτῶντες καὶ ἀνακρίνοντες. Δεῖ γὰρ αὐτὴν καθαρὰν καὶ ἀδιάστακτον ἐσθίοντας ἔχειν, καὶ μὴ δεῖσθαι πληροφορίας ἄλλης, τῆς ἀπὸ τῆς ἀνακρίσεως. *Τοῦ γὰρ Κυρίου ἡ γῆ.*] Εἰ γὰρ ἡ γῆ τοῦ Κυρίου ἐστὶ, δῆλον ὅτι καὶ τὰ ἐν αὐτῇ, οἷον, τά τε κρέα καὶ οἱ καρποί. Εἰ δὲ αὐτοῦ πάντα, οὐδὲν ἀκάθαρτον φύσει, ἀλλ' ἀπὸ τῆς ἑκάστου διανοίας. Εἰ οὖν τοῦ Κυρίου ἐστὶ, τί ἀνακρίνεις;

27 Εἰδέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μη-
28 δὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ· Τοῦτο εἰδωλόθυτόν ἐστι· μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν. Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

Καλῶς τὸ, *Θέλετε.* Οὔτε γὰρ προτρέψασθαι, οὔτε ἀποτρέψασθαι αὐτοὺς ἠβούλετο. *Μηδὲν ἀνακρίνοντες.*] Διὰ τί; Ἵνα μὴ τῇ πολλῇ περιεργίᾳ νομισθῆτε δειλιᾶν τὰ εἴδωλα. *Διὰ τὴν συνείδησιν.*] Ὡς θέλοντες καθαρὰν φυλάττειν ὑμῶν τὴν συνείδησιν. *Ἐὰν δέ τις ὑμῖν εἴπῃ.*] Ἰνατὶ μηκέτι ἐσθίωμεν; Καί φησιν· Ἀληθῶς μὲν πάντα τοῦ Κυρίου ἐστὶν, ὡς καὶ αὐτὴ ἡ γῆ, ἐξ ἧς ἐκβαίνει ταῦτα· ἀλλ' ἐὰν φάγητε, τὴν συνείδησιν τοῦ μηνύσαντος βλάπτετε· σκανδαλισθήσεται γὰρ, λογιζόμενος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τί δήποτε ἀκούσαντες, οὐκ ἀπέχεσθε. Τοῦτο δὲ λέγει, φοβούμενος μήπως νομίσωσιν, ὡς ἰσχὺν τῶν εἰδώλων ἐχόντων, γίνεσθαι τὴν κώλυσιν. *Τοῦ γὰρ Κυρίου ἡ γῆ.*] Σὺ μὲν γὰρ οἶδας, ὅτι τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, καὶ τῆς τῶν εἰδώλων ἀσθενείας καταφρονεῖς· ἐκεῖνος δὲ, τῇ πλάνῃ δεδουλωμένος, βλάβην ἐντεῦθεν καρποῦται, εἰδωλοθύτων σε κρεῶν μεταλαμβάνειν ἡγούμενος. Τοῦτο γὰρ διδάσκει τὰ ἑξῆς· *Ἱνατὶ γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; ἐλευθερίαν* καλῶν τὴν χάριν τῆς πίστεως· *Εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;* Οὐχ ὅσιον ἄλλον λωβᾶσθαι διὰ τὴν ἐμὴν τελειότητα. — ΑΛΛΩΣ. Ἐπειδὴ ἀνωτέρω, ὅτε τὰ ἐν μακέλλῳ πωλούμενα οὐκ ἐκώλυεν ἐσθίειν, ἐπήγαγε· *Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς*, τουτέστι, τὰ ἐν αὐτῇ πάντα· ταῦτα γάρ εἰσι τὰ πληροῦντα αὐτὴν, καρποί καὶ ζῶα, καὶ τὰ ὅμοια· εἶτα προϊὼν λέγει· *Ἐάν δέ τις ὑμῖν εἴπῃ, ὅτι εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε·* ἵνα μή τις εἴπῃ· Τί οὖν; νῦν οὐκ ἔστιν ἡ γῆ τοῦ Κυρίου καὶ τὰ ἐν αὐτῇ; ἀλλ᾽ ὅτε μὲν οὐκ ἐκώλυες ἐσθίειν, τοῦ Κυρίου ἦν, νῦν δὲ οὐκ ἔστιν; Ἵνα μὴ οὖν μὴ ἐξῇ τοῦτο λέγειν τινὶ, πάλιν τίθησι τὸ αὐτὸ, καὶ φησι· Τοῦ Κυρίου μὲν ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, ὅπερ ἔμπροσθεν εἶπον· ἀλλὰ διὰ τὸν μηνύσαντα καὶ τὴν συνείδησιν αὐτοῦ, οὐ δεῖ γεύεσθαι ἐκείνων τῶν εἰδωλοθύτων. Εἰ γὰρ τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, αὐτὸς οὐδενὸς ποιήσει ὑμᾶς ἔχειν ἐνδεῶς, κἂν ταύτης δι᾽ αὐτὸν ἀπόσχησθε τῆς εἰδωλοθύτου θοίνης. Ἤ, ἐπεὶ τοῦ Κυρίου ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, πολλῷ μᾶλλον καὶ ὁ ἄνθρωπος ὁ ἐν αὐτῇ· διὰ γοῦν τοῦτον τὸν μηνύσαντα, ὃς ἐστὶ τοῦ Κυρίου, καὶ τοὺς ἄλλους ἴσως τοὺς μηνύοντος ἀκούσαντας, ἵνα μὴ βλαβῶσι, μὴ ἐσθίετε. Τοῦ Κυρίου γὰρ ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, καὶ δεῖ ὡς ὁμοδούλων φροντίζειν τῶν ἐν αὐτῇ. Οὐ γάρ, ὅτε μὲν ἔδει φαγεῖν, τοῦτο ἔδει ἐννοεῖν· ὅτε δὲ μὴ ἐσθίειν, τοῦτο παρορᾷν· ἀλλ᾽ ἀεὶ ὡσαύτως ἔχοντας, καὶ τότε εὐχαρίστως ἐσθίειν, ὡς τοῦ Κυρίου παρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχόντος ἡμῖν εἰς βρῶσιν ταῦτα· καὶ νῦν εἰκότως μὴ ἐσθίειν, ὡς φυλαττομένους σκανδαλίζειν τοὺς τοῦ Κυρίου δούλους καὶ ὁμοδούλους ἡμῶν (Φωτίου).

29 Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν
τοῦ ἑτέρου. Ἱνατὶ γὰρ ἡ ἐλευθερία μου κρίνεται
30 ὑπὸ ἄλλης συνειδήσεως; Εἰ ἐγὼ χάριτι μετέχω,
31 τί βλασφημοῦμαι, ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; Εἴτε
οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖτε, πάντα εἰς
δόξαν θεοῦ ποιεῖτε.

Συνείδησιν.] Τὴν τοῦ Ἕλληνος τοῦ καταμηνύσαντος, ἵνα μὴ βλαβῇ. Ἵνα δὲ μή τις εἴπῃ· Διὰ μὲν τὴν τῶν ἀδελφῶν συνείδησιν τῶν βλαπτομένων, καλῶς φαγεῖν κωλυόμεθα· περὶ δὲ τῶν Ἑλλήνων καὶ τῆς συνειδήσεως αὐτῶν οὐ δεῖ φροντίζειν· Οὐκ ἐκείνου φροντίζω, φησί· ἀλλὰ καὶ ἐνταῦθα σοῦ, ἵνα μὴ καταγινώσκῃ· διὸ καὶ ἐπήγαγεν· *Ἱνατὶ γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;* ἐλευθερίαν τὸ ἀπαρατήρητον καὶ ἀκώλυτον λέγων. Τίς γάρ χρεία, ἵνα ἡ ἐλευθερία μου, τουτέστι, τὸ ἀπαρατήρητόν μου καὶ ἐλεύθερον παρατηρήσεως ῥωμάτων, κρίνηται ὑπὸ ἄλλης συνειδήσεως; τουτέστι, κατακρίνηται ὑπὸ τῆς τοῦ Ἕλληνος συνειδήσεως; Ἐρεῖ γάρ, ὡς εἰκός· Μῦθοι τὰ χριστιανῶν· τὰ εἴδωλα δοκοῦσι βδελύττεσθαι, καὶ τὰ αὐτοῖς θυόμενα προθύμως ἐσθίουσιν. *Εἰ ἐγὼ χάριτι μετέχω.*] Μετέχω τῶν τοῦ θεοῦ χαρισμάτων διὰ τὴν χάριν τοῦ θεοῦ, τὴν οὕτω μου τὴν ψυχὴν ὑψηλὴν ποιήσασαν, ὡς πεπεῖσθαι, μηδενὶ τοιούτῳ μολύνεσθαι· θαῤῥῶν οὖν τῇ χάριτι τοῦ θεοῦ ἐσθίω. Ἀλλ' εἰ σύ, φησιν, ἐκ χάριτος θεοῦ γέγονας τέλειος, ὥστε εἰδέναι, μηδὲν εἶναι τὰ εἴδωλα, καὶ κατηρτισμένην, ὡς λέγεις, ἔχεις τὴν ψυχὴν, εἰς τὸ μηδὲν παραβλάπτεσθαι, κἂν μετασχεῖν βουληθῇς τῶν εἰδωλοθύτων, τί οὖν βλασφημεῖσθαι σαυτὸν παρασκευάζεις, καὶ διὰ σοῦ τὴν πίστιν καὶ τὸν θεὸν; καὶ τότε ἐπ' ἐκείνῳ, ὑπὲρ οὗ μᾶλλον ὤφειλες εὐχαριστεῖν, τελειωθεὶς τὴν διάνοιαν; Λύτὸς δὲ ἐφ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοῦ τὸν λόγον ἐσχημάτισε, μετριώτερον τὸν ἔλεγχον ποιῶν. Καὶ ὅτε τῶν ἐλέγχων ἔπαυσε, τότε τὸν εἰς ἑαυτὸν λύσας μετασχηματισμὸν, ἐξ εὐθείας αὐτοῖς παραινεῖ, λέγων· *Εἴτε οὖν ἐσθίετε, καὶ ἑξῆς.* *Ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ.*] Ἐγώ, φησιν, ἐσθίων εὐχαριστῶ ὑπὲρ τῆς χάριτος τοῦ θεοῦ, ἥτις μοι τὴν ψυχὴν ὑψηλὴν καὶ ἀμόλυντον ὑπάρχειν ἐποίησε. Διὰ τοῦτο λέγει, Μετέχων εὐχαριστῶ. Διὰ τί οὖν *ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ*, τουτέστιν, ὑπὲρ τῆς χάριτος τοῦ θεοῦ, ἀπὸ τῶν Ἑλλήνων βλασφημοῦμαι; Ἐροῦσι γὰρ εἴρωνας τινὰς ἡμᾶς εἶναι καὶ ψευδολόγους, τὰ μὲν εἴδωλα δῆθεν ἀποστρεφομένους, κοινωνοῦντας δὲ τῶν ἐκεῖσε τραπεζῶν. *Εἴτε οὖν ἐσθίετε, καὶ ἑξῆς.*] Οὕτω, φησι, πάντα πράττετε, ἵνα τοῦ δοξάζεσθαι τὸν θεὸν ἀφορμὰς παρέχητε· ὡς τάγε νῦν γινόμενα παρ' ὑμῶν, καὶ βλασφημία ἐστὶ τοῦ θεοῦ, καὶ ἀδοξίαν τῇ πίστει προστρίβεται, καθὼς εἴρηται.

32 Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι,
33 καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ· καθὼς κἀγὼ πάντα
πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον,
ΚΕΦ. XI, 1 ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μι-
μηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

Ἀπρόσκοποι γίνεσθε.] Τουτέστι, μηδεμίαν μηδενὶ ψόγου παρέχοντες ἀφορμήν. Ἔσται δὲ τοῦτο, ἐὰν μήτε Ἕλληνα, μήτε Ἰουδαῖον σκανδαλίσωμεν, μήτε μὴν τοὺς ἀδελφούς· οὗτοι γὰρ *ἡ ἐκκλησία τοῦ θεοῦ*. Ὅρα δὲ, τὸ μεῖζον, ἔσχατον εἶπε. Καὶ γὰρ καὶ τοὺς ἄλλους ἐφέλκεσθαι προσήκει πρὸς τὴν πίστιν, οὐ μὴν καὶ τοὺς ἀδελφοὺς διώκειν. Ἐμφαίνει δὲ ἐκ τούτων τῶν ῥημάτων πάντας σκανδαλιζομένους ἐκ τοῦ ἐσθίειν αὐτοὺς εἰδωλόθυτα. *Καθὼς κἀγώ.*] Εἶτα, ἐπειδὴ δυσχερὲς ἐπέταξεν· (ὑπευθύνους γὰρ αὐτοὺς ἐποίησε καὶ τῆς Ἰουδαίων καὶ Ἑλλήνων βλάβης·) ἑαυτὸν εἰς παράδειγμα τέθεικεν, εὐπαράδεκτον ταύτῃ κατασκευάζων τὸν λόγον. *Πάντα πᾶσιν ἀρέσκω.*] Ὡς εἰ εἶπεν· Εἰς πάντα πᾶσιν ἀρέσκω· ὅπερ καὶ ἄνω ἔλεγε· Τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω (α). *Μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον.*] Ὡς ὅταν ἔλεγεν· *Ηὐχόμην, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα* (β)· τοῦτο γὰρ μίμησις Χριστοῦ, τὸ μὴ τὸ ἑαυτοῦ συμφέρον ζητεῖν, ἀλλὰ τῶν πλησίον κήδεσθαι. *Ἀλλὰ τὸ τῶν πολλῶν.*] Τὸ τῶν πολλῶν, φησι, συμφέρον μᾶλλον, ἤπερ τὸ ἐμαυτοῦ. Ἐπειδὴ ἔνιοι ζητοῦσι μὲν τὸ τῶν πολλῶν συμφέρον, ἀλλ' οἱ μέν, ἵνα κερδήσωσιν αὐτῶν τὴν εὔνοιαν ἐπὶ τὸ σφίσι λυσιτελοῦν· οἱ δὲ, ἵνα παρ' αὐτῶν ἐπαινεθῶσιν· οἱ δὲ, ἵνα ἄλλου τινὸς ἐπιτύχωσι τοιούτου, αὐτὸς δείκνυσιν ἐφ' ὅτῳ αὐτὸς αὐτοῖς ἐσπούδασεν ἀρέσκειν, καί φησιν, ὅτι ἐπὶ τὸ ἐκείνοις συμφέρον· καὶ οὐχ ἁπλῶς συμφέρον, ἀλλ' ἔτι σαφέστερον, *ἵνα σωθῶσι*, φησί. Τὸ δὲ, *Καθὼς κἀγὼ Χριστοῦ*, μὴ ἀλαζόνος λόγον νοήσῃς, ἀλλὰ προτρεπομένου μᾶλλον εἰς τὴν μίμησιν. Εἰ γὰρ ἐγώ, φησι, Χριστὸν ἐμιμησάμην τὸν καταφρονήσαντα καὶ τῆς ἑαυτοῦ ζωῆς ὑπὲρ τοῦ ζῆσαι ὑμᾶς, πόσῳ μᾶλλον ὑμεῖς ἐμέ; Οὐ γὰρ τοσοῦτον ἐγὼ ὑμῶν κρείττων, ὅσον ἐκεῖνος ἐμοῦ, ὁ πάντων ἀσυγκρίτως ὑπερέχων.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ σχήματος ἀνδρῶν καὶ γυναικῶν ἐν εὐχαῖς καὶ προφητείαις.

2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις
3 κατέχετε. Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναι-
4 κὸς, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ, ὁ Θεός. Πᾶς

(α) Α' Κορ. Θ', 22. (β) Ρωμ. Θ', 3

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνὴρ, προσευχόμενος, ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. Πᾶσα δὲ γυνὴ, προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.

[Ἐπειδὴ τὸν περὶ τῶν εἰδωλοθύτων λόγον ἀπήρτισε, περὶ μεγάλων ὄντα, νῦν κουφότερόν τι ἁμάρτημα διορθοῦται. Εἴωθε γὰρ μεταξὺ τῶν βαρέων τὰ κουφότερα ἁμαρτήματα τιθέναι.] Μέμφεται δὲ τοῖς Κορινθίοις, ὅτι αἱ μὲν γυναῖκες αὐτῶν ἀκατακαλύπτῳ τῇ κεφαλῇ καὶ ηὔχοντο καὶ προεφήτευον· οἱ δὲ ἄνδρες καί ἐκόμων, καὶ κατακεκαλυμμένοι ἦσαν τὴν κεφαλὴν ἐν τῇ εὐχῇ καὶ προφητείᾳ, ἅ τινὰ ἑλληνικῶν ἦν ἐθῶν. Αἰνίττεται δὲ, ὅτι καὶ παρὼν περὶ τούτων αὐτοῖς διείλεκτο· ὧν οἱ μὲν ἐπείσθησαν, οὓς καὶ ἐπαινεῖ· οἱ δὲ οὔ, πρὸς οὓς προϊὼν φησίν· *Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Ὅτι πάντοτέ μου μέμνησθε.*] Καίτοι περὶ τοῦ μὴ κομᾷν ὁ λόγος αὐτῷ, μηδὲ κεκαλῦφθαι ἐν εὐχῇ καὶ προφητείᾳ τὴν κεφαλὴν, πῶς οὖν φησιν, *Ὅτι πάντοτέ μου μέμνησθε*; Πρόφασιν εὔλογον λαβὼν, ἐπαίρει τοῖς ἐπαίνοις αὐτούς· πρὸς γὰρ τοὺς ὑπακούσαντας ὁ λόγος αὐτῷ, οὐχὶ περὶ τῶν μὴ ὑπακουσάντων. *Καὶ καθὼς παρέδωκα ὑμῖν.*] Ἐντεῦθεν δῆλον, ὅτι καὶ ἀγράφως πολλὰ παρέδωκε, καὶ αὐτὸς καὶ οἱ λοιποὶ ἀπόστολοι. *Θέλω δὲ ὑμᾶς εἰδέναι.*] Πρὸς τοὺς πεισθέντας τῷ λόγῳ τούτῳ διαλεγόμενος, τοὺς ἀπιστήσαντας διορθοῦται, μὴ δεῖν κεκαλυμμένῃ εὔχεσθαι κεφαλῇ. Ἐπιφέρει δὲ καὶ τὴν αἰτίαν. *Παντὸς ἀνδρός.*] Πιστοῦ, δηλονότι· αὐτοὶ γάρ εἰσι μέλη Χριστοῦ· καὶ αὐτῶν κεφαλὴ ὁ Χριστὸς, οὐ μὴν τῶν ἀπίστων. Κεφαλὴ μὲν ἡμῶν τῶν πιστῶν ἐστὶν ὁ Χριστὸς, ὡς συσσώμων καὶ συμμετόχων αὐτῷ γεγενημένων διὰ τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος αὐτοῦ· (δι' αὐτῆς γὰρ ἅπαντες ἓν σῶμα χρηματίσαντες, κεφαλὴν ἔχομεν αὐτόν·) κεφαλὴ δὲ Χριστοῦ, ὁ θεὸς καὶ πατὴρ, ὡς γεννήτωρ καὶ προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βολεὺς καὶ ὁμοούσιος αὐτοῦ. *Κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνὴρ*, ὅτι καὶ αὐτὸς γεννήτωρ αὐτῆς καὶ προβολεὺς καὶ ὁμοούσιος ὑπάρχει αὐτῇ. Ἀκόλουθος οὖν καὶ ἁρμοδία ἡ ἀναλογία. Εἰ δὲ τὸ, *Παντὸς ἀνδρὸς*, καὶ ἐπὶ τῶν ἀπίστων ἐκλάβοις, ἐγχωρεῖ κατὰ τὸν τῆς δημιουργίας λόγον· τῶν γὰρ ἄλλων ἄρχειν τὸν ἄνθρωπον ἐπιτρέψας, αὐτὸν ὑπὸ τὴν ἰδίαν μόνον εἴασε μένειν ἐξουσίαν καὶ ἀρχὴν, μὴ ἐπιστήσας αὐτῷ ἕτερον δεσπότην ἢ ἐξουσιαστήν. Ἢ, *Κεφαλὴ γυναικὸς ὁ ἀνὴρ*, διὰ τὸ κατάρχειν καὶ ἐξουσιάζειν αὐτῆς· *Κεφαλὴ δὲ Χριστοῦ ὁ θεὸς*, διὰ τὸ αἴτιον εἶναι αὐτοῦ, ὡς πατὴρ υἱοῦ. Οὐ δεῖ γὰρ τὰ περὶ κεφαλῆς εἰρημένα, ὁμοίως καὶ ἐπὶ Χριστοῦ ἐκλαμβάνειν· ἀλλὰ τῶν μὲν ἀνθρώπων κεφαλὴ, ὁ Χριστὸς, κατὰ τὸ δημιουργικόν· Χριστοῦ δὲ κεφαλὴ, ὁ πατὴρ, διὰ τὸ αἴτιον. Πλὴν εἰ μὴ καὶ Χριστοῦ οὕτω κεφαλὴ ὁ θεὸς, καθάπερ ἡμῶν ὁ Χριστὸς, καθό ἐστι καὶ νοεῖται ἄνθρωπος, κατὰ τό· *Ὁ πατήρ μου μείζων μού ἐστί* (α)· καὶ· *Ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ θεόν μου, καὶ θεὸν ὑμῶν* (β). *Πᾶς ἀνὴρ προσευχόμενος.*] Οὐκ ἀεὶ κωλύει τὸν ἄνδρα κατακαλύπτεσθαι, ἀλλὰ μόνον ἐν προσευχῇ καὶ προφητείᾳ. *Κατὰ κεφαλῆς ἔχων.*] Οὐκ εἶπε, κεκαλυμμένος τὴν κεφαλὴν, ἀλλὰ, *κατὰ κεφαλῆς ἔχων*, ἀναιρῶν οὕτως οὐ μόνον τὸ τῷ ἱματίῳ καλύπτεσθαι, ἀλλὰ καὶ κόμῃ· καὶ γὰρ καὶ ὁ κομῶν κατὰ κεφαλῆς ἔχει, τὴν κόμην, δηλαδή. *Καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.*] Ἡμᾶς γὰρ ὁ θεὸς τοὺς ἄνδρας αὐτεξουσίους ἐποίησε, τουτέστιν, ὑπ' οὐδένα τῶν ἐν τῇ γῇ ὑποκειμένους, ἀλλὰ πάντων ἄρχοντας. Διὸ οὐ δεῖ ἔχειν ἐπὶ τῆς κεφαλῆς ἐξουσίαν τοὺς οὐκ ὄντας ὑπὸ ἐξουσίαν τινὸς τῶν ἐν τῇ γῇ. Τὸ γὰρ κεκαλύφθαι τὴν

(α) Ἰωαν. ΙΔ', 28. (β) Ἰωαν. Κ', 17.—«Εἰ δὲ καὶ κατὰ τὸ ἀνθρώπινον ἐκλάβοις, οὕτως εἰρῆσθαι τὸν πατέρα τοῦ Χριστοῦ κεφαλὴν, ὥσπερ αὐτὸς ὁ Χριστὸς ἐλέχθη ἡμῶν κεφαλὴ, οὐδὲν ἀσεβές· ἐπεὶ καὶ θεὸς ὁ πατὴρ λέγεται τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπινον. Ἐπεὶ γὰρ ἡμῖν ὁμοιωθῆναι κατεδέξατο, καὶ ἀδελφὸς ἡμῶν ἐχρημάτισε, καὶ κεφαλὴ, οὐδὲν καινὸν, εἰ καὶ τὰ τῆς ταπεινώσεως ὀνόματα καταδέχεται, καὶ τὸν κατὰ τὴν θεότητα πατέρα ἔχει κεφαλὴν κατὰ τὸ ἀνθρώπινον, ὡς ἄρχοντα αὐτοῦ, καὶ ὡς θεὸν αὐτοῦ.» Θεοφύλακτος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κεφαλήν, ἐξουσίαν τινὰ ἐστὶν ἐπιτιθέναι τῇ κεφαλῇ· ἀντὶ γὰρ ἐξουσιαστοῦ ἐστὶ τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα, ὅπερ εἴωθεν εἶναι ἐπὶ τῆς γυναικὸς, δηλοῦν τὴν τοῦ ἀνδρὸς ἐξουσίαν, ὡς ὑποκειμένης αὐτῷ. Ὁ οὖν τῇ ἐλευθέρᾳ κεφαλῇ ἐπιτιθεὶς ἐξουσίαν, εἰκότως καταισχύνει τὴν κεφαλὴν αὐτοῦ, τὸν Χριστόν. *Καταισχύνει τὴν κεφαλὴν αὐτῆς.*] Ἦσαν γὰρ καὶ γυναῖκες τὸ χάρισμα τῆς προφητείας ἔχουσαι, ὡς αἱ Φιλίππου θυγατέρες (α), καὶ ἄλλαι πολλαί. Πῶς δὲ καταισχύνει τὴν κεφαλὴν αὐτῆς; Ὅτι τε τὸ αὐτό ἐστι τῇ ἐξυρημένῃ, καὶ ὅτι δραπέτριάν τινα ἑαυτὴν τῇ κεφαλῇ ἀποδείκνυσι καὶ φυγάδα, ἀποστατήσασαν τῆς δοθείσης αὐτῇ παρὰ θεοῦ ἐξουσίας, ἤγουν τοῦ ἀνδρός. *Ἓν γάρ ἐστι καὶ τὸ αὐτό.*] Πῶς ἐστιν *ἓν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ*, ὁπότε ἡ μὲν ἐξυρημένη, οὐδὲ τὴν φυσικὴν σκέπην ἔχει, οἷον, τὰς τρίχας, αὕτη δὲ ἔχει; Καὶ ἐροῦμεν, ὅτι ἡ ἀκατακάλυπτος, ὅσον τὸ εἰς αὐτὴν ἧκον, καὶ τὸ ἐκ φύσεως ἀπεσείσατο κάλυμμα, ἤγουν, τὰς τρίχας.

6 Εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω· εἰ δὲ
αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακα-
7 λυπτέσθω. Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.

Τοῦτο προσθεὶς, ἐδήλωσεν, ὅτι οὐκ ἐν προσευχῇ ἡ προφητεία μόνον αὐτὴν δεῖ κατακαλύπτεσθαι, ἀλλὰ πάντοτε. Ὥσπερ γὰρ τὸ ξυρᾶσθαι, οὐκ ἐν εὐχῇ μόνον καὶ προφητείᾳ ἀπρεπὲς, ἀλλὰ καὶ πάντοτε, οὕτω καὶ τὸ ἀκατακάλυπτον εἶναι. *Εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.*] Ἐπιμένει δεικνὺς, ὅτι ἡ ἀνακάλυψις τῇ ξυρήσει ἔοικε· καὶ ὥσπερ ἐκείνη αἰσχρὸν, οὕτω καὶ αὕτη. *Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν.*] Κατασκευαστικῶς προάγει τὸν λόγον. Εἶτα τὴν αἰτίαν λέγει τοῦ μὴ δεῖν ἄνδρα κατακαλύ-

(α) Πραξ. ΚΑ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πτεσθαι τὴν κεφαλήν, οὐ τὴν πρώτην· διότι κεφαλὴν ἔχει τὸν Χριστόν· ἀλλὰ ἄλλην· *Εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων.*] Εἰκὼν θεοῦ ὁ ἄνθρωπος, οὔτε κατὰ τὸ σῶμα, οὔτε κατὰ τὴν ψυχήν, ἀλλὰ κατὰ τὸ ἀρχικὸν μόνον. Ὡς ἁπάντων τοίνυν τῶν ἐπὶ γῆς τὴν ἀρχὴν πεπιστευμένος, εἰκὼν προσαγορεύεται τοῦ θεοῦ· ἡ δὲ γυνὴ, ὡς ὑπὸ τὴν τοῦ ἀνδρὸς ἐξουσίαν τελοῦσα, τοῦ ἀνδρός ἐστι δόξα, καὶ οἷον εἰκόνος εἰκών. Ἄρχει μὲν γὰρ καὶ αὐτὴ τῶν ἄλλων, ἀλλ' ὑποτετάχθαι τῷ ἀνδρὶ προσετάγη (Θεοδωρήτου). *Δόξα θεοῦ ὑπάρχων.*] Τουτέστιν, ὕπαρχος ὢν θεοῦ, καὶ ὑπὸ ἀρχὴν ὢν θεοῦ μόνου. Δεῖ οὖν τὸν ὄντα μὲν ὑπ' οὐδένα τῶν ἐν τῇ γῇ, αὐτὸν δὲ ἄρχοντα ἁπάντων τῶν ἐν τῇ γῇ, καὶ αὐτῆς τῆς γυναικὸς, μετὰ τῶν συμβόλων τῆς ἐλευθερίας, τουτέστι, τῆς ἀκατακαλύπτου κεφαλῆς, προσιέναι Θεῷ. Εἰς γὰρ δόξαν θεοῦ ὀφείλει ὁ ἀνὴρ ὑποτετάχθαι τῷ θεῷ, καὶ εἰς δόξαν ἀνδρὸς, ἡ γυνὴ τῷ ἀνδρί. Τί δέ ἐστιν, *εἰς δόξαν*; Εὐπειθῶς καὶ ἑκουσίως μετὰ χαρᾶς πράττειν τὰ ἀρέσκοντα Θεῷ· ὡσαύτως καὶ ἡ γυνὴ πράττειν τὰ ἀρέσκοντα τῷ ἀνδρί· ὡς ὅγε κατὰ βίαν καὶ ἄκων ποιῶν καὶ δυσφορῶν, οὐχ ὑποτάσσεται εἰς δόξαν θεοῦ· ὡσαύτως οὐδὲ ἡ γυνὴ, εἰς δόξαν ἀνδρός. Ὥστε δεῖ προθύμως τὸν ἄνδρα ἀκατακαλύπτως προσιέναι θεῷ, καὶ τὴν γυναῖκα ὡσαύτως κατακαλύπτεσθαι. — *Δόξα θεοῦ.*] Τῆς ἀρχῆς αὐτοῦ καὶ ἐξουσίας τὸ τιμιώτατον. Δι' αὐτὸν γὰρ μᾶλλον ἢ δι' ἄλλό τι τῶν ἐν κόσμῳ δεδόξασται, καὶ τὸ ὑπερβάλλον τῆς χρηστότητος αὐτοῦ καὶ φιλανθρωπίας πεφανέρωται. Ὡσαύτως, *δόξα ἀνδρὸς ἡ γυνή*· τῆς γὰρ ἀρχῆς αὐτοῦ καὶ ἐξουσίας αὕτη ἐστὶ τὸ τιμιώτατον, δι' ἣς μᾶλλον ἢ δι' ἑτέρου τινὸς, ὧν ἄρχει, ἔσιν αὐτῷ ἐγκαλλωπίζεσθαι καὶ δοξάζεσθαι. *Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.*] Τουτέστιν, ἀρχὴ ἀνδρὸς, καὶ ὑπὸ ἀρχὴν ἀνδρός. Δεῖ οὖν αὐτὴν μετὰ τῶν συμβόλων τῆς ὑποταγῆς εἶναι ἀεί.

8 Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ
9 ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

10 ἀλλὰ γυνὴ, διὰ τὸν ἄνδρα. Διὰ τοῦτο ὀφείλει ἡ
γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς
11 ἀγγέλους. Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε
12 γυνὴ χωρὶς ἀνδρὸς, ἐν Κυρίῳ. Ὥσπερ γὰρ ἡ γυνὴ
ἐκ τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός·
13 τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. Ἐν ὑμῖν αὐτοῖς κρίνατε·
πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσ-
εύχεσθαι;

Τὰς ὑπεροχὰς καταλέγει τοῦ ἀνδρὸς, δι' ἃς αὐτῷ τὸ ἄρχειν δέδοται· ὅτι τε ἐκ τῆς πλευρᾶς αὐτοῦ ἡ γυνὴ, καὶ ὅτι οὐκ ἐκεῖνος δι' ἐκείνην, ἀλλ' ἐκείνη δι' αὐτόν (α). *Διὰ τοῦτο ὀφείλει.*] Διὰ τὰς εἰρημένας, φησὶν, αἰτίας ὀφείλει ἡ γυνὴ *ἐξουσίαν ἔχειν*, τουτέστι, κάλυμμα, ἵνα φαίνηται, ὅτι ὑπὸ ἐξουσίαν τυγχάνει· τὸ γὰρ κάλυμμα κάτω νεύειν καὶ κεκυφέναι καὶ ἐντρέπεσθαι ποιεῖ, ὅπερ σύμβολόν ἐστι καὶ δεικτικὸν τοῦ ἄρχεσθαι αὐτήν. *Ἡ γυνὴ ἐξουσίαν ἔχειν.*] Τουτέστι, τὴν τοῦ ἀνδρὸς ἐξουσίαν καὶ κυριότητα, ἥπερ ὑπόκειται, ὀφείλει ἔχειν, καὶ ἐπιδείκνυσθαι ἐπ' αὐτῆς τῆς κεφαλῆς. Τοῦτο δὲ πῶς κατορθοῦται; Διὰ τοῦ κατακαλύπτεθαι. Διὸ καὶ αὐτὸ τὸ κατακάλυμμα εἰκότως ἂν *ἐξουσία* κληθείη, ὡς τῆς τοῦ ἀνδρὸς ἐξουσίας καὶ κυριότητος ἐνδεικτικὸν ὑπάρχον καὶ παραστατικόν. Τὸ δὲ, *Διὰ τοὺς ἀγγέλους*, τοῦτό μοι δοκεῖ ὑποδηλοῦν· Ἐπειδὴ γὰρ αἰτίαν τοῦ ὀφείλειν ὑποτετάχθαι τῷ ἀνδρὶ τὴν γυναῖκα φησὶν, ὅτι, *Οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα*, ἀνάπαλιν δέ, καὶ *διὰ τοῦτο* δεῖ ἔχειν αὐτὴν τὸ κατακάλυμμα, τὴν ἐπ' αὐτῆς ἐξουσίαν τοῦ ἀνδρὸς ὁμολογοῦσαν, ἐπαγαγὼν, *διὰ τοὺς ἀγγέλους*, δηλοῖ, ὅτι, εἰ καὶ μὴ τοὺς ἀνθρώπους αἰσχυνομένη, οὐκ ἐθέλει τοῦτο ποιεῖν, ἀλλ' οὖν αἰσχυνθήτω τοὺς ἀγγέλους, οἳ μάρτυρες καὶ ἐπόπται γεγένηνται τῆς ὑποταγῆς αὐτῆς. Αὐτοὶ γὰρ, εἰ καὶ μὴ ἄνθρωποι, ἐφορῶντες ἦσαν,

(α) Γένεσ. Β', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ αὐτὸν ἀπὸ τῆς γυναικὸς, ἀλλ' αὐτὴν ἐκ τοῦ ἀνδρὸς τὴν ἀρχὴν τῆς γενέσεως λαβοῦσαν. Ὁ δὲ Κλήμης ὁ Στρωματεὺς ἐν τρίτῳ τῶν Ὑποτυπώσεων, *ἀγγέλους* φησὶ τοὺς δικαίους καὶ ἐναρέτους. Κατακαλυπτέσθω οὖν φησὶν, ἵνα μὴ εἰς πορνείαν αὐτοὺς σκανδαλίσῃ· οἱ γὰρ ὄντως καὶ ἐν οὐρανοῖς ἄγγελοι, καὶ κατακεκαλυμμένην αὐτὴν βλέπουσιν. Εἰ τῆς τοῦ ἀνδρὸς, φησιν, ἐξουσίας καταφρονεῖς, κἂν τοὺς ἀγγέλους αἰδέσθητι, ἵνα μὴ αὐτοῖς ἐν ἴσῳ φαίνῃ τῇ ἐξυρημένῃ, καὶ οἷον ἀνταίρουσα κατὰ τῆς ὑπὸ θεοῦ σοι ἐπιτεθείσης ἐξουσίας (1). *Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς.*] Ἐπειδὴ πολὺ κατήγαγε τὴν γυναῖκα, εἰπὼν, ὅτι ἐκ τοῦ ἀνδρός ἐστι, καὶ δι' αὐτὸν γέγονε, καὶ ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν τελεῖ, νῦν διορθοῦται αὐτό. Μὴ γάρ μοι, φησὶ, τὴν πρώτην λέγε δημιουργίαν, ἀλλ' ἐλθὲ εἰς τὰ νῦν. Ἂν γὰρ τὰ νῦν ζητῇς, εἷς ἑκατέρου πρὸς τὴν ὕπαρξιν δέονται. Εἶτα ἐπάγει· *Ἐν Κυρίῳ.*] Τουτέστι, διὰ τὸν Κύριον· ἐπειδὴ αὐτὸς ἐδημιούργησεν, εἶναι αὐτοὺς ἀλλήλων αἰτίους· τὸ γὰρ πρῶτον αἴτιον, αὐτὸς ὁ Κύριος. *Καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός.*] Ὅρα σοφίαν Παύλου! Οὐκ εἶπεν, *Ἐκ τῆς γυναικὸς*, ἀλλὰ, *Διὰ τῆς γυναικὸς*, δηλονότι, καὶ αὐτοῦ τοῦ εἶναι διὰ τῆς γυναικὸς τὸν ἄνδρα αἴτιος ὁ ἀνὴρ, ὡς προκαταρκτικὸν αἴτιον αὐτὸς ὑπάρχων. Τὸ γὰρ πρῶτον ἡ γυνὴ ἐξ ἀνδρὸς, οὐχὶ ὁ ἀνὴρ ἐκ γυναικός· τὰ νῦν δὲ, εἰ καὶ ὁ ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ πάλιν διὰ γυναικὸς ὁ ἀνὴρ κατάρχει. Διὰ τοῦτο οὐκ εἶπεν, *Ἐκ τῆς γυναικὸς*, ἀλλὰ, *Διὰ τῆς γυναικὸς*, ἵνα ποιήσῃ πάλιν ἀρχὴν τὸν ἄνδρα (2). Ἐπεὶ οὖν εἶπεν αὐτοὺς ἑαυτῶν ποιητικοὺς, καὶ μι-

(1) Τινὲς τῶν νεωτέρων ἑρμηνευτῶν ἀγγέλους ὑπολαμβάνουσιν ἐνταῦθα τοὺς παρὰ τῶν ἐθνικῶν ἀρχόντων εἰς τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀποστελλομένους πρὸς τὸ μανθάνειν, εἰ πάντα ἐν τάξει γίνονται ἐν αὐταῖς κατασκόπους. Ὅτι δὲ οἱ κατάσκοποι λέγονται καὶ ἄγγελοι δῆλον ἐκ τῶν ἱερῶν Γραφῶν Οἱ παρὰ Ἰησοῦ τοῦ Ναυῆ ἀποσταλέντες εἰς τὸ κατασκοπεῦσαι τὴν Ἰεριχὼ δύο νεανίσκοι (Ἰησ. Ναυῆ Β', 1. Ϛ', 24.) λέγονται (Κεφ. Ϛ', 17) ἄγγελοι, ὡς καὶ Ἰακ. Β', 25· ἐν δὲ τῇ πρὸς Ἑβρ. ΙΑ', 31. λέγονται κατάσκοποι οἱ αὐτοί. Ὁ θεῖος Παῦλος ἐμετεχειρίσθη τ' ὄνομα ἀγγέλους, ἀντὶ τοῦ, κατασκόπους, ἴσως δικμετριότητα.

(2) « Ἡ μὲν γυνὴ, φησιν, ἐκ τοῦ ἀνδρός· ἔτι γὰρ παραμένει τῷ ἀνδρὶ τοῦτο ἀκέραιον, τὸ ἐξ αὐτοῦ εἶναι τὴν γυναῖκα· ὁ δὲ ἀνὴρ διὰ τῆς γυναικὸς τοῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρὸν παραμυθησάμενος τὴν γυναῖκα, ἐπάγει· *Τὰ πάντα ἐκ τοῦ θεοῦ.*] Τὸ γὰρ ἀρχέτυπον πάντων αἴτιον ὁ θεός. *Ἐν ὑμῖν αὐτοῖς κρίνατε.*] Πάλιν αὐτοὺς καθίζει δικαστὰς, ἐκ περιουσίας κατασκευάζων ὃ θέλει. *Πρέπον ἐστὶ γυναικί.*] Ἐνταῦθα φοβερώτερόν τι αἰνίττεται, ὅτι πρὸς τὸν θεὸν ἡ ὕβρις ἀνατρέχει.

14 Ἡ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν
15 ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι; γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστίν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου
16 δέδοται αὐτῇ. Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ.

Ὥστε, φησὶ, καὶ αὐτῇ τῇ φύσει πολεμεῖ ὁ μὴ πειθόμενος. *Ἀνὴρ ἐὰν κομᾷ, καὶ ἑξῆς.*] Πῶς ἀτιμία τῷ ἀνδρὶ τὸ κομᾶν; Ὅτι σχῆμα γυναικός ἀναλαμβάνει, καὶ ἄρχειν ταχθεὶς, τὸ τῆς ὑποταγῆς σύμβολον ἀναδέχεται. *Γυνὴ ἐὰν κομᾷ, καὶ ἑξῆς.*] Γυναικὶ δὲ δόξα ἡ κόμη· ὅτι φυλάττει τὴν οἰκείαν τάξιν· τιμὴ δὲ ἑκάστῳ ἡ τῆς τάξεως φυλακή. *Ὅτι ἡ κόμη ἀντὶ περιβολαίου.*] Ἐπεὶ οὖν ἔχει ἐκ τῆς φύσεως τὸ τῶν τριχῶν περιβόλαιον, ὀφείλει καὶ αὐτὴ περιβάλλεσθαι, ἵνα μὴ τοὺς φυσικοὺς ἀνατρέπῃ θεσμούς (1). *Δέδοται αὐτῇ.*] Τουτέστιν, ἀπὸ τῆς φύσεως. Ὅρα! ἐπειδὴ εἶπε τὸ ἀκατακάλυπτον ἔχειν τὸν ἄνδρα τὴν κεφαλὴν, καὶ ὀφείλειν μὴ κομᾶν, ἀλλ' ἔχειν τὸ ἐλεύθερον, πῶς τὴν γυναῖκα κατακεκαλυμμένην ἀφῆσι κομᾶν εἰς σύμβολον τῆς ὑποταγῆς. *Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι.*] Ἐπειδὴ πρὸς ἐθελοσόφους ἔγραφεν, οἳ διὰ συλλογισμῶν τὰ πάντα κατεσκεύαζον καὶ ἀνεσκεύαζον, φησὶν· Οὐ καιρὸς νῦν τοῦ φιλο-

τίστιν, ἡ γυνὴ διάκονός ἐστι τῇ γεννήσει τοῦ ἀνθρώπου· ἡ πλείων δὲ ἐνέργεια, τοῦ σπέρματός ἐστιν· ὥστε ὁ ἀνὴρ οὐκ ἂν λεχθείη κυρίως ἐκ τῆς γυναικός· ἀλλ' ἐκ τοῦ πατρὸς αὐτῆς διὰ τῆς γυναικός, ὡς διακόνου γενομένης πρὸς τὴν γέννησιν. Ἐπὶ δὲ τοῦ Κυρίου ὁ Παῦλος οὐχ οὕτως εἶπεν· ἀλλὰ, γενόμενον, φησιν, ἐκ γυναικός (Γαλάτ. Δ', 4.). Ἐρριζώθη γὰρ τῇ Θεοτόκῳ χρῆσθαι, ἵνα μὴ δῶ χώραν τοῖς αἱρετικοῖς λέγειν, ὅτι ὡς διὰ σωλῆνος, τῆς παρθένου, διῆλθεν· ἢ καὶ διότι, ἀνδρὸς μὴ παρεισελθόντος, καρπὸς τῆς κοιλίας αὐτῆς μόνης ἦν.» Θεοφύλακτος.

(1) «Ἵνα μὴ ἀπὸ τῆς φύσεως μόνης, ἀλλὰ καὶ ἀπὸ τῆς προαιρέσεως τὴν ὑποταγὴν ὁμολογῇ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεικεῖν· εἰ γὰρ ἀναισχυντεῖ τις πρὸς τὰ εἰρημένα, ἡμεῖς, καὶ ἡ ἐκκλησία, οὐκ ἔχομεν ἔθος τοιοῦτον. Ποῖον; Τὸ φιλονεικεῖν· ἀλλὰ τὸ πείθεσθαι τοῖς ἐπιτάγμασι τῶν διδασκάλων, μηδὲν ἀντιτείνοντες. Ἢ, ὅτι οὐκ ἔστιν ἔθος παρ' ἡμῖν, ἵνα ὁ μὲν ἀνὴρ κομᾷ καὶ καλύπτηται τὴν κεφαλήν, ἡ δὲ γυνὴ τοὐναντίον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλησμονικῆς.

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ
18 κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. Πρῶτον μὲν γὰρ, συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν· καὶ μέρος τι πιστεύω.
19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι
20 φανεροὶ γένωνται ἐν ὑμῖν. Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν·

Η αἰτία τοῦ νῦν κεφαλαίου αὕτη ἦν· Παρὰ τοῖς Κορινθίοις δεῖπνα κυριακὰ ἐγίνετο· ἐγίνετο δὲ οὕτω· Κατὰ ῥητὰς ἡμέρας, ἄγουν, ἑορτασίμους, μετὰ τὴν τῶν ἁγίων μυστηρίων μετάληψιν, ἐγίνετο δεῖπνα κοινὰ, τῶν πλουτούντων παρασκευαζόντων αὐτὰ, καὶ τοὺς πένητας συγκαλουμένων. Τοῦτο δὲ ἦν πρόφασις ἀγάπης καὶ ταπεινοφροσύνης. Ὑπὲρ οὗ τὸ τούτων τῶν ἀγαθῶν αἴτιον παρεφθείρετο, ἐδεήθη αὐτῶν τοῦ γράφαι. *Παραγγέλλων τοῦτο*, φησὶν, *οὐκ ἐπαινῶ ὑμᾶς*, ὅτι με ἠγάγετε ὅλως εἰς ἀνάγκην παραγγελίας τοιαύτης. Ὕδει γὰρ ὑμᾶς, μήτε δεηθῆναι εἰς τοῦτο παραινέσεως. *Οὐκ ἐπαινῶ*, φησι, τὸ συνέρχεσθαι ὑμᾶς· καίτοι ἐπαίνου ἄξιον ἦν· ἀλλ' αὐτοὶ αὐτὸ ψόγου καὶ κατηγορίας αἴτιον ἐποιήσατε. Ἅμα καὶ ἐντρέπων αὐτοὺς, ὅτι, ἐφ' οἷς ἐπαινεῖσθαι αὐτοῖς ἐνῆν, ἀντὶ τούτου παραγγελίας καὶ τὸ μὴ ἐπαινεῖσθαι ἑαυτοῖς ἐπεσπάσαντο. Διατὶ δὲ οὐκ ἐπαινεῖ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνέρχεσθαι; Ὅτι οὐκ ἐπὶ τῷ κρείττονι, ὥσπερ ἔδει, ἀλλ' ἐπὶ τῷ χείρονι συνήρχοντο, ἤτοι, ἐπὶ τῷ ἀτιμάζειν τοὺς ἀδελφοὺς καὶ καταισχύνειν, καὶ τὴν ἀλαζονείαν αὐτῶν καὶ γαστριμαργίαν ἐπιδείκνυσθαι. *Ὅτι οὐκ εἰς τὸ κρεῖττον.*] Ἵνατί οὐκ ἐπαινεῖς; Ὅτι, φησίν, *οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.* Δέον γὰρ ὑμᾶς καὶ ἐπιδοῦναι πρὸς ἀρετὴν, αὐτοὶ καὶ ἣν εἴχετε διεφθείρατε· *Πρῶτον μὲν γὰρ, συνερχομένων ὑμῶν, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν.*] Οὐκ εὐθὺς δὲ εἰς τὸν περὶ τοῦ κυριακοῦ δείπνου λόγον εἰσῆλθεν, ἀλλ' ἄνωθεν ἐκκόπτει τὸ κακόν. Καὶ γὰρ καὶ τὸ μὴ συνιέναι καὶ συνδειπνεῖν μετὰ τῶν πενήτων, σχίσμα ἦν. *Καὶ μέρος τι πιστεύω.*] Ἵνα μὴ εἴπωσι· Τί γὰρ, εἰ ψεύδονται οἱ διαβάλλοντες; οὔτε ὅτι πιστεύω, εἶπε· ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ποιήσῃ· οὔτε ὅτι ἀπιστῶ· ἵνα μὴ δόξῃ μάτην ἐπιτιμᾷν· ἀλλὰ, *Καὶ μέρος τι πιστεύω*, τουτέστι, κατά τινα τρόπον, ἢ μικρόν τι πιστεύω. *Δεῖ γὰρ καὶ αἱρέσεις.*] *Αἱρέσεις* ἐνταῦθα, οὐ τὰς δογματικάς φησι, τὰς περὶ πίστεως, ἀλλὰ τὰς περὶ τῶν τραπεζῶν. Προκρίνοντες γὰρ οἱ πλούσιοι τοὺς πλουσίους, τοὺς πένητας ἀφίασι. [Τί δέ ἐστι τὸ, *δεῖ*; ἀντὶ τοῦ, ἐνδέχεται, ἢ καὶ ὅτι ἀνάγκη ἐστὶν, ἀνθρώπους ὄντας ὑμᾶς, μὴ πάντας ὀρθοπαθεῖν· διὰ τοῦτο οὖν καὶ πιστεύω· ὥσπερ καὶ ὁ Κύριος εἶπεν· *Ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα* (α)· ἀντὶ τοῦ· Ἐπεὶ πονηροί εἰσιν ἐν τῷ κόσμῳ, ἀνάγκη καὶ σκάνδαλα εἶναι καὶ ἔρχεσθαι (1).] *Ἵνα οἱ δόκιμοι.*] Τὸ, *Ἵνα*, ἐνταῦθα οὐκ ἔστιν αἰτιολογικὸν, ἀλλὰ τῆς τῶν πραγμάτων ἐκβάσεως δηλωτικόν. Τὸ γάρ· Δεῖ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν· τοῦτό φησιν· Ἐπειδὴ ὑμεῖς οἱ πλούσιοι σχίζεσθε, παρεορῶντες τοὺς πένητας, ἐκβαίνει ὅτι οἱ πένητες δι' ὑπομονῆς εὑρίσκονται δόκιμοι. *Φανεροὶ γένωνται ἐν ὑμῖν.*] Οἱ γὰρ σφοδροὶ, μᾶλλον ἐν τοῖς τοιούτοις ἐκλάμπουσι καιροῖς· δηλοῖ

(α) Ματθ. ΙΗ', 7. (1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τοὺς πένητας, τοὺς τὴν ὑπεροψίαν τῶν πλουσίων γενναίως φέροντας, καὶ τοὺς ἔτι τὸ ἔθος διαφυλάττοντας. *Συνερχομένων οὖν ὑμῶν.*] Ἡ μὲν συνέλευσις, φησιν, ἀγάπην ἐνδείκνυται· πλὴν οὐ περαίνεται τὸ ἔργον. *Οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν.*] *Κυριακὸν* δὲ αὐτὸ καλεῖ, ὡς μίμησιν ὂν ἐκείνου τοῦ φρικτοῦ, ὃ ὁ Κύριος συνέφαγε τοῖς μαθηταῖς· ὡς εἰ ἔλεγε· Συνέρχεσθε μὲν ἐπὶ τὸ φαγεῖν κυριακὸν δεῖπνον, ἀλλ' οὐ ποιεῖτε· τοῦτο δηλοῖ τὸ, *Οὐκ ἔστι.*—*Κυριακὸν δεῖπνον*, τὸ δεσποτικὸν καλεῖ μυστήριον. Ἐκείνου γὰρ πάντες ὁμοίως μεταλαμβάνουσι, καὶ οἱ πενίᾳ συζῶντες, καὶ οἱ πλούτῳ κομῶντες, καὶ οἰκέται καὶ δεσπόται, καὶ ἄρχοντες καὶ ἀρχόμενοι. Ἔδει τοίνυν, φησὶ, καὶ τὰς κοινὰς τραπέζας εἶναι κοινὰς, καὶ τὴν δεσποτικὴν μιμεῖσθαι, ἣ πᾶσιν ὁμοίως πρόκειται· νῦν δὲ οὐχ οὕτω δρᾶτε· ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν· *δεῖπνον* δὲ κατὰ τὴν τότε συνήθειαν λέγει τὸ ἄριστον.

21 Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ
22 φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; Ἐν τούτῳ οὐκ ἐπαινῶ.

Τὸ κυριακόν, φησι, δεῖπνον, ἰδιωτικὸν πεποιήκατε, ἀφαιρούμενοι αὐτοῦ τὸ κάλλιστον τοῦτο καὶ σωτήριον ὄνομα. Ἕως μὲν γὰρ ἦν κοινὸν, καὶ κυριακὸν δεῖπνον ἐλέγετο· τὰ γὰρ τοῦ δεσπότου, πάντων κοινὰ τῶν δούλων. Εἶτα καὶ λαιμάργους αὐτοὺς ἀποκαλεῖ· *Προλαμβάνει γὰρ*, φησὶν, ἕκαστος *ἐν τῷ φαγεῖν*, καὶ οὐ καλεῖ, οὐδ' ἀναμένει τοὺς πένητας, ὥσπερ δεδοικὼς, μὴ οὐ χορτασθῇ. *Καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.*] Ὁ μὲν πένης πεινᾷ· ὁ δὲ πλούσιος μεθύει. Δύο ἐγκλήματα αὐτῶν ἐξαγγέλλει· καὶ τὸ παρορᾶσθαι τοὺς πένητας, καὶ τὸ αὐτοὺς μεθύειν. *Μὴ γὰρ οἰκίας οὐκ ἔχετε;*] Ὅλως γάρ, φησιν, ἐὰν μὴ κοινὰς ἔχητε τὰς τραπέζας ἐσθίοντες, διὰ τί μὴ εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς οἴκους ὑμῶν ἐσθίετε; Ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε;] Ὁ γὰρ ἰδιωτικὰ δεῖπνα ἐν ἐκκλησίᾳ ποιῶν, καὶ τὸν ἅγιον τόπον ὑβρίζει, καὶ κυριακὸν δεῖπνον οὐ ποιεῖ· ἀλλὰ μὴν καὶ τοὺς πένητας καταισχύνει. *Καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας.*] Οὐ γὰρ τοσοῦτον αὐτοῖς μέλει, φησίν, ὅτι λιμώττουσιν, ὅσον ὅτι καταφρονοῦνται περιορώμενοι καὶ μὴ συγκαλούμενοι. Ἢ, ὅτι καταισχύνονται, ἐλεγχόμενοι ἐπὶ τῷ μὴ αὐτοὶ ἔχειν. *Τί ὑμῖν εἴπω;*] Εἶτα μετὰ τὴν ἀπόδειξιν τοῦ πταίσματος, ἡμερώτερον αὐτοὺς διαλέγεται. Δέον γὰρ εἰπεῖν· Ταῦτα οὐ μυρίων θανάτων ἄξια; φησίν· *Ἐπαινέσω; Ἐν τούτῳ οὐκ ἐπαινῶ.*] Τί ὑμῖν δοκεῖ; ἆρα παραλόγως εἶπον ὑμῖν καὶ ἀρχόμενος τῆς ὑποθέσεως ταύτης, ὅτι οὐκ ἐπαινῶ; οὐχὶ καὶ ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀκολουθίας ἐμάθετε, ὅτι ἐν ἐπαινουμένῳ πράγματι, τῷ κυριακῷ δείπνῳ, ψόγου ὑμεῖς, ἀλλ' οὐκ ἐπαίνου, ἄξια διαπράττεσθε; Ὥστε ἐγώ, φησι, δικαίως οὐκ ἐπαινῶ, καίπερ καθ' αὑτὸ ἐπαινετοῦ μάλιστα τοῦ ἔργου τυγχάνοντος.

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέ-
δωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ
24 παρεδίδοτο, ἔλαβεν ἄρτον· καὶ εὐχαριστήσας, ἔκλασε,
καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα,
τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν
25 ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ
δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

[Τίνος ἕνεκεν τῶν μυστηρίων μέμνηται καὶ τῆς ἑσπέρας ἐκείνης; Σφόδρα ἀναγκαίως· ἵνα πείσῃ, ὅτι ὁ δεσπότης σου τῆς αὐτῆς πάντας ἠξίωσε τραπέζης, καὶ οὐ τὸν ὁμογενῆ παρῳθεῖς καὶ ἀπαξιοῖς (1);] *Ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου.*] Καὶ

(1) Ἐκ τῶν Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοι οὐ παρῆν τότε ὁ Παῦλος, πῶς οὖν λέγει· *Ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου;* Ἀλλὰ νῦν πάρεστι· καὶ γὰρ νῦν ὁμοίαν ἐκείνης ἡμῖν ὁ Κύριος παρατίθησι τράπεζαν· ἢ, Ἐδιδάχθην, φησί, ταῦτα ἀπὸ τοῦ Κυρίου· ἵνα ᾖ τὸ, *παρέλαβον*, ἀντὶ τοῦ, *ἐδιδάχθην*: *Ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο*, καὶ ἑξῆς.] Ταῦτα παρήγγειλεν, ἃ, λέγει, *παρέδωκα ὑμῖν*· ὡς εἰ ἔλεγεν, ὅτι, ὁ Κύριος ἡμῶν, κοινῆς τραπέζης οὐ μόνον τοὺς ἁγίους αὐτοῦ μαθητὰς, ἀλλὰ καὶ αὐτὸν τὸν προδότην αὐτῆς ἠξίωσε, τὸν ἐχθρὸν, τὸν παμπόνηρον· καὶ ὑμεῖς ἀπαξιοῦτε συνδειπνεῖν πένησι; καὶ ὅτι, σαυροῦσθαι μέλλων, ταύτην ἡμῖν τὴν μυσταγωγίαν ἐσχάτην παρέδωκεν· ἀλλ' ὑμεῖς αὐτὴν διεφθείρετε. —ΑΛΛΩΣ. Εἰ ὁ Κύριός, φησι, κοινωνεῖν σε τοῦ οἰκείου σώματος καὶ τῆς μυστικῆς τραπέζης οὐκ ἀπηξίωσε, σὺ τῶν σῶν ἀπαξιοῖς τὸν ὁμόδουλον κοινωνεῖν; Ἢ καὶ οὕτως· Εἰ ὁ Κύριος ἐπίσης σοι καὶ τῷ πένητι τοῦ οἰκείου σώματος καὶ αἵματος τὴν τράπεζαν καὶ τὸν κρατῆρα παρατίθησι, σὺ τολμᾷς τοῦτον τῆς σῆς ἀποσχίζειν τραπέζης καὶ ὑπερορᾶν; Εἰ ἐκεῖνος ὑχαρίστει, τὸ οἰκεῖον σῶμα μερίζων καὶ διδοὺς, σὺ οὐ πολλῷ μᾶλλον εὐχαρίστως καὶ μετὰ πλείστης χαρᾶς τῶν ἐκεῖθεν σοι δωρηθέντων κοινωνοὺς καὶ συνεσιάτορας λαμβάνεις τοὺς πένητας; —*Καὶ εὐχαριστήσας.*] Ὁ Κύριος, εὐχαριστήσας, ἔκλασε τὸν ἄρτον, καὶ ἔδωκε τοῖς μαθηταῖς. Εἰ τοίνυν ἐπ' εὐχαριστίᾳ καὶ οὐ προσέρχῃ, μηδὲν ἀνάξιον ποιεῖ τῆς εὐχαριστίας, μεθύων, καὶ λιμῷ καὶ ὕβρει διαφθείρων τὸν πένητα. *Λάβετε, φάγετε.*] Αὐτὸς μέν, φησι, κοινῇ δέδωκε πᾶσι, λέγων· *Λάβετε, φάγετε*· σὺ δὲ σαυτὸν ἀποσχίζεις τῶν πενήτων καὶ τοῦ τῆς ἐκκλησίας σώματος· ἐκεῖνος τὸ σῶμα αὐτοῦ ἐξίσης ἔδωκε· σὺ δὲ οὐδὲ τὸν κοινὸν ἄρτον δίδως ἐξίσης. *Ὡσαύτως καὶ τὸ ποτήριον.*] Ἦν δὲ καὶ ἐπὶ τῆς Παλαιᾶς ποτήρια, ἐν οἷς ἔσπενδον· καὶ γὰρ μετὰ τὸ θῦσαι, τὸ αἷμα τῶν ἀλόγων ἐν τοῖς ποτηρίοις δεχόμενοι, ἔσπενδον. Ἀντὶ οὖν τοῦ αἵματος τῶν ἀλόγων, ὃ τὴν παλαιὰν Διαθήκην ἐσφράγισε, τὸ ἴδιον αἷμα ὁ Κύριος δίδω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σι, τὴν καινὴν Διαθήκην ἐπισφραγίζων. Καλῶς δὲ, ἐν ποτηρίῳ, ἵνα δείξῃ τὴν Παλαιὰν τοῦτο προσκιαγραφοῦσαν. Διὰ τοῦτο εἶπε· *Τοῦτο τὸ ποτήριον ἡ καινὴ Διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι, οὐχὶ τῶν ἀλόγων ζώων· Ἐν τῷ ἐμῷ, φησὶ, αἵματι*, οὐκ ἐν τῷ τῶν ἀλόγων, ὡς ἐπὶ τῆς Παλαιᾶς.

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου
27 καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ
28 τοῦ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω·

Ὁ τὸν θάνατον καταγγέλλων τοῦ Κυρίου, πᾶσαν τὴν δωρεὰν, καὶ πᾶσαν τὴν φιλανθρωπίαν, καὶ πᾶσαν τὴν σωτηρίαν ἡμῶν συγκαταγγέλλει· *Ἄχρις οὗ ἂν ἔλθῃ.*] Τουτέστιν, ἐν τῇ δευτέρᾳ παρουσίᾳ.— Τὸ, *Ἄχρις οὗ ἂν ἔλθῃ*, ἐν ὑπερβατῷ ληπτέον· οἷον· Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, ἕως τότε τὸν θάνατον αὐτοῦ καταγγέλλετε. Ἀπὸ τότε γὰρ, οὔτε τῶν ἁγίων τούτων μυστηρίων μεταλῃψόμεθα, εἰς πλειοτέραν καὶ μυστικωτέραν πολιτείαν καὶ ἀπόλαυσιν ἀναγόμενοι. — *Ὃς ἂν ἐσθίῃ*, καὶ ἑξῆς.] Αὐτοὺς αἰνίττεται, δεικνὺς, ἀναξίως μεταλαμβάνοντας, ὡς περιορῶντας τοὺς πένητας. Ἐπειδὴ δὲ ἀναξίως, φησὶ, τῇ μεταλήψει τοῦ δεσποτικοῦ προσέρχεσθε σώματος, διὰ τοῦτο πολλοῖς συμβαίνουσι νόσοι τε καὶ πάθη καὶ θάνατοι. Πόθεν δέ ἐστι τὸ ἀναξίως ὑμᾶς προσέρχεσθαι; Ἔκ τε τῶν ἄλλων ἁμαρτημάτων, ὧν πράττετε, καὶ ἐκ τοῦ, συνερχομένους ὑμᾶς εἰς τὸ κυριακὸν δεῖπνον, ὑπερορᾶν τοὺς πτωχούς, δι' οὓς ἐγεγόνει τὸ συνέρχεσθαι. Διὰ γὰρ τοῦτο αὐτό τε τὸ κυριακὸν, ἰδιωτικὸν ποιοῦντες, ἐξυβρίζετε· καὶ τὴν ἐκκλησίαν, ἐν ᾗ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιῆσαι τὸ κυριακὸν δεῖπνον συνέρχεσθε, ἀτιμάζετε, γαστριμαργίας ἑαυτοῖς τράπεζαν ἐν αὐτῇ, ἀλλ' οὐ κυριακὸν δεῖπνον παρατιθέμενοι· καὶ τοὺς πένητας δὲ καταισχύνετε. Διὰ γοῦν ταῦτα ἀναξίους τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἑαυτοὺς παρασκευάζετε. *Ἔνοχος ἔσται.*] Τὸ, *ἔνοχος τοῦ σώματος καὶ τοῦ αἵματος*, τοῦτο δηλοῖ, ὅτι, καθάπερ παρέδωκε μὲν αὐτὸν ὁ Ἰούδας, παρῴνησαν δὲ εἰς αὐτὸν Ἰουδαῖοι, οὕτως ἀτιμάζουσιν αὐτὸν οἱ τὸ πανάγιον αὐτοῦ σῶμα χερσὶν ἀκαθάρτοις δεχόμενοι, ὡς οἱ Ἰουδαῖοι κρατοῦντες αὐτὸν τότε, καὶ ἐναγεῖ προσφέροντες στόματι. Διὰ δὲ τὸ εἰπεῖν πολλάκις, *Τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου*, δηλοῖ, ὅτι οὐκ ἄνθρωπος ψιλὸς ὁ θυόμενος, ἀλλ' αὐτὸς ὁ Κύριος, ὁ ποιητὴς πάντων, ὡς δῆθεν διὰ τούτων ἐκφοβῶν αὐτούς. Ἔνοχος δὲ γίνεται *τοῦ αἵματος τοῦ Κυρίου* ὁ ἀναξίως μεταλαμβάνων, ὡς καὶ αὐτὸς ὁ ἐκχέας αὐτό· οἱμὲν γὰρ τότε ἐφόνευσαν, αὐτὸς δὲ τῇ ἀναξιότητι νῦν αὐτὸν φονεύειν δοκεῖ. *Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν.*] Περὶ τοῦ κυριακοῦ μὲν δείπνου ἦν ὁ λόγος αὐτῷ· ἀλλ' ἐπειδὴ εἰς τὸν περὶ τῶν μυστηρίων ἐνέπεσε λόγον, κατά τινα λόγου ἀκολουθίαν, τὰ προκείμενα διορθοῦται. Τοῦτο γὰρ ἔθος τῷ Παύλῳ, πάντα τὰ παρεμπίπτοντα διορθοῦν. Δοκιμαζέτω, φησὶν, *ἄνθρωπος ἑαυτόν*, οὐχ ἕτερος τὸν ἕτερον· (τοῦτο γὰρ κρῖναι ἐστίν·) ἀλλ' αὐτὸς ἑαυτόν. Οὐχ ἕτερόν, φησι, δικαστὴν ἐφιστῶ σοι· ἀλλ' ἑαυτὸν σεαυτῷ. Δίκασον οὖν τῷ συνειδότι σου, καὶ οὕτω πρόσιθι.

29 Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ
ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυ-
30 ρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρ-
31 ρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς
32 διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ
ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ
33 κατακριθῶμεν. Ὥστε, ἀδελφοί μου, συνερχόμενοι
34 εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. Εἴ δέ τις πει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νᾷ, ἐν οἴκῳ ἐσθιέτω· ἵνα μὴ εἰς κρίμα συνέρχησθε. Τὰ δὲ λοιπά, ὡς ἂν ἔλθω, διατάξομαι.

Οὐ παρὰ τὴν τῶν μυστηρίων φύσιν ταῦτα, λέγει, ἀλλὰ παρὰ τὴν τῶν προσιόντων ἀναξιότητα. *Μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.*] Τουτέστι, μὴ ἐξετάζων, μηδὲ ἐννοῶν τῶν προκειμένων τὸ μέγεθος. Εἰ γὰρ μάθοιμεν, τίς ποτέ ἐστιν ὁ προκείμενος, οὐ δεηθησόμεθα ἑτέρου, ἀλλ' αὐτὸ τοῦτο ἡμᾶς νήφειν παρασκευάσει. *Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ κοιμῶνται ἱκανοί.*] *Διὰ τοῦτο.* Ποῖον; Διὰ τὸ ἀναξίως προσιέναι. Τί οὖν; εἶποι τις ἄν· οἱ ἄνοσοι γηράσκοντες, οὐχ ἁμαρτάνουσιν, ἐπεὶ μὴ κοιμῶνται πρώρροι; Ναί, φησιν· ἀλλ' οὐχ αὕτη μόνη ἀνταπόδοσις τοῖς ἀναξίως προσιοῦσι, τὸ ἀποθνήσκειν πρὸ καιροῦ· ἀλλ' εἰσὶ καὶ ἐκεῖ χαλεπώταται τιμωρίαι. Τὸ δὲ, *ἱκανοί*, τινὲς ἀντὶ τοῦ, *πολλοί*, ἐνόησαν· ἢ, ἀρκετοὶ εἰς διόρθωσιν τοῦ ἁμαρτήματος τούτου ἀπέθανον. *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν.*] Οὐκ εἶπεν, εἰ ἑαυτοὺς ἐκολάζομεν, ἀλλὰ μόνον, *εἰ ἐκρίνομεν*· τουτέστιν, Εἰ μόνον κατεγινώσκομεν ἑαυτῶν ἁμαρτανόντων, καὶ τῶν ὧδε, καὶ τῶν ἐκεῖ ἀπηλλάγημεν ἂν τιμωριῶν. Ὁ γὰρ ἑαυτοῦ καταγινώσκων, ὡς δεῖ, οὐκ ἂν εἰς τὴν αὐτὴν ἁμαρτίαν πολλάκις ἐμπέσοι. *Κρινόμενοι δὲ ὑπὸ Κυρίου.*] Ἐπεὶ οὖν, φησι, τὸ οὕτω κοῦφον οὐ ποιοῦμεν, τουτέστι, τὸ καταγινώσκειν ἑαυτῶν, οὐδὲ οὕτως ἀφειδῶς ἡμῖν ὁ Θεὸς κέχρηται, ἀλλὰ ὧδε παιδεύει, ἵνα ἐκεῖ ἐλεήσῃ. *Παιδευόμεθα.*] Οἷον, νουθετούμεθα. Οὐ γὰρ εἶπε, *Τιμωρούμεθα*, ἀλλὰ, *Παιδευόμεθα*, ὡς νουθεσίας καὶ διορθώσεως γινομένης. *Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.*] *Κόσμον* φησὶ τοὺς ἐν ἀπιστίᾳ καὶ ἁμαρτίᾳ ἀνθρώπους. Φησὶ δὲ, ὅτι οἱ πιστοὶ καὶ Θεῷ περισπούδαστοι, ὧδε ἀπολαμβάνουσι τὰς τιμωρίας διὰ τὰς ἁμαρτίας αὐτῶν, ἵνα μὴ μετὰ τῶν λοιπῶν ἐκεῖ δώσωσι δίκην. *Ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν.*] Εἰς τὸν πρότερον ἦλθε λόγον. Ὅρα δέ· οὐκ εἶπε, Τοῖς πένησι μεταδίδοτε, ἀλλὰ, τὸ σεμνότερον, *Ἀλλήλους ἐκ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέχεσθε, ὡς κοινῶν ὄντων τῶν ἐκεῖσε εἰσφερομένων ἐδεσμάτων, καὶ δεῖ ἀναμένειν τὴν κοινὴν συνέλευσιν· ὡς ὅγε τοῦτό, φησι, μὴ ποιῶν, ἀνάξιός ἐστι τῆς μυστικῆς μεταλήψεως. — *Ὥστε, ἀδελφοί μου, ἀλλήλους ἐκδέχεσθε.*] Διατί; Ἵνα μὴ ἀναξίως δειχθῆτε τοῦ δεσποτικοῦ σώματος καὶ τοῦ αἵματος μετέχοντες· ἵνα μὴ ἀναξίως μετέχοντες, ἔνοχοι τῆς ἀναιρέσεως τοῦ σώματος αὐτοῦ, καὶ τῆς ἐκχύσεως τοῦ αἵματος γενόμενοι, ἀπαραίτητον τὸ κρίμα ἕξοιτε· ἵνα μὴ, κρίματι τηλικούτῳ περιπεπτωκότες, νόσοις καὶ πάθεσι καὶ θανάτῳ ἐκδαπανηθείητε· ἵνα μὴ, ἂν μὴ τούτοις ἀποδῶτε τὴν ἔκτισιν, εἰς ἀπέραντον κόλασιν σὺν τοῖς ἀπίστοις ἐκδοθείητε (Φωτίου).—*Εἰ δέ τις πεινᾷ.*] Γαστριμαργίας αὐτῶν καταγινώσκει, καὶ ὡς παιδίοις δυσαναισχετοῦσι κέχρηται, ἀπὸ τῆς ἐκκλησίας εἰς τοὺς ἰδίους οἴκους παραπέμπων. *Ἵνα μὴ εἰς κρίμα συνέρχησθε.*] Τουτέστιν, ἵνα μὴ εἰς κόλασιν ὑμῶν συνέρχησθε, τὴν ἰδίαν ὑμῶν ἐκκλησίαν ὑβρίζοντες, καὶ τοὺς πένητας περιορῶντες· δι' ἀγάπην γὰρ συνέρχεσθε εἰς τὰ δεῖπνα· ταύτης δὲ μὴ οὔσης, βέλτιον ὑμᾶς οἴκοι σιτεῖσθαι. Τοῦτο δέ φησιν, ἐφελκόμενος αὐτοὺς πρὸς τὸ συνέρχεσθαι. ὡς δεῖ. *Τὰ δὲ λοιπά, ὡς ἂν ἔλθω, διατάξομαι.*] Ἢ περὶ αὐτοῦ τούτου τοῦ πράγματος φησὶ τοῦτο, οἷον, τοῦ κυριακοῦ δείπνου, καὶ ἐν ἄλλοις κεφαλαίοις διορθώσεως δεομένου· ἢ περὶ ἑτέρου πράγματος, δεομένου, οὐ ῥημάτων, ἀλλὰ τῆς αὐτοῦ παρουσίας.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ διαφορᾶς χαρισμάτων καὶ οἰκονομίας αὐτῶν· ἐν ᾧ, περὶ ἀγάπης, ὡς μεγίστου χαρίσματος· περὶ προφητείας, ὡς μείζονος γλώσσης.

ΚΕΦ XII, 1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 θέλω ὑμᾶς ἀγνοεῖν. Οἴδατε, ὅτι, ὅτε ἔθνη ἦτε,
πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγό-
3 μενοι. Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι
θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς
δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι
ἁγίῳ.

Η ὑπόθεσις τοῦ χωρίου αὕτη· Παρὰ Κορινθίοις οἱ πιστεύσαντες, πνευματικῶν ἠξιοῦντο χαρισμάτων· καὶ οἱ μέν, γλώσσαις ἐλάλουν, οἱ δὲ, προεφήτευον, οἱ δὲ, ἑτέρων ἐπετύγχανον· ἄτινα χαρίσματα διχοστασίας πρόφασις αὐτοῖς ἐγίνετο, νηπίοις οὖσιν. Ὅ,τε γὰρ τὸ μεῖζον χάρισμα λαβὼν, ἐπῆρτο κατὰ τῶν τὰ ἐλάττονα ἐχόντων· ὅ,τε τὸ ἔλαττον λαβὼν, διεφθονεῖτο τῷ τὸ μεῖζον λαβόντι. Ἔπειτα καὶ μάντεις ἦσαν παρ' αὐτοῖς καὶ ψευδοπροφῆται· ἀλλ' οὐκ ἦν αὐτοῖς δῆλον, τίς μὲν ὁ ἐν πνεύματι ἁγίῳ προφητεύων, τίς δὲ ὁ ἐν δαίμονι μαντευόμενος. Ἐπεὶ οὖν καὶ τοῦτο αὐτοὺς ἐτάραττε, λέγει σημεῖα μάντεως καὶ προφήτου, καὶ πάντα τὰ κατ' αὐτοὺς διορθοῦται. *Περὶ τῶν πνευματικῶν.*] Τουτέστι, τῶν χαρισμάτων τοῦ πνεύματος. *Οἴδατε, ὅτι, ὅτε ἔθνη ἦτε.*] Περὶ τῶν ἐκ πνεύματος ἁγίου χαρισμάτων λέγων, δεῖξαι θέλει, τίς μὲν τῶν πνευματοφόρων, τίς δὲ τῶν μάντεων ἡ διαφορὰ καὶ ἐπίγνωσις, καί φησιν· *Οἴδατε*, οὐ δεῖσθε μαθεῖν παρ' ἐμοῦ, *ὅτι, ὅτε ἔθνη ἦτε*, τουτέστι, τοῖς ἀπίστοις καὶ ἔθνεσιν ἐγκατελέγεσθε, *πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.* Ὅτε τοίνυν ἔθνη ἦτε, ἤγουν, συναριθμούμενοι τοῖς ἔθνεσι, πρὸς τὰ εἴδωλα ἀπήγεσθε μαντευόμενοι. Καλῶς δὲ τὸ, *ὡς ἂν ἤγεσθε*· τουτέστιν, ὅπως ἔτυχε, μήτε σώφρονος ἐντὸς ὄντες λογισμοῦ ἢ σχήματος, μήτε ἑκόντες ἀπιόντες, ἀλλὰ μετὰ βίας ἄκοντες ἐνθουσιῶντες καὶ μαινόμενοι. Ἀπήγοντο δὲ παρὰ τοῦ ἐν αὐτοῖς δαίμονος, οὐδὲν ἐπιεικὲς ἔχοντες, ἀλλὰ πάντα μανιώδη. *Ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν, καὶ ἑξῆς.*] Μία μὲν διαφορὰ προφητῶν, ὅτι οἱ μὲν καθεστη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κότες καὶ μάλιστα σωφρογοῦντες, προλέγουσι τὰ ἐσόμενα· οἱ δὲ ψευδοπροφῆται, ἐξεστηκότες καὶ μαινόμενοι, καὶ ὥσπερ βίᾳ ὑπὸ τῶν κινούντων δαιμόνων ἀγόμενοι. Δευτέρα δὲ, ὅτι οἱ μὲν, οὐδὲν βλάσφημον οὐδὲ ἀπαίσιον φθέγγονται, ἀλλὰ καὶ θεολογοῦσιν ὡς ἄριστα, καὶ πάντα σεμνῶς λέγουσιν· οἱ δὲ, βλασφήμους τε καὶ ἀπηχεῖς φωνὰς ἀπερεύγονται. *Καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.*] Εἶπε σημεῖον μάντεως, τὸ ἐξεστηκότας αὐτοὺς βίᾳ ἕλκεσθαι πρὸς τὰ εἴδωλα, καὶ προλέγειν δῆθεν τὰ ἐσόμενα· λέγει καὶ προφήτου σημεῖον. Ποῖον τοῦτο; Ὅτι οὐδεὶς ἔχων πνεῦμα θεοῦ, ἀναθεματίζει καὶ ὑβρίζει τὸν Κύριον. Καὶ πάλιν, οὐδεὶς αὐτὸν δύναται Κύριον εἰπεῖν, μὴ ἔχων πνεῦμα ἅγιον.

4 Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα·
5 καὶ διαιρέσεις διακονιῶν εἰσὶ, καὶ ὁ αὐτὸς Κύριος·
6 καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

Μετὰ τὸ δεῖξαι τὴν διαφορὰν τοῦ προφήτου καὶ τοῦ ψευδοπροφήτου, λοιπὸν εἰς τὸν περὶ χαρισμάτων ἦλθε λόγον, καί φησι· *διαιρέσεις δὲ*, καὶ οἷον μερίδες *χαρισμάτων εἰσί*· τῷ δὲ, *χαρισμάτων*, εἰπεῖν, ἐπαίδευσε τὸν δοκοῦντα τὸ ἔλαττον ἔχειν χάρισμα, μὴ ἀλγεῖν, ὅτι οὐκ ἔλαβεν ὅσον ἕτερος· οὐ γὰρ ὀφειλή ἐστιν, ἀλλὰ χάρισμα καὶ δωρεά. Εἰ οὖν ἐδωρήθη σοι, φησὶν, χάριν ἔχε ὑπὲρ ὧν ὅλως εἴληφας, καὶ μὴ ἄλγει ὑπὲρ ὧν ἔλαττον εἴληφας. Πάλιν δὲ τῷ προσθεῖναι, *τὸ δὲ αὐτὸ πνεῦμα*, πλέον παραμυθεῖται. Εἰ γὰρ καὶ ἔλαττόν σου, φησὶ, τὸ χάρισμα, ἀλλὰ τοῦ ἑνὸς ἐστὶ πνεύματος δωρεὰ, καὶ τὰ μικρὰ καὶ τὰ μεγάλα.—ΑΛΛΩΣ. *Χαρίσματα* μὲν αὐτὰ καλεῖ, τὴν φιλοτιμίαν δεικνὺς τοῦ δωρήματος· *διακονίας* δὲ, διδάσκων μὴ ἐπαίρεσθαι τούτοις τοὺς ἀξιωθέντας, ἀλλὰ μετὰ συστολῆς καὶ μετριοφροσύνης ὡς εἰς ὑπηρεσίαν καὶ διακονίαν τῶν πλησίον κληθέντας, οὕτως ἐντυγχάνειν τοῖς προσιοῦσιν· *ἐνεργήματα* δὲ πάλιν, αὐτὴν δηλῶν τὴν πρᾶξιν. Ὅρα ἀκριβῶς, πῶς τὸ πανά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γιον Πνεῦμα, τρανῶς καὶ *Κύριον* καὶ *Θεὸν* ἀνεκήρυξεν. Εἰπὼν γάρ· *Διαιρέσεις δὲ χαρισμάτων εἰσὶν, τὸ δὲ αὐτὸ πνεῦμα·* καὶ πάλιν ἐπὶ τοῦ πράγματος ἐπαγαγών· *Καὶ διαιρέσεις διακονιῶν εἰσι, ὁ δὲ αὐτὸς Κύριος·* εἶτα ἔτι ἐπὶ τοῦ αὐτοῦ μείνας νοήματος, καὶ εἰπών· *Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς,* ἐπισυνάπτει λέγων· *Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον,* δεικνὺς, ὅτι καὶ τὸ *Θεὸς* καὶ τὸ *Κύριος* ἐπὶ τοῦ ἁγίου ἔταξε Πνεύματος. Πάντα γὰρ ὅσα προεῖπεν, εἰς τὴν τοῦ πνεύματος συνῆξεν ὑπόστασιν, οὐ μόνον διὰ τοῦ εἰπεῖν· *Ἑκάστῳ δίδοτε ἡ φανέρωσις τοῦ πνεύματος·* ἀλλὰ καὶ διὰ τῆς ἐφεξῆς τῶν χαρισμάτων ἀπαριθμήσεως. Πάντα γὰρ διὰ τοῦ πνεύματος δίδοσθαι διατείνεται· καὶ συγκεφαλαιούμενος πάλιν λέγει· *Πάντα δὲ ταῦτα τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἐνεργεῖ.* Ὥστε φανερὸν, ὅτι τὸ πανάγιον Πνεῦμα, καὶ Κύριον καὶ Θεὸν λαμπρῶς καὶ διαῤῥήδην ἐνταῦθα ὁ θεῖος Παῦλος θεολογεῖ. Εἰ δέ τις τὸ μὲν *Πνεῦμα* ἐπὶ τοῦ ἁγίου Πνεύματος ἐκλάβοι, τὸ δὲ *Κύριος* καὶ *Θεὸς*, τὸ μὲν, ἐπὶ τοῦ υἱοῦ, τὸ δὲ, ἐπὶ τοῦ πατρός· καὶ οὕτως οὐδὲν ἧττον ἥτε κυριότης καὶ ἡ θεότης ἐξ αὐτῶν τούτων μαρτυρηθήσεται τῷ ἁγίῳ Πνεύματι. Πῶς καὶ τίνα τρόπον; Πρῶτον μὲν, ὅτι διαιρεῖν τὰ χαρίσματα εἰπὼν τὸ πανάγιον Πνεῦμα, τὸ αὐτὸ τοῦτο πράττειν καὶ τὸν Κύριον καὶ τὸν Θεόν φησιν. Ὥστε ἅπερ ἐνεργεῖ τὸ Πνεῦμα, ταῦτα καὶ ὁ Κύριος τῇ κυριότητι, καὶ ὁ Θεὸς τῇ θεότητι ἐνεργεῖ. Εἰκότως ἄρα τὰ αὐτὰ ἐνεργοῦντι τῷ πνεύματι, καὶ ἡ κυριότης ὑπάρξει τοῦ υἱοῦ, καὶ ἡ θεότης τοῦ πατρός. Ὥστε τὸ Πνεῦμα, καὶ Κύριος καὶ Θεός. Καί μοι δοκεῖ καὶ ὁ θεσπέσιος Παῦλος διὰ τοῦτο ἐπὶ μὲν τοῦ Πνεύματος, τῷ ὑποστατικῷ ὀνόματι χρήσασθαι· ἐπὶ δὲ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς, τοῖς κοινοῖς· ἵνα ἐξῇ τοῖς συνορῶσιν, ἀπὸ τῆς ταυτότητος τῆς ἐνεργείας, τὴν ταυτότητα τῆς οὐσίας, καὶ τὰ αὐτὰ ὀνόματα τὸ Κύριος καὶ Θεὸς, κατὰ τὴν ταυτότητα τῆς οὐσίας ἐπὶ τοῦ Πνεύματος ἐκλαμβάνειν. Οὐ μόνον δὲ ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν εἰρημένων ἡ κυριότης καὶ θεότης ἀποδείκνυται τοῦ Πνεύματος, ἀλλὰ καὶ ἐκ τῆς ἐπαγομένης συγκεφαλαιώσεως. Φησὶ γὰρ καὶ ἐνταῦθα πάλιν σαφέστερον, ὅτι *Πάντα ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ.* Πῶς; Αὐτοκρατορικῶς καὶ κυρίως. *Καθὼς γὰρ βούλεται,* φησι. Ὥσε, εἰ πάντα, ἃ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐνεργεῖ, ταῦτα καὶ τὸ Πνεῦμα ποιεῖ, καὶ θεϊκῶς καὶ κυρίως ποιεῖ· (ὡς γὰρ βούλεται, οὕτω ποιεῖ· βούλεται δὲ δηλονότι, ὥσπερ ὁ Κύριος καὶ ὁ Θεός· οὐ γάρ ἐστιν ἀντίξουν, ἄπαγε! βούλημα·) φανερόν, ὡς καὶ Κύριος ἂν εἴη τὸ Πνεῦμα καὶ Θεός. Αὐτοκρατορικῶς τε γὰρ τὰ πατρὸς καὶ υἱοῦ ἔργα ποιεῖ, καὶ ὡς Κύριος καὶ Θεὸς ποιεῖ, καὶ πάντα ποιεῖ. Ἐπισημειῶσαι δὲ δεῖ καὶ τοῦτο, ὡς ἐν πορίσματος μοίρᾳ ἀναφανέν, πῶς τὸ αὐτὸ Πνεῦμα ἐνεργεῖν ἀποφαινόμενος ἅπαντα, ἄλλοτε μὲν τῇ, *Κατὰ,* προθέσει κέχρηται, ἄλλοτε δὲ τῇ, *Διά·* καὶ πάλιν ἐνίοτε τῇ, *Ἐν,* δεικνὺς, ὅτι παρ' αὐτῷ ἡ τῶν προθέσεων χρῆσις ἀδιάφορος. *Κατ' αὐτὸ γάρ φησι,* καὶ *Δι' αὐτοῦ,* καὶ *Ἐν αὐτῷ,* περὶ τοῦ αὐτοῦ διαλαμβάνων ἁγίου Πνεύματος. Καὶ τούτοις εἰς ἔλεγχον χρήσῃ τῶν λεσχηνευόντων περὶ τοῦ, *Δι' αὐτοῦ,* καὶ, *Ἐξ αὐτοῦ,* καὶ, *Ἐν αὐτῷ,* καὶ διὰ τῆς ἑτερότητος τῶν λεξειδίων, εἰς βλασφήμους ἐννοίας ἐξαγομένων (Φωτίου).—*Τὸ δὲ αὐτὸ πνεῦμα.*] Οὐχ οἷόν τε τὸν ὑπὸ τοῦ θείου Πνεύματος ἐνεργούμενον, ἀλλότριον τῆς θείας φύσεως τὸν Χριστὸν ἀποφῆναι· ἀλλ' οὐδ' αὖ πάλιν δυνατὸν αὐτὸν εἰλικρινῶς ὁμολογῆσαι θεὸν, μὴ ὑπ' ἐκείνης τῆς χάριτος φωτιζόμενον. *Καὶ διαιρέσεις διακονιῶν εἰσιν.*] Ἵνα μὴ, *χαρισμάτων* μόνον ἀκούσας ὁ τὸ ἔλαττον λαβὼν χάρισμα, ἀλγῇ, ὡς ἐλαττωθεὶς περὶ τὴν δωρεὰν, ἐπάγει, *διακονιῶν,* δεικνὺς καὶ ἐπίπονόν τι αὐτοῖς δεδόσθαι λειτούργημα. εἰ τοίνυν τὸ πλέον ἔχει, κατὰ τὸ ἐπίπονον ἔχει τὸ πλέον. *Καὶ διαιρέσεις ἐνεργημάτων.*] *Ἐνεργημάτων,* τουτέστι, χαρισμάτων· ἰσοδυναμεῖ γὰρ τὸ *χάρισμα* καὶ ἡ *διακονία* καὶ ἡ *ἐνέργεια·* ὅτι καὶ ἴσα ἐστὶ τὰ παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύμα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος δωρούμενα. *Ὁ δὲ αὐτός ἐστι θεός.*] Πάνυ δογματικῶς τὸ χωρίον ἐξέθετο. Ἀπαριθμησάμενος γὰρ τὴν ἁγίαν Τριάδα διαιρετῶς, συνάπτει αὐτὴν ἀσυγχύτως. Ἡ γὰρ αὐτὴ καὶ διαιρεῖται ταῖς ὑποστάσεσι, καὶ συνάπτεται τῇ οὐσίᾳ, ὡς καὶ Γρηγόριος ὁ θεολόγος φησί· Τρία ταῖς ὑποστάσεσιν· ἓν τῇ θεότητι. Πάνυ δὲ ἀκριβὴς ἡ ἐπαγωγή· *Ὁ δὲ αὐτός θεός ἐστιν, ὁ ἐνεργῶν τὰ πάντα.* Ὁ γὰρ ἐνεργεῖ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, ταῦτα θεὸς ἐνεργεῖ· ἐν γὰρ ταύταις ταῖς ὑποστάσεσιν ἡ θεότης, ἤγουν, αὗται ἡ θεότης.

7 Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος
8 πρὸς τὸ συμφέρον. ὯΙ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως,
9 κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ
10 πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

Ἑκάστῳ δὲ *δίδοται ἡ φανέρωσις τοῦ πνεύματος.*] *Φανέρωσιν τοῦ πνεύματος*, τὰ σημεῖα καλεῖ· διὰ γὰρ τῶν σημείων ἡ ἐπιστασία τοῦ παρακλήτου διεδείκνυτο. *Πρὸς τὸ συμφέρον.*] Ἵνα μὴ, χαρισμάτων μόνον ἀκούσας, ὁ τὸ ἔλαττον χάρισμα ἔχων, ἀδημονῇ, καὶ λέγῃ· Τί γὰρ, εἰ καὶ εἷς ἐστι θεὸς, πλὴν ἐγὼ τὸ ἔλαττον ἔχω; ἐπάγει, *Πρὸς τὸ συμφέρον*, δεικνὺς, ὅτι καὶ αὐτὸ τὸ λαβεῖν ἔλαττον, συμφέρει. *ὯΙ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται.*] Ἀπαριθμεῖται τὰ χαρίσματα, δεικνὺς πάντα τῆς αὐτῆς ὄντα πηγῆς, τοῦ πνεύματος· ἵνα καὶ ὁ τὸ ἔλαττον ἔχων μὴ ἀλγῇ, καὶ ὁ τὸ μεῖζον, μὴ ἐπαίρηται· ἐπειδὴ ἐκ τοῦ αὐτοῦ πνεύματος κἀκεῖνα καὶ ταῦτα. *Λόγος σοφίας.*] Λόγος σοφίας, οἷον εἶχον ὁ Παῦλος, ὁ Πέτρος, ὁ Ἰωάννης, καὶ οἱ κατ' αὐτούς· διὸ καὶ πρῶτον αὐτὸ τέθεικε. *Λόγος δὲ γνώσεως* ἐστὶν, ὃν εἶχον οἱ ἰδιῶται πιστοὶ, εἰδότες μὲν αὐτοὶ, ἄλλους δὲ διδάξαι μὴ ἰσχύοντες. *Ἑτέρῳ δὲ πίστις.*] *Πίστιν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέ φησιν, οὐ τὴν τῶν δογμάτων, ἀλλὰ τὴν τῶν σημείων, περὶ ἧς ἤτουν οἱ ἀπόστολοι, *Πρόσθες ἡμῖν*, λέγοντες, *πίστιν* (α)· οὐ γὰρ ἂν οὐκ εἶχον πίστιν οἱ ἀπόστολοι· ἀλλ' ἐπειδὴ ἤκουσαν, *Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως*, ἤτησαν ταύτην τὴν πίστιν εἰς τὸ ἐνεργεῖν θαύματα. — *Πίστιν* ἐνταῦθα οὐ τὴν κοινὴν ταύτην λέγει, ἀλλὰ τὸ ἰδικὸν χάρισμα· (ἔστι γὰρ καὶ χάρισμα πίστεως καλούμενον·) πίστιν δὲ καὶ τὴν τῶν δογμάτων.—*Χαρίσματα ἰαμάτων.*] Καλεῖ μὲν *χαρίσματα ἰαμάτων*, τῶν χωλῶν τὸν δρόμον, τῶν ἀῤῥώστων τὴν ὑγείαν, τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ ὅσα τοιαῦτα· *ἐνεργήματα* δὲ *δυνάμεων*, τὴν τοῦ Ἐλύμα τυφλότητα (β), τὸν Ἀνανίου καὶ Σαπφείρας θάνατον (γ), τοὺς τῷ σατανᾷ παραδοθέντας, ἵνα παιδευθῶσι, μὴ βλασφημεῖν (δ). Ὁ τὸ χάρισμα τῶν ἰαμάτων ἔχων, ἰᾶτο τοὺς ἀσθενοῦντας· ὁ δὲ τὰ ἐνεργήματα τῶν δυνάμεων, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας, καὶ τιμωρεῖσθαι τοὺς ἀπιστοῦντας καὶ διαῤῥέφοντας ἰσχύει. *Ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων.*] Τουτέστι, τὸ εἰδέναι, τίς ὁ προφήτης, καὶ τίς ὁ ψευδοπροφήτης· τίς ὁ πνευματικὸς, καὶ τίς ὁ μὴ τοιοῦτος· ἐπειδὴ καὶ μάντεις ἦσαν κατ' ἐκεῖνον τὸν καιρὸν τοὺς ἀνθρώπους ἐξαπατῶντες. *Γένη γλωσσῶν.*] Τοῦτο ἐνόμιζον οἱ Κορίνθιοι μεῖζον εἶναι πάντων, διὰ τὸ ἐν πρώτοις τοῦτο λαβεῖν τοὺς ἀποστόλους. Τόδ' οὐχ οὕτως ἔχει· τὸ γὰρ τῆς διδασκαλίας χάρισμα μεῖζον, καὶ ἡ ἑρμηνεία τῶν γλωσσῶν μείζων τοῦ ἁπλῶς γλώσσαις λαλεῖν. Οἰκειότατα δὲ ἐπὶ τῶν γλωσσῶν *γένη* εἶπε, τὰς διαφορὰς αὐτῶν γένη καλέσας. *Ἑρμηνεία γλωσσῶν.*] Ἢ ὅτι ἑτέρων γλώσσαις λαλούντων, οὗτοι ἡρμήνευον, ἢ ὅτι μετὰ τοῦ λαλεῖν καὶ ἡρμήνευον, ὅπερ οὐκ ἴσχυον ποιῆσαι οἱ γλώσσαις μόνον λαλοῦντες.

11 Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦ-

(α) Λουκ. ΙΖ', 5. 6. (β) Πραξ. ΙΓ', 11. (γ) Πραξ. Ε', 5. 10.
(δ) Α' Τιμ. Α', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 μα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς, πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

Πάλιν τὴν αὐτὴν παραμυθίαν τίθησιν, ὅτι τὸ αὐτὸ πνεῦμα ἐνεργεῖ πάντα. Ἐπιστομίζει δὲ μᾶλλον τὸν ἀπαρεσκόμενον ἐπὶ τῇ διανομῇ· καθὼς γὰρ βούλεται, φησιν, οὕτω καὶ ποιεῖ· καὶ σὺ τίς εἶ ὁ μὴ ἀρεσκόμενος; Διὰ δὲ τοὺς Πνευματομάχους σημείωσαι τὸ ῥητόν· ἐκεῖνοι γὰρ ἀνοσίως φασὶ, καὶ τὸ ἅγιον Πνεῦμα ἐνεργεῖσθαι παρὰ τοῦ πατρός. Ἀλλὰ ἔνθεν ὅρα, ὅτι οὐ τῶν ἐνεργουμένων, ἀλλὰ τῶν ἐνεργούντων ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, δεσποτικῶς, καὶ θεϊκῶς, καὶ αὐτοδυνάμως. Πάντα γὰρ ταῦτά, φησιν, *ἐνεργεῖ*, καὶ, *καθὼς βούλεται*, οὐ καθὼς κελεύεται. Ὥστε δεσπότης καὶ θεός. Ὅμοιον καὶ ἀλλαχοῦ φησι· Τὸ *πνεῦμα ὅπου θέλει πνεῖ* (α). *Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι.*] Ἀπὸ τοῦ περὶ τὸ σῶμα παραδείγματος βούλεται δεῖξαι, ὅτι πάντες ἓν ἐσμὲν, εἰ καὶ διάφορα ἔχομεν χαρίσματα. Εἰ οὖν ἓν ἐσμὲν, ποῦ λοιπὸν ἔχει λόγον τὸ περὶ διαφορᾶς χαρισμάτων περιφέρεσθαι καὶ λογοπραγεῖν; *Πολλὰ ὄντα, ἕν ἐστι σῶμα.*] Πάντα γὰρ τὰ μέλη συντελεῖ εἰς τὸ εἶναι ἓν καὶ ὁλόκληρον τὸ σῶμα. *Οὕτω καὶ ὁ Χριστός.*] Οὕτω, φησὶ, καὶ ὁ Χριστὸ. πολλὰ μὲν ἔχει μέλη, τοὺς καθ' ἕκαστον πιστοὺς, ἓν δὲ σῶμα, τὴν κοινότητα τῆς ἐκκλησίας. Ἐκ γὰρ πολλῶν συγκειμένη, ἕν ἐστι σῶμα, κεφαλὴν ἔχουσα τὸν Χριστὸν, ὡς εἶναι τὴν ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν αὐτοτελὲς σῶμα.

13 Καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶ-
· μα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ πάντες εἰς ἓν
14 πνεῦμα ἐποτίσθημεν. Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν
15 ἓν μέλος, ἀλλὰ πολλά. Ἐὰν εἴπῃ ὁ ποῦς· Ὅτι

(α) Ἰωαν. Γ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ εἰμὶ χεὶρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ
16 τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; Καὶ ἐὰν εἴπῃ
τὸ οὖς· Ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς, οὐκ εἰμὶ ἐκ τοῦ
σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώμα-
17 τος; Εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, ποῦ ἡ ἀκοή;
18 εἰ ὅλον ἀκοὴ, ποῦ ἡ ὄσφρησις; Νυνὶ δὲ ὁ θεὸς
ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι,
19 καθὼς ἠθέλησεν. Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος,
20 ποῦ τὸ σῶμα; Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ
σῶμα.

Ἓν ἐνὶ πνεύματι, οἷον, *δι ἑνὸς, ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν.*] Εἶτα ἐπάγει καὶ τὸ κατασκευάσαν πάντας ἓν σῶμα, δηλαδὴ τὸ εἶναι ἓν τὸ πνεῦμα, καὶ πάντας ὑπὸ τοῦ ἑνὸς βεβαπτίσθαι πνεύματος *εἰς ἓν σῶμα*, τουτέστιν, εἰς τὸ ποιῆσαι πάντας σῶμα ἕν. Τέως δὲ διὰ δύο τούτων παραμυθεῖται τὸν τὸ ἔλαττον ἔχοντα χάρισμα, τῷ τε εἰπεῖν, ὅτι ἓν σῶμα πάντες ἐσμὲν, καὶ τῷ εἰπεῖν, διὰ τοῦ αὐτοῦ πνεύματος καὶ τῆς αὐτῆς κολυμβήθρας ἓν ἡμᾶς γεγονέναι. *Εἰς ἓν πνεῦμα ἐποτίσθημεν.*] Δι ἑνός, φησι, πνεύματος ἐσχήκαμεν τῶν χαρισμάτων τὴν δωρεάν. *Ἐποτίσθημεν* δὲ εἶπεν, ἀπὸ μεταφορᾶς τῶν δένδρων, τῶν ἐκ τῆς αὐτῆς ἀρδευομένων πηγῆς. Ἓν οὖν πνεῦμα ἐπότισεν ἡμᾶς, καὶ ἤρδευσε, καὶ ἓν σῶμα εἶναι ἐποίησε. *Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.*] Καὶ μὴ θαυμάσῃς, φησὶν, εἰ, τοσοῦτοι ὄντες, ἓν σῶμα ἐσμὲν; ὁπότε καὶ ἐπὶ τοῦ ἀνθρωπίνου σώματος, ἀπὸ πολλῶν μελῶν ἓν ἐστιν εὑρεῖν τὸ σῶμα. Τὰ δὲ πρὸς ἐκείνους ἁρμόδια ῥήματα, ὡς ἐκ προσώπου τῶν μελῶν τέθεικε, δεῖξαι θέλων, ὅτι, εἰ καὶ ἔλαττόν τις ἔχει χάρισμα, οὐ παρὰ τοῦτο ἐκβέβληται τοῦ εἶναι μέλος τοῦ σώματος. Καὶ γὰρ καὶ ἐπὶ τοῦ ἀνθρωπίνου συγκρίματος, καὶ τὸ ἔλαττον καὶ τὸ τιμιώτερον, εἰς ἓν συντελεῖ σῶμα. *Ἐὰν εἴπῃ ὁ πούς.*] Ἐάν τοῦτο εἴπῃ· ὅτι οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τὸ εἰπεῖν, *Οὐκ εἰμὶ*, ἤδη ἀπέστη ἐκ τοῦ σώματος. Οὕτως οὐδὲ σύ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπειδὴ τόδε ἔχεις τὸ χάρισμα, καὶ οὐχὶ τόδε, ἤδη πέπαυσαι τοῦ εἶναι σῶμα ἐν σὺν τοῖς ἄλλοις. *Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός.*] Ἐπειδὴ ὀφθαλμοῦ καὶ ποδὸς ἐμνήσθη, καὶ ἀκοῆς καὶ χειρός· ἐκ δὲ τούτου ἐλύπησεν, αἰνιζάμενος καὶ αὐτοὺς ἐλάττωσίν τινα ἔχειν, ὥσπερ καὶ ἐπὶ τῶν μελῶν, νῦν δείκνυσιν οὕτως εἶναι συμφέρον, διάφορα εἶναι χαρίσματα. Ὥσπερ γὰρ τὸ σῶμα, διὰ τοῦτο ἐστὶ σῶμα, ἐπειδὴ ἐκ διαφόρων συνέστηκε μελῶν, οὕτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ, τουτέστι τὴν ἐκκλησίαν, τοῦτο εἶναι ποιεῖ σῶμα, ἡ διαφορὰ τῶν χαρισμάτων καὶ διακονιῶν. *Νυνὶ δὲ ὁ θεὸς ἔθετο.*] Ὅρα κἀνταῦθα, πῶς τρανώτερον, καὶ χωρὶς τινος ἀμφιβολίας, τὸ Πνεῦμα *Θεὸν* ἀνεκήρυξεν. Εἰπὼν γὰρ πρὸ βραχέος, ὅτι, Πάντα ταῦτα τὸ Πνεῦμα ἐνεργεῖ, νῦν πάλιν περὶ τῶν αὐτῶν λέγων, φησίν· *Ὁ θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε·* μέλη γὰρ, τοὺς τὰ χαρίσματα τὰ διάφορα παρὰ τοῦ πνεύματος εἰληφότας ὠνόμασε. Κἀκεῖ μὲν ἔλεγεν, *Ἐνεργεῖ, διαιροῦν ἑκάστῳ, καθὼς βούλεται·* ὧδε δὲ, *Ἔθετο ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν.* Εἰ οὖν ὁ θεὸς οὕτως ἠθέλησεν, ἄτοπον τὸ ἀδημονεῖν, ἐφ' οἷς ὁ θεὸς ἠθέλησε. Τὸ δὲ, *Καθὼς ἠθέλησεν*, ἄνω περὶ τοῦ πνεύματος εἶπεν· *Ἓν ἐνὶ πνεύματι ὑμεῖς πάντες·* καὶ, Πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν. Καὶ ἐπειδὴ εἰς ἓν πνεῦμα πάντες, καὶ τοῦ πνεύματος τὸ θέλημα, πάντως θεὸς τὸ πνεῦμα. Ἢ καὶ περὶ ὅλης τῆς Τριάδος νοήσεις· οὐ γάρ ἐστι διαφορὰ τῆς ὁμοουσίου καὶ πανυμνήτου Τριάδος. *Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;*] Αὐτὸ τὸ ποιοῦν ἐκείνοις πρόφασιν μικροψυχίας, τὸ εἶναι διάφορα τὰ χαρίσματα, αὐτὸς εἰς πρόφασιν ἑνώσεως λαμβάνει. Εἰ γὰρ μὴ εἴχετέ, φησι, διάφορα τὰ χαρίσματα, οὐδὲ σῶμα ἦτε· σῶμα δὲ μὴ ὄντες, οὐδὲ ἰσότιμοι ἂν ἦτε. Ἡ γὰρ ἰσοτιμία καὶ ἕνωσις, ἐκ τοῦ εἶναι ἓν σῶμα ἐστίν.

21 Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· Χρείαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

22 ὑμῶν οὐκ ἔχω. Ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα
μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγ-
23 καῖά ἐστι· καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώμα-
τος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ
τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν
24 ἔχει· τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει.

Πείσας ἐν τοῖς ἔμπροσθεν, μὴ ἀθυμεῖν τοὺς τὰ ἐλάττονα ἔχοντας χαρίσματα, νῦν καταστέλλει τὸ φρόνημα τῶν τὰ μείζονα ἐχόντων. Ὥσπερ γὰρ ὁ ὀφθαλμὸς οὐ δύναται λέγειν τοῖς λοιποῖς μέλεσι· Χρείαν ὑμῶν οὐκ ἔχω· (ἑνὸς γὰρ ἐνδέοντος, ἅπαν χωλεύει τὸ σῶμα·) οὕτως οὐδὲ οἱ τὰ μείζονα εἰληφότες χαρίσματα, δύνανται ἐπαίρεσθαι κατὰ τῶν τὰ ἐλάττονα ἐχόντων, ὡς οὐ χρῄζοντες αὐτῶν· ἑνὸς γαρ ἀποβολὴ, χωλεύειν ποιεῖ τὸ πλήρωμα τῆς ἐκκλησίας, οὐκ αὐτάρκων ὄντων τῶν τὰ μείζονα ἐχόντων χαρίσματα μόνων οἰκοδομεῖν αὐτήν. Καλῶς δὲ εἶπε τὸ, *οὐ δύναται*· κἂν γὰρ πολλὰ θέλῃ, φησὶν, εἰπεῖν· *Χρείαν σου οὐκ ἔχω· ἀλλ' οὐχ οὕτως ἔχει φύσεως τὸ πρᾶγμα. Ἀλλὰ πολλῷ μᾶλλον*, καὶ ἑξῆς.] Νῦν δεῖξαι θέλει, ὅτι καὶ χρειωδέστεροι τάχα εἰσὶν οἱ τὰ δοκοῦντα ἐλάττονα τῶν χαρισμάτων εἰληφότες. Καλῶς δὲ εἶπε, *τὰ δοκοῦντα*, δεικνὺς, ἐν δοκήσει μόνῃ τὴν ἐλάττωσιν εἶναι, οὐ μὴν ἐν ἀληθείᾳ. Τίνα δέ ἐστι ταῦτα, *Τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν*; Φασί τινες περὶ τῶν ὀφθαλμῶν αὐτὸν τοῦτο εἰρηκέναι, οἳ ἀσθενεῖς μέν εἰσιν ὡς πρὸς τὰ λοιπὰ μέλη, μέγα δέ τι συντελοῦσι τῷ σώματι, εἰ καὶ δοκοῦσιν ἀσθενεῖς εἶναι. Ὥσε, εἰ ἀσθενεῖς οἴεσθε ἑαυτοὺς, μὴ ἀθυμεῖτε· ἀναγκαῖοι γὰρ ἐστέ. Ὅτι δὲ οὐδὲ ἀσθενεῖς ὑμεῖς, ἀλλ' ἐκεῖνοι μᾶλλον, οἷς ἡ οἴησις, δῆλον ἐντεῦθεν, φησὶν· Ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, πλέον ἀξιοῦμεν προνοίας καὶ βοηθείας, καὶ ἑξῆς. *Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι.*] Πανταχοῦ τὸ, *δοκοῦμεν*, ἐπιλέγει, δεικνὺς ἀνθρωπίνην εἶναι ταύτην τὴν οἴησιν. Τὸ δὲ, *ἀτιμότερα*, τινὲς φασὶν αὐτὸν περὶ τῶν ποδῶν εἰρηκέναι, οἳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν μὲν κάτω χώραν εἰλήφασι, θάλπονται δὲ καὶ προνοοῦνται παρ' ἡμῶν πλέον σχεδὸν τῶν λοιπῶν μελῶν. Ἐπ' αὐτῶν γὰρ ἐστήρικται ἅπαν τὸ σῶμα. Ἢ γ' οὖν τοῦτο λάβε περὶ τῶν γεννητικῶν μορίων, ἃ δοκεῖ μὲν ἀσχήμονα εἶναι καὶ ἄτιμα, πλὴν ἕλοιτ' ἄν τις ὅλον ἔχειν τὸ σῶμα γυμνὸν, ἢ ταῦτα. Διὸ ἐπάγει· *Τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν, καὶ εὐσχημοσύνην περισσοτέραν ἔχει.*—Ἔστι δὲ τοῦτο οἰκειότερον καὶ οὕτως ἐκλαβεῖν· Οὐ συμβαίνει ὑμῖν ἐλάττους εἶναι, ἐκ τοῦ δοκεῖν ἐλάττονος χαρίσματος τυχεῖν. Οὐ πάντως γὰρ, εἴ τις ἔτυχε μείζονος χαρίσματος, ἤδη καὶ μείζων· ἐπεὶ καὶ πολλοὶ τῶν εἰληφότων, τῶν μηδ' ὅλως εἰληφότων ἐλάττους εἰσί· καὶ τί λέγω ἐλάττους; ἀλλὰ καὶ ἄθλιοι παντελῶς, ὡς ἐκεῖνοι οἱ λέγοντες· Κύριε, οὐ τῷ σῷ ὀνόματι τάδε καὶ τάδε ἐποιήσαμεν; οἷς ἀπεῖπεν ὁ δεσπότης, μήτε εἰδέναι αὐτοὺς ποτέ· (α)· οὐ γὰρ καλῶς ἐχρήσαντο τῷ χαρίσματι· ἀλλὰ καὶ ἀποχωρεῖν κατὰ κεφαλὴν ἐπέταττεν· οἷος ἦν καὶ ὁ μὴ ἀκολουθῶν τῷ Χριστῷ καὶ σημεῖα ποιῶν (β)· οἷος αὐτὸς ὁ Ἰούδας. Αὐτὸς δὲ ταῦτα μὲν τέως οὐ καταλέγει· ἀπὸ τῶν σωματικῶς δὲ εἰρημένων αὐτῷ κατασκευάζει καὶ τοῦτο, ὅτι οὐκ ἀνάγκη μείζους νομίζειν τοὺς λογιζομένους μεῖζον εἰληφέναι χάρισμα· τοὐναντίον δ' ἔσθ' ὅτε καὶ ἐλάττους. Φησὶ γὰρ, ὅτι τοῖς ἀσχήμοσιν ἡμῶν εὐσχημοσύνην περισσοτέραν περιτιθέαμεν, καὶ τοῖς ἀτιμοτέροις, τιμὴν περισσοτέραν. Μὴ ἄρα διὰ τοῦτο καὶ τιμιώτερα καὶ εὐσχημονέστερα τῶν τιμιωτέρων καὶ εὐσχημονεστέρων εἰσίν; Οὕτω, φησὶ, καὶ ὁ θεὸς ἐνίοτε τῷ ὑστεροῦντι πλεῖον δίδωσι χάρισμα· τῷ δὲ αὐτάρκως καὶ ἱκανῶς ἔχοντι ῥυθμίσαι ἑαυτὸν, ἔλαττον. Μὴ οὖν ὑμῖν ἀθυμητέον, ἔλαττον δοκοῦσιν ἔχειν χάρισμα· ἐπεὶ καὶ ἡμεῖς αὐτοὶ, τὰ εὐσχημονέστερα καὶ τιμιώτερα ἡμῶν μέλη, ἅτε οὐ πολλῆς ἔχοντα χρείαν εὐσχημοσύνης, ἐφ' ἧς εἰσὶ κοσμιότητος καὶ σεμνότητος μένειν

(α) Ματθ. Ζ', 22. 23. (β) Μαρκ. Θ', 38.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐῶντες, τοῖς ἀτιμοτέροις καὶ ἀσχημονεστέροις τιμὴν καὶ εὐσχημοσύνην περιτιθέαμεν. Ὥστε ἐκ τοῦ ἔλαττον λαβεῖν τινα, μᾶλλον ἐστὶν εὐθυμεῖν καὶ εὐχαριστεῖν, ὅτι οὕτως αὐτὸν κατ' ἀρχὰς ἔπλασεν, ὁ πάντα σοφῶς καὶ ἀκαταλήπτως ποιῶν θεὸς ἡμῶν, ὥςε ἐλαττόνων δεῖσθαι εἰς αὐτάρκειαν καὶ τελείωσιν. Ταῦτα δέ φησι, τούς τε ἔλαττον δοκοῦντας ἔχειν, ἐπὶ τῇ ἀθυμίᾳ παρακαλῶν, καὶ τοὺς πλέον λαβεῖν οἰομένους, τῆς οἰήσεως κατασπῶν. Τί φυσᾷς ἑαυτὸν, πλέον ἔχειν δοκῶν; Ἀσθενείας σου τοῦτο μαρτύριον ἐστὶν, ὅτι πλειόνων ἐδεήθης. Τί καταπίπτεις, ἔλαττον ἔχειν δοκῶν; Ἰσχύος σου τοῦτο τεκμήριον, ὅτι ἐλαττόνων σε δεηθέντα παρέδειξεν ὁ θεός. Καὶ σκόπει, πῶς ἤρξατο μὲν κατὰ βραχὺ πρὸς τὴν χρείαν εἰσάγειν αὐτοὺς, κἂν ἀνίσων ἐδόκουν τῶν χαρισμάτων τυχεῖν. Ἔπειτα δὲ καὶ πλέον ἐπῆρε τοὺς ἐλαττοῦσθαι δοκοῦντας· μᾶλλον γὰρ οἱ ἀθυμοῦντες δέονται παραψυχῆς, ἢ οἱ ἀλαζονευόμενοι φειδοῦς καὶ ἐπιεικοῦς ἐπιτιμήσεως. Εἶτα ταῦτα εἰπὼν, πάλιν συμβιβάζει αὐτοὺς εἰς τὴν ὁμοτιμίαν καὶ ὁμόνοιαν· *Ἵνα μὴ ᾖ, φησὶ, σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη*, καὶ ἑξῆς. (Φωτίου).—*Τὰ δὲ εὐσχήμονα ἡμῶν.*] Ἵνα μή τις εἴπῃ· Καὶ ποῖος οὗτος λόγος, προνοεῖν τῶν ἀσχημόνων καὶ ἀτίμων, καταφρονεῖν δὲ τῶν εὐσχημόνων; Οὐ καταφρονοῦμεν, φησίν· ἀλλ' ἐκεῖνα οὐδενὸς ἐξ ἡμῶν δέονται, ὡς φύσει τὸ εὔσχημον ἔχοντα. Παραμυθεῖται δὲ πάλιν διὰ τούτου τοὺς ἔχοντας τὰ μείζω χαρίσματα.

24 Ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι
25 περισσοτέραν δοὺς τιμὴν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι
26 τὰ μέλη. Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.

Ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα.] Εἰ συνεκέρασεν, οὐκοῦν καὶ ἓν ἐποίησε· τὸ γὰρ κιρνώμενον, ἓν γίνεται. Καὶ ποῦ λοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πὸν ἐν τῷ ἑνὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον; *Τῷ ὑστεροῦντι.*] Ὅρα· οὐκέτι εἶπε, τῷ ἀτίμῳ, ἢ τῷ ἀσχήμονι· ἀλλὰ, *τῷ ὑστεροῦντι*, δεικνὺς οὐκ ὄντα φύσει ἄσχημα ἢ εὔσχημα, ἤγουν ἔντιμα, ἢ ἄτιμα. *Περισσοτέραν δοὺς τιμήν.*] Ἐπὶ μὲν τοῦ σώματος τοῦτο εἶδοι τις ἄν· ἐπὶ δὲ τῶν ἀνθρώπων, πῶς ἐστὶν εὑρεῖν τοὺς ἀτιμοτέρους καὶ ἀσθενεῖς πλείονος κηδεμονίας ἀπολαύοντας; Καὶ φαμὲν, ὅτι ὁ θεὸς τῶν ἀσθενεστέρων μᾶλλον προνοεῖ. Καὶ ὅρα τὸν λῃστὴν, πρὸ τῶν ἀποστόλων εἰς τὸν παράδεισον εἰσελθόντα (α), καὶ τὸ ἀπολωλὸς ἐκ τῆς ἑκατοντάδος πρόβατον, ὃ καὶ εὑρεθὲν ἐπὶ τῶν ὤμων ἐβαστάχθη (β), καὶ τοὺς τῆς ἑνδεκάτης ἐργάτας, οἱ πρῶτοι τὸν μισθὸν κομίζονται (γ), βαστάζοντος καὶ συγκαταβαίνοντος τοῦ θεοῦ τοῖς ἀσθενέσι μᾶλλον. Διὸ καί φησι, *περισσοτέραν δοὺς τιμήν, ἵνα* ἐκ τούτου παραμυθήσηται τοὺς τὸ ἔλαττον ἔχοντας χάρισμα. *Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι.*] Τὸ γὰρ εἶναι ὅλως σῶμα, ποιεῖ τὸ μὴ ἀποσχίζεσθαι· ὡς εἴγε ἀποσχισθείη, τὸ πᾶν ἀπόλωλε. Τοῦτο δέ φησι, φοβῶν τοὺς τὰ μεγάλα ἔχοντας χαρίσματα καὶ καταστέλλων· ὡς ἤγε τῶν ἐλαττόνων ἐν χαρίσμασιν ἀποροίτησις καὶ σχίσις, καὶ αὐτοὺς ἐκείνους λυμανεῖται, κινδυνεύοντας μηκέτι εἶναι σῶμα Χριστοῦ. *Ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη.*] Οὐ μόνον, φησὶν, ἵνα μὴ ἀποσχίζηται τὰ μέλη· ἀλλ' ἵνα καὶ ἡ ἀγάπη ᾖ πολλὴ καὶ ὁμόνοια. Ὥστε προνοητέον, φησὶ, καὶ μεριμνητέον ἀλλήλων· ἐν γὰρ τῇ ἑνώσει τὸ εἶναι ἔχομεν. *Καὶ εἴτε πάσχει ἓν μέλος.*] Εἰ γὰρ ἡνῶσθαι δεῖ ἀκριβῶς, καὶ προνοεῖν ἀλλήλων τὰ μέλη, εὔδηλον ὡς καὶ τὰ ἀποβαίνοντα, εἴτε πάθη, εἴτε εὐδοκιμήσεις, κοιναὶ εἶναι ὀφείλουσιν· ἡ γὰρ ἀποῤῥαγὴ τῶν ἐλαττόνων, καὶ σοί, φησι, τῷ μείζονι ὄντι, λυμαίνεται, ὥσπερ καὶ τοῖς ὀφθαλμοῖς ὁ πους ἀποκοπείς, ἤγουν, τὸ ἔλαττον μέρος τοῦ σώματος, τοῦ δοκοῦντος κρείττο-

(α) Λουκ. ΚΓ', 43. (β) Λουκ. ΙΕ', 4. 5. (γ) Ματθ. Κ', 9. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νος. *Εἴτε δοξάζεται ἓν μέλος.*] Ἡ κεφαλὴ στεφανοῦται, καὶ πᾶσι τοῖς μέλεσι δόξα καὶ χαρὰ γίνεται.

27 Ὑμεῖς δὲ ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.
28 Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων,
29 ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες, ἀπόστολοι; μὴ πάντες, προφῆται; μὴ πάν-
30 τες, διδάσκαλοι; μὴ πάντες, δυνάμεις; μὴ πάντες, χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι;

Εἶτα, ἵνα μὴ λέγωσι· Καὶ τί πρὸς ἡμᾶς τὸ τοῦ σώματος καὶ τῶν μελῶν παράδειγμα; δείκνυσι καὶ αὐτοὺς ὄντας σῶμα Χριστοῦ καὶ μέλη· εἰ δὲ τὸ ἀνθρώπινον σῶμα οὐ δεῖ στασιάζειν· (λύσεως γὰρ ἡ στάσις αἰτία·) πολλῷ μᾶλλον τὸ Χριστοῦ. *Καὶ μέλη ἐκ μέρους.*] Ἅπαντες μὲν οἱ ἁπανταχοῦ πιστοί, σῶμα εἰσὶ Χριστοῦ· ὑμεῖς δὲ οἱ Κορίνθιοι, *μέλη ἐκ μέρους*· οὐ γὰρ ὑμεῖς ἐστὲ μόνοι τὸ ὅλον σῶμα, ἀλλὰ μέλη ἐστέ· καὶ οὐδὲ πολλά, ἀλλὰ *ἐκ μέρους* (1). Δείκνυσι δὲ διὰ τούτου ἤδη κατεσπαρμένον ἐν τῷ πλείονι κόσμῳ τὸ εὐαγγέλιον καὶ τὴν πίστιν. *Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς.*] Καὶ οὓς μὲν ἀποστόλους, φησὶν, ἔθετο καὶ ἐποίησεν ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ. Καλῶς δὲ τὸ, *πρῶτον*, ἐπὶ τῶν ἀποστόλων τέθεικεν· οὗτοι γὰρ οἱ τῆς πίστεως ἀρχηγοί. Τοὺς δὲ προφήτας δευτέρους λέγει, οὐ τοὺς παλαιοὺς λέγων, ἀλλὰ τοὺς ἐν ἑκάστῃ ἐκκλησίᾳ κατ' ἐκεῖνο καιροῦ προφητεύοντας, οἷον ὁ Ἄγαβος,

(1) «Τί δέ ἐστι τὸ, ἐκ μέρους; Τόγε εἰς ὑμᾶς ἥκειν, καὶ ὅσον εἰκὸς ἐξ ὑμῶν οἰκοδομηθῆναι μέρος. Ἐπειδὴ γὰρ εἶπε, σῶμα· τὸ δὲ πᾶν σῶμα ἦν, οὐχὶ ἡ παρὰ Κορινθίοις ἐκκλησία, ἀλλ' ἡ πανταχοῦ τῆς οἰκουμένης, διὰ τοῦτο ἔφησεν, ἐκ μέρους· τοῦτέστιν, ὅτι ἡ ἐκκλησία ἡ παρ' ὑμῖν μέρος ἐστὶ τῆς πανταχοῦ κειμένης ἐκκλησίας, καὶ τοῦ σώματος, τοῦ διὰ πασῶν συνισταμένου τῶν ἐκκλησιῶν· ὥστε οὐχὶ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν εἰρηνεύειν ἂν εἴητε δίκαιοι, εἴγε παντός ἐστε μέλη τοῦ σώματος.» Χρυσόστομος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἄλλοι πολλοὶ (α). Εἰ οὖν ἦσαν προφῆται, πῶς ὁ Κύριος φησίν· *Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου* (β); Καὶ φαμὲν, ὅτι τοὺς παλαιοὺς φησὶν ὁ Κύριος, τοὺς τὴν παρουσίαν αὐτοῦ προφητεύσαντας.—*Δεύτερον προφήτας.*] Προφήτας λέγει ὁ μέγας ἀπόστολος, οὐ τοὺς πρὸ τῆς χάριτος, ἀλλὰ τοὺς ἐν τῇ χάριτι· ἐξ ὧν ἦν ὁ Ἄγαβος, καὶ οἱ ἐν Ἀντιοχείᾳ προφητεύσαντες, καὶ αὐτὸς ὁ θεῖος ἀπόστολος. (Θεοδωρήτου).—*Τρίτον διδασκάλους.*] Καὶ γὰρ οὗτοι τὰ μέγιστα ὠφελοῦσι, καὶ εἰκότως εἰσὶν εὐθὺς μετὰ τοὺς προφήτας. *Εἶτα δυνάμεις.*] Τὰ ἐνεργήματα δηλονότι τῶν δυνάμεων. Αἱ μὲν δυνάμεις, καὶ ἰῶντο τοὺς ἀσθενεῖς, καὶ ἐκόλαζον τοὺς ἀντιλέγοντας, ὡς ὁ Παῦλος τὸν Ἐλύμαν (γ), καὶ ὁ Πέτρος τὸν Ἀνανίαν (δ)· οἱ δὲ τὰ χαρίσματα τῶν ἰαμάτων ἔχοντες, μόνον ἰῶντο· διὰ τοῦτο καὶ προτιμᾷ τὰς δυνάμεις. *Ἀντιλήψεις, κυβερνήσεις.*] Τὸ ἀντέχεσθαι τῶν ἀσθενούντων, καὶ προστατεῖν αὐτῶν, ὅπερ καὶ αὐτὸ χάρισμα λέγει, εἰ καὶ τῶν ἡμετέρων δεῖται πόνων. Τὸ δὲ αὐτὸ τῇ ἀντιλήψει ἡ *κυβέρνησις*, ἢ τοιοῦτόν τι ὅμοιον. *Γένη γλωσσῶν.*] Τούτου τοῦ χαρίσματος ἦσαν ἠξιωμένοι οἱ Κορίνθιοι, καὶ μέγα ἐπ' αὐτῷ ἐφρόνουν· διὸ καὶ καταγέλλων αὐτῶν τὴν οἴησιν, ἔσχατον τέθεικεν. Εἶτα, ἵνα μὴ τῇ τάξει ταύτῃ, καὶ τῷ φανερῶσαι τὰ μείζονα καὶ τὰ μικρότερα χαρίσματα, πᾶσι λύπην ἐμβάλῃ τοῖς τὰ ἐλάττονα ἔχουσιν, ἄκουσον τί φησι· *Μὴ πάντες, ἀπόστολοι; μὴ πάντες, προφῆται;* Εἰ γὰρ πάντες ἓν ἦτε, οὐκ ἦτε διάφορα μέλη. Εἰ πάντες, φησὶν, ἦτε προφῆται, ποῦ οἱ ἀπόστολοι; εἰ πάντες ἀπόστολοι, ποῦ οἱ διδάσκαλοι; Ὥστε ἡ τάξις αὕτη καὶ συμφέρουσα καὶ ὠφελιμωτέρα, ἵνα ἕκαστος τοῦ πλησίον δέηται.

31 Ζηλοῦτε δὲ τὰ χαρίσματα, τὰ κρείττονα. Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

(α) Πραξ. ΙΔ', 28. ΙΓ', 1. (β) Δουκ. ΙϚ', 16.
(γ) Πραξ. ΙΓ', 11. (δ) Πραξ. Ε', 1—5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦ. ΧΙΙΙ, 1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγο-
2 να χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐ-
3 δέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

Ῥέμα ἠνίξατο, ὅτι αὐτοὶ αἴτιοι τοῦ μεγάλα μὴ λαβεῖν χαρίσματα, διὰ τὴν ῥᾳθυμίαν αὐτῶν· τοῦτο γὰρ τὸ, *ζηλοῦτε*, ἐμφαίνει. Καὶ οὐκ εἶπε, τὰ μείζονα, ἀλλὰ, *τὰ κρείττονα*, τουτέστι, τὰ ὠφελιμώτερα, καὶ δυνάμενα μᾶλλον τὴν ἐκκλησίαν ὠφελεῖν. *Καὶ ἔτι καθ' ὑπερβολήν.*] Ἐὰν ὅλως, φησί, ζηλωταί ἐστε κρειττόνων χαρισμάτων, δείκνυμι ὑμῖν καθ' ὑπερβολὴν κρεῖττον χάρισμα· τὴν ἀγάπην δὲ μέλει δεικνύειν. Καὶ ὅρα! Οὐκ εἶπε, Καθ' ὑπερβολὴν χάρισμα ὑμῖν *δείκνυμι*, ἀλλ', *ὁδὸν καθ' ὑπερβολήν*, τουτέστιν, ὑπερέχουσαν, σημαίνων ὁδὸν εἶναι τὴν ἀγάπην, εἰς πάντα φέρουσαν τὰ χαρίσματα· καὶ ὁ ταύτην κτησάμενος, δι' αὐτῆς ὁδεύσει καὶ εἰς τὰ λοιπά. —ΑΛΛΩΣ. *Τὸ, Ζηλοῦτε δὲ τὰ χαρίσματα*, δοκῶ μοι μὴ κατὰ παραίνεσιν καὶ ἀπόφασιν εἰρηκέναι· πῶς γὰρ, ὅγε πολλάκις πρός τε τὸ συμφέρον εἰπὼν λαβεῖν ἕκαστον τὸ χάρισμα, καὶ μηδὲν διαφέρειν πολλάκις ἐνδειξάμενος τὸν δοκοῦντα ἔχειν τὸ μεῖζον χάρισμα πρὸς τὸν ἔχοντα τὸ ἔλαττον; ἀλλ' εἰρῆσθαί μοι δοκεῖ τῷ θεσπεσίῳ Παύλῳ κατ' ἐρώτησιν· *Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα;* Καὶ οὕπω ὑμᾶς ἐπείσαμεν, μὴ ἀθυμεῖν ἐπὶ τοῖς ἐλάττοσιν; ἀλλ' ἔτι ἐρασταὶ καὶ ζηλωταὶ τῶν μειζόνων ἐστέ; Ἐγὼ καὶ ἔτι πρὸς τοῖς εἰρημένοις μέθοδον ὑμῖν καὶ ὁδὸν δείκνυμι, δι' ἧς αὐδὲν τούτων τῶν χαρισμάτων τῶν μεγίστων δεηθέντες, καθ' ὑπερβολὴν ἂν τῶν ἄλλων καὶ ἀληθῶς μείζους καὶ τελειότεροι φανείητε. Τί οὖν ἐστι τοῦτο; Ἁπλοῦν καὶ ἄκο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

που, καὶ ἐκ τοῦ ῥάστου παραγινόμενον. Τί οὖν ἐστι; Τί δὲ ἄλλο, ἀλλ' ἢ ἀγάπη; Ταύτην γὰρ ὁ καθαρὸς ἀναλαβὼν, πάντων προέχει, πάντων ὑπεραναβέβηκεν· ὁ δὲ ταύτην μὴ ἔχων, πάντων ἐκπέπτωκε, πάντων ἐστὶν ἔρημος. Ἂν δὲ τὴν ἀγάπην ἔχωμεν, οὔτε περὶ χαρισμάτων ἀλλήλοις ἐρίσαντες μικρολογησόμεθα, οὔτε ἄλλό τι τῶν οὐ προσηκόντων, ἡμῶν ἄψεται (Φωτίου). — ΑΛΛΩΣ. Τοῦτό τινες κατ' ἐρώτησιν ἀνέγνωσαν, ἀντὶ τοῦ, Ὅλως γὰρ ἐφίεσθε τῶν μειζόνων χαρισμάτων; Εἰ ὄντως ἐφίεσθε, ἐγὼ ὑμᾶς ἐπὶ ταῦτα ποδηγήσω προθύμως. Τοῦτο γὰρ ἐπήγαγε· *Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι*, τουτέστι, τῶν καθ' ὑπερβολὴν μειζόνων χαρισμάτων δείκνυμι τὴν ὁδόν· καὶ διδάσκει αὐτοὺς, ὡς τούτων ἁπάντων κρειττων ἡ περὶ τὸν πέλας ἀγάπη. (Θεοδωρήτου).

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, καὶ ἑξῆς.] Ποία οὖν αὕτη ἡ ὁδός; Ἡ ἀγάπη, φησὶν· ἧς χωρὶς οὐδέν ἐστι χάρισμα ἐπωφελές. Καὶ πρῶτον ἀπὸ τοῦ παρ' αὐτοῖς τιμίου χαρίσματος τῶν γλωσσῶν ἄρχεται, καί φησιν· Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων, οὐ μὴν ἀλλὰ καὶ τῶν ἀγγέλων λαλῶ, ἄνευ ἀγάπης, εἰκῆ καὶ μάτην καὶ εἰς οὐδὲν δέον φθέγγομαι, ὥσπερ τὰ ἄψυχα, ὁ χαλκὸς καὶ τὸ κύμβαλον. *Γλώσσαις δὲ ἀγγέλων* εἰπὼν, οὐ σῶμα τοῖς ἀγγέλοις περιτίθησιν, ἀλλ' ἐκ τῆς φωνῆς, τοῦ ἡμῖν ἐγνωσμένου ὀργάνου, τὴν πρὸς ἑαυτοὺς τῶν ἀγγέλων ὁμιλίαν δηλοῖ· ἔχουσι γὰρ κἀκεῖνοι νοεράν τινα δύναμιν, πρὸς τὸ ἀλλήλοις διαδιδόναι τὰ θεῖα νοήματα· ὡς καὶ ἀλλαχοῦ φησιν, ὅτι αὐτῷ [τῷ Χριστῷ] κάμψει πᾶν γόνυ ἐπουρανίων (α)· οὐ γὰρ ὀστᾶ καὶ νεῦρα ἔχουσιν, ἀλλὰ τὴν ἐπιτεταμένην ὑποταγὴν ἐδήλωσε. *Γέγονα δέ*, φησι, *χαλκὸς ἠχῶν*, τουτέστι, φωνὴν μὲν ἀφιεὶς, εἰκῆ δὲ φθεγγόμενος, καὶ ὀχληρὸς ὢν, μηδένα δὲ ὠφελῶν, διὰ τὸ ἀγάπης ἐστερεῖσθαι. *Καὶ ἐὰν ἔχω προφητείαν*.] Θέλων, δεῖξαι μέγα

(α) Φιλιπ. Β', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τι τὴν ἀγάπην, αὔξει πρῶτον τὰ χαρίσματα, καὶ τότε φησὶν, αὐτὰ ἐκτὸς ἀγάπης οὐδὲν εἶναι. Ἄνω γὰρ εἰπών· *Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων λαλῶ*, ὅπερ ἦν παρ' αὐτοῖς μέγιστον, νῦν πάλιν ἐπὶ τῆς προφητείας τὸ αὐτὸ ποιεῖ. Προφητείαν γὰρ ἐὰν ἔχω, φησὶν, οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν ἀκροτάτην, τὴν καὶ πάντα εἰδυῖαν τὰ μυστήρια, καὶ τὴν γνῶσιν ἔχουσαν, ἄνευ ἀγάπης, οὐδέν εἰμι. Τοῦτο γὰρ κάτω ἀποδίδωσι. *Πᾶσαν τὴν πίστιν.*] *Πίστιν* νῦν, οὐ τὴν τῶν πιστῶν, τὴν κοινὴν καὶ καθολικὴν, λέγει, ἀλλὰ τὸ χάρισμα τὸ τῆς πίστεως. Ἦν γάρ τι χαρίσματος εἶδος, ὁμωνύμως οὕτω τῇ πίστει λεγόμενον· ὅπερ ἐπὶ φανερώσει πνευματικῆς μετουσίας ἐχορηγεῖτο πολλοῖς τῶν εὐσεβῶν ἐν τῷ τότε καιρῷ. Περὶ τούτου τοῦ χαρίσματος καὶ ὁ Κύριος ἐν εὐαγγελίοις φησὶν· *Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν· καὶ γενήσεται οὕτως* (α)· οὐ δήπου γὰρ ὡς πρὸς ἀπίστους τὴν κοινὴν πίστιν, ταῦτα πρὸς αὐτοὺς διελέγετο ὁ Κύριος· ἀλλὰ πρὸς τοὺς οἰκείους μαθητάς· τουτέστιν, Ἐὰν ἔχητε τὸ τῆς πίστεως χάρισμα. Ὃ δὲ εἶπεν ὁ Κύριος ἐν εὐαγγελίοις μέγιστον εἶναι, τὸ διὰ πίστεως ὄρη μεθιστᾷν, τοῦτό φησιν [ὁ Παῦλος], μηδὲν εἶναι, ἀγάπης χωρίς. *Οὐδέν εἰμι.*] Οὐκ εἶπε δὲ, ὅτι ἀγάπην μὴ ἔχων, μικρότατος εἰμὶ καὶ ἐυτελὴς, ἀλλ', *οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω.*] Τουτέστιν, ἐὰν αὐτουργὸς γένωμαι τῶν ἐμαυτοῦ, διανέμων, καὶ θεραπεύων τοὺς δεομένους. Καλῶς δὲ τὸ, ψωμίσω, μετὰ τῆς δόσεως, καὶ τὴν οἰκείαν σημαῖνον διακονίαν. Ὅρα δὲ καὶ τὸ, *Πάντα τὰ ὑπάρχοντα*, οὐ μέρος αὐτῶν. [Ἀλλ' εἴποι τις ἄν· Πῶς ἐστι δυνατὸν, ψωμίσαι τὰ ὑπάρχοντα χωρὶς ἀγάπης; Ἔστιν οὖν εἰπεῖν, ὅτι, ἢ τὰ οὐκ ὄν, ὡς ὂν ὑπέθετο, ὥσπερ ὅταν λέγῃ· Ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε (β)· καίτοι οὔτε αὐτὸς, οὔτε

(α) Ματθ. ΙΖ', 20. Λουκ. ΙΖ', 6. (β) Γαλατ. Α', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄγγελος ἔμελλεν ἕτερα εὐαγγελίζεσθαι· καὶ ἀλλαχοῦ πολλαχοῦ τοιαῦτα λέγει· ἢ ὅτι ἐστὶ καὶ χωρὶς ἀγάπης διδόναι, ὅταν μὴ διὰ τὴν πρὸς τοὺς δεομένους συμπάθειαν, ἀλλὰ διὰ τὴν ἀνθρωπαρέσκειαν γίνηται· μετὰ ἀγάπης δὲ γίνεται, ὅταν ὡς συμπάσχων καὶ περικαιόμενός τις τοῦτο ποιῇ (1).] *Ἵνα καυθήσωμαι.*] Τὸν χαλεπώτατον λέγει θάνατον, τὸν ὑπὲρ θεοῦ δηλονότι γινόμενον.

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ
5 ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ
ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ
6 λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγ-
7 χαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει,
8 πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Εἶτα λοιπὸν διεξέρχεται τῆς ἀγάπης τὰ γνωρίσματα, δεικνὺς, ὅτι οὐ μόνον ἔλαστήσαντα τὰ πάθη ἐκριζοῖ, ἀλλ' οὐδὲ φῦναι συγχωρεῖ. Ὅρα δὲ, εὐθὺς τὴν μακροθυμίαν τέθεικε, τὴν ῥίζαν πάσης φιλοσοφίας· μακρόθυμος γὰρ ὁ μακρὰν καὶ μεγάλην ἔχων ψυχήν. Ἐπειδὴ δέ τινες εἰσὶν, οἳ τῇ μακροθυμίᾳ οὐκ εἰς φιλοσοφίαν κέχρηνται, ἀλλὰ πρὸς τὸ διαῤῥῆξαι τοὺς ἐνοχλοῦντας, καὶ πειρᾶσαι ἐπὶ πλέον, ἠθικώτερον αὐτοῖς διαλεγόμενος, φησὶ, *χρηστεύεται*, τουτέστιν, οὐκ ἐπὶ τῷ ἀνάψαι τὴν ὀργὴν τῶν ἐνοχλούντων, ἀλλ' ἐπὶ τῷ καταπραῦναι, τῇ μακροθυμίᾳ κέχρηται, καὶ ἡμερότητι χρῆται. *Οὐ ζηλοῖ.*] Βαβαί! οἷον ἐστὶ τὸ μὴ ζηλοῦν! ἤγουν μὴ φθονεῖν τοὺς εὖ πράττοντας. *Οὐ περπερεύεται.*] Οὐκ ἀλαζονεύεται, οὐ προπετεύεται· ἤτοι οὐδὲν προπετὲς ποιεῖ· *πέρπερος* γὰρ, ὁ προπετής. *Οὐ φυσιοῦται.*] Οὐ φρονεῖ μέγα ἐπὶ οἰκείοις κατορθώμασιν. *Οὐκ ἀσχημονεῖ.*] Τουτέστιν, οὐ μόνον οὐ φρονεῖ μέγα, ἀλλὰ καὶ, τὰ αἴσχιστα πάσχουσα, οὐκ οἴεται ἀσχημοσύνην τὸ πρᾶγμα διὰ τὸν ἀγα-

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πώμενον. Ἢ καὶ οὕτω τὸ, *οὐκ ἀσχημονεῖ*, ἤγουν, οὐκ ἐπεξέρχεται τοῖς ἀδικοῦσι σφοδρῶς. Ἢ, ὅτι οὐδὲν τῶν εὐτελῶν τε καὶ ταπεινῶν τῆς τῶν ἀδελφῶν ὠφελείας ἕνεκεν παραιτεῖται δρᾶσαι, ὡς τάχα ἄσχημον εἶναι τὴν πρᾶξιν ὑπολαμβάνουσα. *Οὐ ζητεῖ τὰ ἑαυτῆς.*] Λέγει τὸν τρόπον, πῶς οὐκ ἀσχημονεῖ· ὅτι οὐ ζητεῖ τὸ οἰκεῖον συμφέρον, ἀλλὰ τὸ τοῦ πλησίον· καὶ ἀσχημοσύνην τοῦτο ἡγεῖται, ὅταν ἀσχημονοῦντα τὸν πλησίον μὴ ἀπαλλάξῃ. *Οὐ παροξύνεται.*] Ἀλλ' οὐδὲ παροξύνεται· ἐπειδὴ οὐκ ἀσχημονεῖ· ἀνὴρ γὰρ θυμώδης, οὐκ εὐσχήμων. *Οὐ λογίζεται τὸ κακόν.*] Πάντα πάσχουσα τὰ κακὰ, οὐ παροξύνεται εἰς ὀργήν· καὶ οὐ μόνον οὐκ ἐργάζεται τὸ κακὸν, ἀλλ' οὐδὲ λογίζεται. *Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ.*] Οὐκ ἐφήδεται, οὐκ εὐφραίνεται, ὅταν τις ἀδικῆται καὶ ἐπηρεάζηται· ἤγουν, οὐ χαίρει ἐπὶ τοῖς κακῶς πάσχουσι· *συγχαίρει* δὲ τοῖς εὐδοκιμοῦσι· καὶ ὅταν ἡ ἀλήθεια εὐοδοῦται, δόξαν οἰκείαν τοῦτο ἡγεῖται. *Πάντα στέγει.*] Καὶ ὕβρεις, καὶ πληγὰς, καὶ θάνατον· τοῦτο γὰρ αὐτῇ ἡ μακροθυμία χαρίζεται, ἤγουν, τὸ στέγειν· ἦν, μακροθυμίαν, προσεῖναι αὐτῇ εἶπε. *Πάντα πιστεύει.*] Ἃ ἂν εἴπῃ ὁ ἀγαπώμενος· καὶ οὐδὲν ὕπουλον οὔτε αὐτὸς λαλεῖ, οὔτε τὸν λαλοῦντα οἴεται. *Πάντα ἐλπίζει.*] Οὐκ ἀπογινώσκει, φησὶ, τοῦ ἀγαπωμένου, ἀλλ' ἐλπίζει αὐτὸν ἀεὶ εἰς τὸ βέλτιον ἐπιδοῦναι. Εἰ δὲ καὶ ἐλπίσας, φησὶν, ἀποτύχῃ, ἐκείνου τῇ κακίᾳ ἐναπομείναντος, φέρει γενναίως αὐτοῦ τὰ ἐλαττώματα· *πάντα* γάρ, φησιν, *ὑπομένει. Οὐδέποτε ἐκπίπτει.*] Οὐ διαλύεται, φησιν, οὔτε διακόπτεται· ἤγουν, *οὐδέποτε ἐκπίπτει*, οὐδὲ ἀποτυγχάνει τῆς εὐδοκιμήσεως· ἀλλ' ἀεὶ προφάσεις ἀγαθὰς καὶ καλὰς ἑαυτῇ εὑρίσκει, δι' ὧν τῆς πρὸς τοὺς πλησίον στοργῆς καὶ συναφείας κατέχει τοὺς χρωμένους αὐτῇ, παραμένειν καὶ μὴ διαῤῥήγνυσθαι, κἂν ἐκεῖνοι ἀφηνιῶσι, καὶ ἀποσκιρτᾷν αἰτίας παρέχωσι. Στέγειν γὰρ ποιεῖ, καὶ ἐλπίζειν, καὶ ὑπομένειν τὸν ἁμαρτάνοντα εἰς αὐτόν.

8 Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

9 σαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται. Ἐκ
μέρους δὲ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·
10 ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταρ-
γηθήσεται.

Καταλέξας τῆς ἀγάπης τὰ βλαστήματα, πάλιν αὐτὴν καὶ ἑτέρῳ τρόπῳ ὑψοῖ, ἐν τῷ λέγειν, καὶ τὴν προφητείαν, καὶ τὰς γλώσσας, καὶ τὴν γνῶσιν τέλος ἕξειν, τὴν δὲ ἀγάπην μόνιμον εἶναι, στάσιμον, καὶ ἀτελεύτητον. Εἰ γὰρ καὶ αἱ προφητεῖαι καὶ αἱ γλῶσσαι διὰ τὴν τῆς πίστεως γνῶσιν εἰσί, τῆς πίστεως πανταχοῦ ἁπλωθείσης, εἰκότως ὡς περιττὰι ἀργήσουσι· τοῦτο δὲ καὶ νῦν μέν, πολλῷ δὲ μᾶλλον ἐπὶ τοῦ μέλλοντος. *Εἴτε γνῶσις καταργηθήσεται.*] Ἐὰν ἡ γνῶσις καταργηθῆναι μέλλῃ, ἆρα ἐν ἀγνωσίᾳ μέλλομεν διάγειν; Μὴ γένοιτο! Ἀλλὰ περὶ τῆς νῦν γνώσεως, τῆς ἐκ μέρους, εἴρηται αὐτῷ, ὅτι *καταργηθήσεται*. Ἡ γὰρ νῦν γνῶσις, ἐκ μέρους οὖσα, ἐπὰν ἔλθῃ ἡ τελεία γνῶσις, ἡ κατὰ τὴν μέλλουσαν ζωήν, αὕτη ἡ ἐκ μέρους τέλος ἕξει, τῇ τελείᾳ γνώσει καταργουμένη. Τὸ αὐτὸ δέ μοι καὶ περὶ τῆς προφητείας νόει. *Ἐκ μέρους δὲ γινώσκομεν.*] Ἀντὶ τοῦ, Ἐκ μέρους γάρ· αἰτία γάρ ἐστι τοῦ, διὰ τί μέλλουσι καταργηθῆναι καὶ παύσασθαι.—*Εἴτε γνῶσις, καταργηθήσεται.*] *Γνῶσιν* ἴσως τὴν τοῦ διδάσκειν φησί· πλατυνομένης γὰρ τῆς εὐσεβείας καὶ τῆς πίστεως, ἀργήσει ἡ διδασκαλία (Φωτίου).

11 Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος
ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα
12 ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. Βλέπομεν γὰρ
ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον
πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ
ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην.

Ἐπειδὴ εἶπε, τῆς τελείας γνώσεως ἐρχομένης, τὴν μερικὴν τέλος ἕξειν, καὶ παραδείγματι κυροῖ τὸν λόγον. *Ὅτε*, φησὶν, *ἤμην νήπιος*, παῖς τὴν ἡλικίαν, πάντα νήπια εἶχον, καὶ τὸ λαλεῖν, καὶ τὸ φρονεῖν, καὶ τὸ λογίζεσθαι· *ὅτε δὲ ἀνὴρ γέγονα*, ἀπέρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριψα τὰ τῆς νηπιότητος. Οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν, φησι. Νῦν νηπία ἐστὶν ἡμῖν ἡ γνῶσις· ἐπεὶ καὶ ἡμεῖς νήπιοί ἐσμεν. Ὅταν τοίνυν τέλειοι γενώμεθα, ὅ ἐστιν ἐν τῷ μέλλοντι χρόνῳ, πάντα τὰ νηπιώδη ἀπορρίψομεν· νηπιότητι γὰρ ἔοικεν ἡ παροῦσα γνῶσις καὶ προφητεία καὶ πολιτεία, πρὸς τὴν μέλλουσαν. *Ὡς νήπιος ἐλάλουν*] Ὡς πρὸς τὰς γλώσσας τὸ, *ἐλάλουν*· ὡς πρὸς τὰς προφητείας τὸ, *ἐφρόνουν*· ὡς πρὸς τὴν γνῶσιν τὸ, *ἐλογιζόμην*. *Βλέπομεν γὰρ ἄρτι δι ἐσόπτρου.*] Σαφηνίζει τὸ εἰρημένον περὶ τοῦ νηπίου, καὶ θέλει δεῖξαι, ὅτι ἀμυδρά τις ἐστὶν ἡμῖν ἄρτι ἡ γνῶσις· τότε δέ, τρανωτέρα ἔσται· *βλέπομεν γὰρ ἄρτι*, φησὶ, *δι ἐσόπτρου*. Εἶτα, ἐπειδὴ τὸ ἔσοπτρον ἐκτυπώτερον δείκνυσι τοῦ ἐμφαινομένου τὴν μίμησιν, προστέθεικε τὸ, *Ἐν αἰνίγματι*, δεικνὺς ἀμυδροτέραν εἶναι, τὴν νῦν δοκοῦσαν τελειοτάτην γνῶσιν, καὶ τοῦ ἐν ἐσόπτρῳ προφαινομένου πράγματος. *Πρόσωπον πρὸς πρόσωπον.*] Οὐχ ὡς σωματικόν τι ἢ αἰσθητὸν πρόσωπον τοῦ θεοῦ ἔχοντος, ἀλλὰ τὴν τρανωτέραν καὶ σαφεστέραν γνῶσιν τῇ λέξει τοῦ *προσώπου* παρίστησι τροπικῶς. Ἢ, τοῦτο νόει μοι περὶ τοῦ υἱοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, αὐτὸν λέγειν. *Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι.*] Νῦν, φησὶν, ἐκ μέρους αὐτὸν [τὸν θεὸν] γινώσκω· τότε δὲ οὕτως αὐτὸν ἐπιγνώσομαι καὶ ποθήσω, ὥσπερ νῦν αὐτός με ἐπέγνω. Νῦν γὰρ ἡμεῖς μὲν αὐτὸν οὐκ ἐγινώσκομεν, αὐτὸς δὲ καὶ ἐπέγνω, καὶ πρὸς ἑαυτὸν εἵλκυσε· τότε γὰρ ἡμεῖς αὐτὸν καὶ ἐπιγνωσόμεθα, καὶ ἐπιδραμούμεθα αὐτῷ, τῆς γλυκύτητος αὐτοῦ τρανωτέραν πεῖραν λαμβάνοντες. Τοῦτο δὲ εἰπὼν, καθαιρεῖ αὐτῶν τὸ ἐπὶ τῇ γνώσει φρόνημα, δεικνὺς καὶ μερικὴν εἶναι τὴν νῦν γνῶσιν, καὶ ταύτην αὐτὴν οὐκ ἐξ ἡμῶν, ἀλλ' ἐκ θεοῦ ἡμῖν γενέσθαι δωρεὰν, καὶ δίχα πόνων ἡμετέρων. Αὐτὸς γάρ, φησιν, ἡμᾶς καὶ ἐπέγνω, καὶ πρὸς ἑαυτὸν εἵλκυσε. *Καθὼς καὶ ἐπεγνώσθην.*] Ἀντὶ τοῦ, ἀκριβῶς καὶ τελείως. Ἐπὶ τούτῳ γάρ, φησι, καὶ τὴν ἀρχὴν ἐγὼ ἐπεγνώσθην, ἵνα καὶ αὐτὸς γνώσωμαι, καθώς ἐστιν ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρώπῳ δυνατὸν, τελείως καὶ ἀκριβῶς τὸν ἐπιγνόντα με δεσπότην.

13. Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

ΚΕΦ. XIV, 1 Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ
2 πνευματικὰ, μᾶλλον δὲ ἵνα προφητεύητε. Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ θεῷ· οὐδεὶς γὰρ ἀκούει· πνεύματι δὲ λαλεῖ μυστή-
3 ρια· ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν,
4 καὶ παράκλησιν, καὶ παραμυθίαν. Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ.

Εἰσὶ μὲν οὖν καὶ γλῶσσαι, καὶ προφητεῖαι, καὶ γνώσεις νῦν, εἰ καὶ ἀμυδραί· πλὴν, τῆς πίστεως χεθείσης εἰς πάντας, ὡς καὶ ἀνωτέρω εἴρηται, πάντῃ ἀργήσουσιν· ἡ μέντοι πίστις, ἡ ἐλπὶς, ἡ ἀγάπη μονιμώτεραι τούτων· τὸ γὰρ εἰρημένον, *Νυνὶ δὲ μένει*, νοήσεις ἀντὶ τοῦ, οἷον μονιμώτεραί εἰσι τῶν λοιπῶν αἱ τρεῖς αὗται ἀρεταὶ, ἦγουν τὰ χαρίσματα, ἡ πίστις, καὶ ἡ ἐλπὶς, καὶ ἡ ἀγάπη· καὶ τούτων δὲ αὐτῶν πάλιν μείζων ἡ ἀγάπη· ἐπειδὴ καὶ εἰς τὸν μέλλοντα χρόνον παρεκτείνεται.— *Πίστις, ἐλπὶς, ἀγάπη.*] Ἡ πίστις καὶ ἡ ἀγάπη, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, τῶν ἄλλων χαρισμάτων παυομένων, διαμένουσιν, ἀλλὰ πολλῷ πλέον καὶ ἐν τῷ μέλλοντι. Τότε γὰρ ὡς ἀληθῶς τοῖς ἁγίοις τὸ εἰρηνικὸν καὶ φιλάλληλον καθαρὸν καὶ ἀστασίαστον. Καὶ ἡ πίστις δὲ ὁμοίως. Τότε γὰρ λαμπρότερον καὶ τελεώτερον ἔσται ἐντρυφᾶν τῇ θεωρίᾳ τοῦ ποθουμένου. Τὴν δὲ ἐλπίδα εἴποι ἄν τις ἴσως ἔτι τότε παρεῖναι, ὡς τῶν ἐλπισθέντων ἤδη παρόντων, καὶ μηδὲν διαψεύσασαν τοὺς ἠλπικότας· ἄϊδιον γὰρ τὸ χρῆμα τῆς ἀληθείας.— ΑΛΛΩΣ. *Νυνὶ δὲ μένει πίστις*· ἀλλ᾽ οὐχ οὕτω, φησί· τὸ γὰρ, *Νῦν*, ἐνταῦθα οὐκ ἔστι χρόνου δηλωτικόν· οὐχ οὕτως οὖν, φησὶν, ἐπὶ τῆς πίστεώς ἐστιν ἰδεῖν καὶ τῆς ἐλπίδος καὶ τῆς ἀγάπης, ὥσπερ ἐπὶ τῶν ἄλλων χαρισμάτων· τὰ μὲν γὰρ ἄλλα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἅπερ καὶ ἀπηριθμήσατο, καὶ ἐν τῷ μέλλοντι ἀργήσει, τῶν τελειωτέρων ὑμῖν ἐπιγινομένων τότε· ἀλλὰ καὶ ἐν τῷ παρόντι ἐπιλείψει καὶ ἀργήσει, τῆς εὐσεβείας εἰς πάντας ἐξαπλουμένης. Εἰδήσουσι γάρ με, φησίν, ἀπὸ μικροῦ ἕως μεγάλου (α). Καὶ γὰρ τὰ πλεῖστα τῶν ἄλλων χαρισμάτων ἐδόθη, ἕνεκα τοῦ χειραγωγεῖσθαι καὶ προσάγεσθαι τῇ πίστει τοὺς ἀνθρώπους· προσαχθέντων δὲ καὶ πιστευσάντων, δῆλον ὅτι παύσεται. Ἀλλ' οὐκέτι ὡσαύτως καὶ ἡ ἐλπὶς καὶ ἡ ἀγάπη. Αὗται γὰρ δι' ὅλου τοῦ ἀνθρωπίνου βίου παραταθήσονται καὶ παραμενοῦσι· καὶ τότε μᾶλλον ἐκλάμψουσιν, ὅτε τὰ ἄλλα ἀργήσει. Τότε γὰρ μᾶλλον ἐπικρατήσει, καὶ μᾶλλον αὐτῶν ἡ χρεία, ὅτε πάντες εὐσεβήσουσι, καὶ πιστεύσουσι· τότε γὰρ μᾶλλον καὶ ἐλπίδος ἔστι χρεία, καὶ ἐλπιοῦσι, καὶ ἀγάπης, καὶ ἀγαπήσουσιν. Ὥστε παυομένων τῶν ἄλλων χαρισμάτων, αὗται μᾶλλον ἐκλάμψουσι.—*Τὰ τρία ταῦτα.* Διὰ τοῦτο δὲ τὰ τρία ταῦτα τῶν λοιπῶν μονιμώτερα, οἷον, τῆς προφητείας, καὶ τῶν γλωσσῶν, καὶ τῆς γνώσεως· ἐπειδὴ, τῆς πίστεως χεθείσης, ἀργεῖν ἔμελλον λοιπὸν αἱ κατὰ πλάτος προφητεῖαι καὶ γλῶσσαι. Καὶ ἡ παρὰ Κορινθίοις δὲ γνῶσις τέλος ἔμελλεν ἕξειν, ἀμυδροτέρα ὑπάρχουσα τῆς νῦν οὔσης χάριτι Χριστοῦ ἐν τῷ κόσμῳ γνώσεως. *Διώκετε τὴν ἀγάπην.*] Ἐπεὶ οὖν οὕτω μέγα χρῆμα ἀπεδείχθη ἡ ἀγάπη, διώκετε αὐτήν. Ὅρα δέ· οὐκ εἶπεν· Ἀκολουθεῖτε αὐτῇ, ἢ κτήσασθε αὐτήν· ἀλλὰ, *διώκετε*, δεικνὺς πεφευγέναι ἡμᾶς αὐτὴν καὶ ἔτι φεύγειν, καὶ πολλοῦ δεῖν ἡμῖν δρόμου, ἵνα φθάσωμεν αὐτὴν, τοσοῦτον ἀφεστηκυῖαν. *Ζηλοῦτε δὲ τὰ πνευματικά.*] Ἵνα μὴ νομίσωσι, διὰ τοῦτο αὐτὸν τοὺς περὶ ἀγάπης λόγους εἰρηκέναι, ὡς ἔξω βάλλοντα τὰ χαρίσματα, ἐπάγει· *Ζηλοῦτε δὲ τὰ πνευματικὰ*, τουτέστι, τὰ χαρίσματα, μετὰ τῆς ἀγάπης.—Ἀντὶ τοῦ· Μηδὲ ἐκείνων ἀμελεῖτε· μείζων μὲν γὰρ ἡ ἀγάπη, καὶ ταύτην χρὴ διώκειν· οὐ

(α) Ἱερ. ΛΗ΄, 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεῖ δὲ, οὐδὲ τῶν ἄλλων ἀμελεῖν χαρισμάτων, καὶ μάλιστα τοῦ περὶ τὴν προφητείαν χαρίσματος (Φώτιου). — *Μᾶλλον δὲ ἵνα προφητεύητε.*] Σύγκρισιν ποιεῖται λοιπὸν προφητείας καὶ γλωσσῶν· καὶ δείκνυσιν ὠφελιμωτέραν τὴν προφητείαν, καταβάλλων τὰς γλώσσας· καὶ γὰρ σφόδρα ἦσαν ἐπηρμένοι [οἱ Κορίνθιοι] δι' αὐτὰς, διὰ τὸ πρώτου αὐτοῦ τοῦ χαρίσματος ἠξιῶσθαι τοὺς ἀποστόλους. *Ὁ γὰρ λαλῶν γλώσσῃ*, καὶ ἑξῆς.] Ἐν τούτῳ δείκνυσι, μὴ ὂν μέγα τὸ τῶν γλωσσῶν ὠφέλιμον· οὐδένα γάρ, φησι, τῶν ἀκουόντων οἰκοδομεῖ· τῷ γὰρ θεῷ λαλεῖ, οὐκ ἀνθρώποις· ἐπεὶ μηδεὶς νοεῖ τὰ λεγόμενα· καὶ τοῦτο ἐστὶν ὃ λέγει, *Οὐδεὶς γὰρ ἀκούει.* Εἶτα, ἵνα μὴ παντελῶς ἀχρήστους αὐτοὺς δείξῃ, ἐπάγει· *Πνεύματι δὲ λαλεῖ μυστήρια.*] Τοῦτο δὲ ἐστὶν, ἢ ὅτι τῷ ἰδίῳ πνεύματι, οἷον, τῇ ἰδίᾳ ψυχῇ, προσδιαλέγεται· ἢ ὅτι ἐν πνεύματι ἁγίῳ, οἷον, διὰ πνεύματος ἁγίου λαλεῖ. Ἀλλ' εἰ καὶ ἐν πνεύματι λαλεῖ, ἔλαττόν ἐστι τῆς προφητείας χάρισμα, ὅσῳ καὶ ἡ ὠφέλεια ἥττων. *Ὁ δὲ προφητεύων.*] Ἀπὸ τοῦ κοινοῦ συμφέροντος δείκνυσι τὴν προφητείαν κρείττονα· τοὺς γὰρ ἀνθρώπους, φησὶν, οἰκοδομεῖ ἐπὶ τὴν πίστιν, καὶ παρακαλεῖ πρὸς τὴν ἀρετὴν, καὶ παραμυθεῖται ἐπὶ τοῖς ἐσομένοις πειρασμοῖς. *Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ.*] Πολλοὶ, γλώσσαις λαλοῦντες, οὐκ ἴσχυον καὶ ἑτέροις ἑρμηνεῦσαι ἃ ἔλεγον. Οὗτοι τοίνυν ἑαυτοὺς μόνους ὠφέλουν. Ὅθεν περὶ τῶν εἰδότων μὲν αὐτῶν ἃ λαλοῦσιν, οὐκ εἰδότων δὲ ἑτέροις ἑρμηνεῦσαι τὸ, *Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ. Ὁ δὲ προφητεύων ἐκκλησίαν, οἰκοδομεῖ.*] Ὁ δὲ προφητεύων, πάντας τοὺς ἀκούοντας ὠφελεῖ. Ὅσον οὖν τὸ μέσον τοῦ ἕνα ὠφελεῖσθαι, καὶ τοῦ ἐκκλησίαν, τοσοῦτον τὸ μέσον τῶν γλωσσῶν καὶ τῆς προφητείας.

5 Θέλω δὲ, πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον
δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ
ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰμὴ διερμηνεύῃ, ἵνα ἡ
6 ἐκκλησία οἰκοδομὴν λάβῃ. Νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν
7 γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ; Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθαριζόμενον;

Εἶτα, ἐπειδὴ πολλοὶ παρ' αὐτοῖς γλώσσαις ἐλάλουν, ἵνα μὴ νομισθῇ κατὰ φθόνον ἀποσμικρύνειν τὰς γλώσσας, φησί· *Θέλω δὲ, πάντας γλώσσαις λαλεῖν*, οὐχ ἕνα, ἢ δύο· πλὴν μᾶλλον ὑμᾶς προφητεύειν βούλομαι· ἐπειδὴ μείζων ὁ προφητεύων, διὰ τὸ τοὺς πλείονας ὠφελεῖν. *Ἐκτὸς εἰ μὴ διερμηνεύῃ.*] Ἐπειδὴ ἀπεφήνατο μείζονα τὸν προφήτην τοῦ μόνον γλώσσαις λαλοῦντος, μὴ εἰδότος δὲ διερμηνεύειν, ἐπάγει· *Ἐκτὸς εἰ μὴ διερμηνεύῃ*· τουτέστι· Μείζων ὁ προφήτης, ἐκτὸς ἐκείνου τοῦ καὶ γλώσσαις λαλοῦντος καὶ διερμηνεύοντος ἃ λέγει· ὁ γὰρ τοιοῦτος ἴσος ἐστὶ τῷ προφήτῃ· ὁμοίως γὰρ τὸ κοινὸν τῆς ἐκκλησίας ὠφελεῖ, διὰ τοῦ ἑρμηνεύειν τὰ ἀσαφῶς ἐν γλώσσῃ λεγόμενα. Χάρισμα δὲ ἦν καὶ ἡ ἑρμηνεία· καὶ ἄλλοις μὲν ἐδίδοτο τῶν γλώσσαις λαλούντων· ἄλλοις δὲ οὐκ ἐδίδοτο. *Νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς.*] Νυνὶ δέ, φησι, βούλομαι ἐπὶ τοῦ ἐμοῦ προσώπου, διὰ τὸ μὴ γενέσθαι ὑμῖν φορτικὸν, ταῦτα σχηματίσαι, καὶ δεῖξαι, ὅσον λείπει εἰς τελείωσιν τῷ γλώσσαις μόνον λαλεῖν. *Ἐὰν γάρ*, φησιν, *ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν*, καὶ ἐξῆς. Πρότερον δὲ ἐπὶ τοῦ οἰκείου σχηματίσας προσώπου, λοιπὸν προϊὼν καὶ ἐπ' αὐτῶν ἐκείνων ταῦτα γυμνάζει. Ἀλλὰ κἀκεῖ, ἔνθα τραχύτερόν τι μέλλει λέγειν, εἰς ἑαυτὸν τοῦτο ἀναδέχεται, ὡς τό· *Ἔσομαι τῷ λαλοῦντι βάρβαρος*· καὶ εἶτι ὅμοιον.—*Ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν.*] Ἐπὶ τοῦ οἰκείου προσώπου δεῖξαι θέλων τὸ τῶν γλωσσῶν ὑποδεές, φησίν· Ὑποθώμεθα ἐμὲ αὐτὸν εἶναι τὸν γλώσσαις λαλοῦντα· ἀλλ' οὐδὲ ὑμᾶς ἐκ τούτου ὠφελήσω. Ἐὰν γὰρ μὴ λαλήσω ὑμῖν, φησιν, *ἐν ἀποκαλύψει*, τουτέστιν, εὐσύνοπτά

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τινα καὶ σαφῆ καὶ νοούμενα· *ἢ ἐν γνώσει*, τουτέστιν, ἵνα γινώσκητε ἃ λέγω· *ἢ ἐν προφητείᾳ*· (ταύτην γὰρ ἐνάουν κατὰ τὴν κοινὴν ὁμιλίαν λαλουμένην·) *ἢ ἐν διδαχῇ*· (καὶ γὰρ ὁ διδάσκων σπουδάζει νοεῖν τοὺς διδασκομένους τὰ λεγόμενα·) οὐκ ἔσομαι ὑμῖν ἐπωφελής. (1)—*Ἢ ἐν ἀποκαλύψει.*] Τὰ εἴδη λέγει τῶν ἐν λόγῳ χαρισμάτων· ταῦτα δέ ἐστι· γλώσσας ἑρμηνεύειν, καὶ τὰ λαλούμενα παρ' αὐτῶν ἀποκαλύπτειν, ἢ συνάμφω, καὶ γλώσσαις λαλεῖν καὶ ἀποκαλύπτειν, ὃ καὶ *γνῶσιν* καλεῖ, ὅτι λαλεῖ καὶ ἑρμηνεύει ὡς εἰδὼς ὃ λέγει, ἢ προφητεύειν· (τοῦτο δὲ δῆλον, τί ἐστιν·) ἢ διδάσκειν· ἕτερον τοῦτο χάρισμα παρὰ τὰ εἰρημένα. Φησὶν οὖν· Ἐὰν ἔλθω, ἔχων μὲν τὸ χάρισμα τοῦ γλώσσαις λαλεῖν, μὴ ἔχων δέ τι ἄλλο χάρισμα τῶν εἰρημένων τεσσάρων, τί ἔσται ὑμῖν ὄφελος; (Φωτίου.)—*Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα.*] Καὶ τί, φησι, λέγω, ὅτι ἐφ' ἡμῶν, τὸ μὲν νοούμενον ὠφέλιμον, τὸ δὲ μὴ νοούμενον, ἀκερδές; Καὶ γὰρ καὶ ἐν τοῖς ἀψύχοις ὀργάνοις τοῦτό τις εὕροι. Καὶ ἐπὶ κιθάρας γὰρ καὶ αὐλοῦ, μὴ συγχεῖσθαι χρὴ τὰ λεγόμενα· ἐπεὶ οὐκ ἂν ποτέ τινα ψυχαγωγήσειεν. Εἰ οὖν ἐπὶ τῶν μικρῶν μέγα ἡ σαφήνεια, πόσῳ μᾶλλον ἐπὶ τῶν πνευματικῶν; Κατὰ τάξιν γὰρ χρὴ κροτεῖσθαι τὰ ὄργανα, καὶ ἐναρθρως, ἅπερ λέγει *διαστολήν*, ἤγουν, παραλλαγὴν καὶ ἐναλλαγὴν μέλους (2).

8 Καὶ γὰρ, ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς πα-
9 ρασκευάσεται εἰς πόλεμον; Οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνω-

(1) «Ἐὰν μήτι εἴπω ἐν ἀποκαλύψει· τουτέστιν, οἷα εἰώθασι λέγειν οἱ ἀποκαλύψεως ἐκ θεοῦ τυχόντες· ὃ καὶ αὐτὸ εἶδος προφητείας ἐστίν, ὅταν, ἱσταμένων πολλῶν, ἀποκαλύπτηταί τις τὰ ἑκάστου νοήματα· ἢ ἐν γνώσει· τουτέστιν, οἷα δύνανται λέγειν οἱ γνῶσιν ἔχοντες, καὶ μυστήρια θεοῦ διαλύοντες τοῖς ἀκούουσιν· ἢ ἐν προφητείᾳ· ὅταν καὶ περὶ τῶν παρελθόντων, καὶ τῶν ἐνεστώτων, καὶ τῶν μελλόντων διαλέγηταί τις· καθολικώτερον γὰρ ἡ προφητεία ἢ ἡ ἀποκάλυψις· ἢ ἐν διδαχῇ· τουτέστιν, ἐν εἴδει διδασκαλικοῦ λόγου, ὅταν περὶ ἀρετῆς, ὅταν περὶ δογμάτων γίνηται ἡ διάλεξις· καὶ ἡ διδαχὴ γὰρ πρὸς ὠφέλειαν τῶν ἀκουόντων γίνεται.» Θεοφύλακτος. (2) «Καὶ γὰρ καὶ ἐν τοῖς ἀψύχοις ὀργάνοις, ἐὰν διαστολὴν, τουτέστι, διάκρισιν καὶ σαφήνειαν, οἱ φθόγγοι μὴ ἔχωσιν, ἀλλὰ συγκεχυμένα τὰ πάντα ὦσιν, οὐ γνωσθήσεται τὸ αὐλούμενον, οὐδὲ ψυχαγωγία ἔσται καὶ εὐφροσύνη ἐκ τούτου.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λα-
10 λοῦντες. Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστὶν ἐν
11 κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον. Ἐὰν οὖν μὴ εἰδῶ
τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρ-
12 βαρος· καὶ ὁ λαλῶν, ἐν ἐμοὶ βάρβαρος. Οὕτω
καὶ ὑμεῖς.

Ἐκ τῶν παραδειγμάτων δείκνυσι, τίς ἡ δύναμις καὶ ἡ ὠφέλεια τῆς σαφηνείας, καί φησιν· Οὐ μόνον αὐλὸς καὶ κιθάρα, ἀλλὰ καὶ σάλπιγξ ἐὰν δῷ φωνὴν ἄδηλον, οὐδεὶς ἔσται ὁ εἰς πόλεμον παρασκευαζόμενος· (τὸ γὰρ, Τίς, ἀντὶ τοῦ, Οὐδείς, κεῖται·) ἀγνοουμένου δηλαδὴ τοῦ σαλπισθέντος. Εἶτα, ἵνα μὴ λέγωσι· Καὶ τί πρὸς ἡμᾶς ταῦτα τὰ παραδείγματα, ἐπάγει· *Οὕτω καὶ ὑμεῖς*, εἰ μὴ διὰ τοῦ χαρίσματος αὐτοῦ τῆς γλώσσας σαφῆ καὶ νοούμενον εἴπητε λόγον, *ἔσεσθε εἰς ἀέρα λαλοῦντες*, τουτέστιν, εἰκῆ καὶ μάτην καὶ ἀνωφελῶς. Ἀλλ' εἴποι τις ἄν· Εἰ ἀνωφελές ἐστι τὸ τῶν γλωσσῶν [πρᾶγμα], διὰ τί ἐν εἴδει χαρίσματος ταύτας ἐλάμβανον; Ἵνα ὁ λαβὼν καὶ ἔχων αὐτὸ ὠφελῆται μόνος. Εἰ δὲ καὶ ἑτέροις ἔμελλεν εἶναι χρήσιμος, ἑρμηνείας χρεία, ἣν ἐλάμβανον οἱ μᾶλλον κεκαθαρμένοι. Κατὰ γὰρ τὴν ἀναλογίαν τῆς πίστεως καὶ τῆς καθάρσεως ἐδίδοντο καὶ τὰ χαρίσματα. *Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν.*] *Τοσαῦτα*, τουτέστι, πολλὰ, καθὼς ἔτυχε, γένη φωνῶν ἐστιν, ἐμψύχων τε καὶ ἀψύχων· οἷον, ἀνθρώπων, ζώων, πτηνῶν· καὶ ἀψύχων ὀργάνων· οἷον, λύρας μουσικῆς, ναύλης, καὶ ἑτέρων· ἀλλ' οὐδὲ ἓξ ἑνὸς τούτων, φησὶν, ὠφεληθείη τις, εἰ μὴ εἰδείη τὴν δύναμιν τῆς φωνῆς. Τοιγαροῦν οὐδὲ ἐκ τῶν ὑμετέρων γλωσσῶν ὠφέλειά τις εἰς ἄλλους διαβήσεται, εἰ μή τις εἰδείη τὴν δύναμιν τοῦ λαλουμένου. Ἔσται δὲ τοῦτο, ἐὰν διερμηνεύῃς λαλῶν γλώσσαις· διερμηνεύσεις δὲ, εἰ πλεῖον ἄληπτον βίον καὶ πίσιν θερμὴν καὶ πεπυρωμένην κτήσῃ.— Τὸ, *Τοσαῦτα γένη φωνῶν*, καὶ ἑξῆς, διχῶς ἐστὶν, ἐκλαβεῖν· ἢ ὅτι πολλά ἐστι γένη φωνῶν, καὶ τούτων τῶν γενῶν οὐδέν ἐστιν ἄφωνον·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ πολλά ἐστι γένη φωνῶν, ἀλλ' οὐδεμία τοῖς ὁμογενέσιν αὐτῶν ἐστιν ἄσημος καὶ ἀνεπίγνωστος· τὸ γὰρ ἄφωνον, τὰ δύο ἐστὶ σημαῖνον εὑρεῖν, καὶ τὸ παντελῶς ἄφωνον, καὶ τὸ ἄσημον μόνον καὶ ἀδιάγνωστον. Εἰ μὲν οὖν, ὡς προείρηται, ἐκληψόμεθα, εἴη ἂν τοιοῦτος ὁ ἀποστολικὸς νοῦς· Πολλά ἐστι γένη φωνῶν, καὶ τούτων τῶν γενῶν οὐδέν ἐστιν ἄφωνον· ἀλλὰ τί κερδαίνομεν ἡμεῖς ἐκ τῶν φωνῶν ἐκείνων, μηδὲν αὐτῶν συνιέντες; Ἐὰν γὰρ μὴ εἰδῶ, τί σημαίνει ἡ φωνή, ἔσομαι ἐγώ τε ἐκείνῳ, καὶ ἐκεῖνος ἐμοὶ βάρβαρος. Εἰ δὲ, ὡς ὕστερον ἐρρήθη, ἐκληψόμεθα, ὁ νοῦς τοιοῦτος· Πολλὰ γένη ἐστὶ φωνῶν ἐν κόσμῳ, καὶ οὐδὲν τούτων ἐστὶ τοῖς ὁμογενέσιν ἄσημον καὶ ἀνεπίγνωστον. Πῶς οὖν ὑμεῖς εἰς ἀέρα λαλοῦντες, καὶ ἄσημα τοῖς ὁμογενέσι φθεγγόμενοι, ὡς μέγα τι κατωρθωκότες ἐπαίρεσθε; ἀλλ' οὐχὶ σπουδάζετε μᾶλλον καὶ ἐπιμελεῖσθε, ἵνα καὶ τὸ διερμηνεύειν τὰς γλώσσας προσλαβόντες, εἰς κοινὴν ὠφέλειαν χρήσασθαι τῷ χαρίσματι; Ὁ γὰρ δὴ μόνον γλώσσαις λαλῶν, ἀσήμου καὶ ἀνεπιγνώστου τῆς φωνῆς ὑπαρχούσης τῷ ἀκροατῇ, ἀντὶ τοῦ ὠφελεῖν, ἔσαι αὐτῷ βάρβαρος· καὶ ὁ ἀκροατὴς ὁμοίως τῷ λαλοῦντι βάρβαρος λογισθήσεται· καὶ τί τὸ ἐντεῦθεν κέρδος;—*Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς.*] Εἰσὶν οὖν μυρίαι φωναὶ ἐν τῷ κόσμῳ. Ἐὰν οὖν μὴ διαγνῶ τὴν δύναμιν τῆς φωνῆς, τοῦτέστιν, ἐὰν μὴ εἰδῶ, τί λαλεῖ, ἐσόμεθα ἀλλήλοις βάρβαροι, οὐ παρὰ τὴν τῆς φωνῆς κακίαν, ἀλλὰ παρὰ τὴν ἡμῶν ἄγνοιαν. *Οὕτω καὶ ὑμεῖς.*] *Οὕτω.* Πῶς; Ὥσπερ οἱ λαλοῦντες καὶ μὴ νοούμενοι, καὶ διὰ τοῦτο ὄντες ἑαυτοῖς βάρβαροι, *οὕτω καὶ ὑμεῖς*, ἀντὶ τοῦ, Διὰ τοῦτο καὶ ὑμεῖς. Διὰ ποῖον; Ἵνα μὴ ἦτε ἀλλήλοις βάρβαροι. Διὰ τοῦτο οὖν καὶ ὑμεῖς, ἐπεὶ ἐπιθυμίαν ἔχετε χαρισμάτων, ἐκείνων τυχεῖν ἀγωνίσασθε, δι' ὧν ὑμῖν ἡ ὠφέλεια τῆς ἐκκλησίας καὶ ἡ οἰκοδομὴ κατορθωθήσεται. Λυτὸς δὲ, *Ἵνα περισσεύητέ*, φησι, τοῦτέστιν, ἵνα πλέον ἢ νῦν ἔχητε, γλώσσαις νῦν μόνον λαλοῦντες, καὶ οὐχ ἑρμηνεύοντες. Ἢ, Ἵνα περισσεύητε μᾶλλον τοῦ γλώσσαις; λα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεῖν. Τὰ γὰρ ἄλλα χαρίσματα περισσεύει τῶν γλωσσῶν, ὡς πλείονα ὠφέλειαν παρεχόμενα (1).

12 Ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδο-
13 μὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε. Διό-
περ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμη-
14 νεύῃ. Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι.

Παυσάμενος τῶν παραδειγμάτων, γυμνώτερον αὐτοῖς παραινεῖ. Ἐπειδὴ ὅλως, φησὶ, ζηλοῦτε καὶ ποθεῖτε τὰ χαρίσματα· (τοῦτο γὰρ ἐνταῦθα τὰ *πνεύματα*·) τοιαῦτα ἐπιθυμεῖτε καὶ ζητεῖτε, τὰ δυνάμενα τὴν ἐκκλησίαν οἰκοδομῆσαι, καὶ ὠφελῆσαι. *Ζητεῖτε ἵνα περισσεύητε.*] Οὐκ εἶπεν, Ἵνα κτήσησθε τὰ χαρίσματα, ἀλλ', Ἵνα *περισσεύητε*, τουτέστιν, ἵνα μετὰ πολλῆς δαψιλείας αὐτὰ ἔχητε. Τοσοῦτον γὰρ ἀπέχω, φησὶ, τοῦ μὴ βούλεσθαι ἔχειν ὑμᾶς αὐτὰ, ὅτι καὶ περισσεύειν ὑμᾶς ἐν αὐτοῖς *βούλομαι*, μόνον ἂν εἰς τὸ κοινῇ συμφέρον αὐτὰ μεταχειρίζητε. *Διόπερ ὁ λαλῶν γλώσσῃ.*] Εἶτα λέγει καὶ τρόπον, πῶς ἂν σχοίησαν χαρίσματα, τὰ τὴν ἐκκλησίαν ὠφελοῦντα. Ὁ γὰρ *λαλῶν*, φησὶ, *γλώσσῃ*, *προσευχέσθω*, ἵνα καὶ τὸ διερμηνεύειν λάβῃ. Ἆρα οὖν αὐτοὶ αἴτιοι τοῦ μὴ καὶ τὸ μεῖζον λαβεῖν, ὡς οὐκ αἰτοῦντες τὸ μεῖζον. *Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ.*] Ἐὰν γάρ, φησι, λαλῶ γλώσσῃ, οὐ μὴν καὶ διερμηνεύω, τὸ μὲν πνεῦμά μου, ἤτοι, ἡ ψυχή μου, αὐτὴ καθ' ἑαυτὴν ὠφελεῖται· *ἄκαρπος δέ μου* ὁ νοῦς εὑρεθήσεται, τῷ μὴ καὶ ἄλλους ὠφελεῖν· νοῦ γὰρ καρπὸς, τὸ διὰ ποικίλων καὶ παντοδαπῶν νοημάτων ὠφέλειαν τοῖς πλησίον ἐπινοεῖν. *Τὸ πνεῦμά μου προσεύχεται.*] Ἀντὶ τοῦ, Τὸ χάρισμά μου τὸ πνευμα-

(1) Ὁ Θεοφύλακτος ἀναγινώσκει· Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, κτλ. καὶ λέγει «Τινὲς εἰς τὸ, Οὕτω καὶ ὑμεῖς, στίζουσι, καὶ ἑρμηνεύουσι τοῦτο· Οὕτω καὶ ὑμεῖς, γλώσσαις λαλοῦντες ἀσαφῶς, βάρβαροι δοκεῖτε τοῖς ἀκούουσιν. Εἶτα ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκουσι τό· Ἐπεὶ ζηλωταί ἐστε.» Ἡ ἀνάγνωσις αὕτη ἴσως εὑρίσκεται καὶ παρ' ἄλλῳ· ἀλλ' ἡμεῖς ὁμολογοῦμεν, ὅτι παρ' οὐδενὶ ἄλλῳ εὕρομεν αὐτὴν, εἰμὴ παρὰ μόνῳ τῷ Οἰκουμενίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τικὸν, αὐτὸ τὸ λαλεῖν γλώσσαις. *Ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν.*] Τουτέστιν οὐκ ἔσχε τὸν ἀπὸ τῶν ἀκροατῶν συναγόμενον αὐτῷ καὶ τρυγώμενον καρπόν· ὁ τοῦ λαλοῦντος νοῦς οὐκ ἐκέρδησεν αὐτόν· οὐκ ἀπήλαυσε τοῦ τοιούτου καρποῦ· ἔρημος ὤφθη τοῦ καρποῦ· ἄκαρπός ἐστι.—Τὸ, *προσεύχομαι*, καὶ, *προσεύξομαι*, ἀντὶ τοῦ λαλεῖν τι ταῖς γλώσσαις καλὸν καὶ σπουδαῖον εἴληφε. Καὶ γὰρ καὶ ἡ προσευχὴ εἶδός τί ἐστι τοῦ λόγου. Φησὶν οὖν, ὅτι, Ἐάν τι λαλῶ τῶν ἀναγκαίων καὶ καλῶν, μὴ διερμηνεύω δὲ αὐτὸ καὶ τοῖς ἀκροαταῖς, ἐμαυτὸν μὲν ὠφελῶ· (τοῦτο γάρ ἐστι, *Τὸ πνεῦμά μου προσεύχεται*, τουτέστιν, ἐγὼ μόνος ἀπολαύω τοῦ ἀναγκαίου ἐκείνου καὶ τοῦ καλοῦ·) ἄλλος δὲ οὐκ ὠφελεῖται, ἵνα κερδήσῃ μου ἐντεῦθεν καὶ ὁ νοῦς τὸν καρπὸν τῆς ἐκείνων ὠφελείας. Τὸν νοῦν δὲ ἐστερῆσθαι τοῦ τοιούτου καρποῦ καὶ πάλιν ἀπολαύειν ὑποτίθεται, ὅτι ἐκεῖνος μᾶλλον τῶν ἐν ὑμῖν δυνάμεων ἐραστής ἐστι τῆς τοῦ πλησίον ὠφελείας, ἅτε μήτε ὡς τὸ θυμικὸν, μήτε ὡς τὸ ἐπιθυμητικὸν, ῥᾳδίως οὕτω παθαινόμενος, καὶ τῆς ἰδίας καὶ κατὰ φύσιν ἀρετῆς εὐχερῶς μεθιςάμενος. Καὶ ἐκεῖνός ἐςι μᾶλλον ἄκαρπος, ὅτε ἐςὶ συναισθανόμενος· καὶ πάλιν, ἐπειδὰν ἐπιτύχῃ τοῦ καρποῦ, ἐνευφραινόμενος. Εἶτα φησί· *Τί οὖν ἐστίν;* οἷον· Τί δεῖ γενέσθαι; Πῶς ἔσται ἡμῖν, μὴ ἀκάρπους εἶναι; Πῶς; Ἐπιμεληθεῖσι δι' ἀρετῆς, ὥστε τὸν γλώσσαις λαλοῦντα, καὶ τῷ πνεύματι λαλεῖν καὶ τῷ νοΐ· τουτέστι, καὶ ἕνεκα τῆς ἰδίας ὠφελείας λαλεῖν, καὶ ἕνεκα τοῦ ἀπολαύειν τὸν νοῦν τοῦ καταλλήλου καρποῦ· τοῦτο δέ ἐστιν, ἡ τῶν πλησίον ὠφέλεια. Ἔσται δὲ τοῦτο, ἐὰν ταῖς γλώσσαις λαλοῦντες, λάβωμεν χάρισμα καὶ ἵνα διερμηνεύωμεν. Ἐπειδὴ δὲ ἐπὶ τοῦ λαλεῖν τι τῶν καλῶν καὶ σπουδαίων τὸ τῆς προσευχῆς ὄνομα λαβὼν, ἐπέμεινε χρώμενος αὐτῷ, ἵνα μὴ νομίσῃς, ὅτι προηγουμένως περὶ προσευχῆς ἐστὶν ὁ λόγος, ἀλλ' οὐχὶ περὶ παντὸς ἀναγκαίου καὶ ἐπιτηδείου λόγου, γλώσσαις λαλουμένου, μετέπεσεν εἰς τὸ ψάλλειν, ὡσανεὶ λέγων, ὅτι, Εἴτε ἐπὶ προσευχῆς, εἴτε ἐπὶ ψαλμῳδίας, εἴτε ἐπὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλου τινὸς λόγου τῶν ἀναγκαίων καὶ καλῶν, ἐπὶ πάντων ὁμοίως δεῖ καὶ ἑαυτὸν ὠφελεῖν καὶ τὸν πλησίον. Εἶτα φέρει καὶ παράδειγμα, δεικνὺς, ὅτι κατὰ πολλὰ ἐλλείπει καὶ ὑστερεῖ τὸ γλώσσαις μόνον λαλεῖν, ἄνευ γε τοῦ διερμηνεύειν. *Ἐὰν* γάρ, φησι, *τῷ πνεύματι εὐλογήσῃς*, τουτέστι, Σὺ μόνος συνιεὶς, καὶ σαυτὸν οἷς εὐλογεῖς ὠφελῶν, ὁ δὲ ἀκροατὴς οὐ συνίησιν ἃ λέγεις, *τί ἀποκριθήσεται πρὸς σέ; πῶς* ἐρεῖ τὸ, *Ἀμὴν*, ἐν τοῦτο ἡ χρεία τυχὸν αὐτὸν ἀποκρίνασθαι, μηδὲν ὅλως εἰδὼς ὧν σὺ λέγεις; Σὺ μὲν μὲν γὰρ καλῶς, καὶ ἐπὶ τῷ σαυτοῦ συμφέροντι εὐλογεῖς ἢ εὐχαριστεῖς, εἰ τύχοι, ἢ ἄλλό τι τῶν δεόντων ποιεῖς· (καθόλου γὰρ τὸν λόγον βούλεται ἐξακούεσθαι, καὶ οὐκ ἐπί τινος εἴδους πορευόμενος· διὸ ποτὲ μὲν τὸ ψάλλειν, ἄλλοτε δὲ, τὸ εὐλογεῖν, καὶ μετ' αὐτὸ καὶ ἀντ' αὐτοῦ τίθησι τὸ εὐχαριστεῖν, δεικνὺς, ὅτι καθόλου περὶ παντὸς ἀναγκαίου καὶ ἐπιτηδείου γλώσσαις λαλουμένου ἐστὶν αὐτῷ ἡ παραίνεσις καὶ ἡ σπουδή·) ἀλλ', ὅπερ ἔλεγον, σὺ μὲν ἐπὶ τῷ σαυτοῦ συμφέροντι γλώσσαις λαλῶν, εὐλογεῖς, εὐχαριστεῖς, ἢ ἄλλό τι λαλεῖς· ὁ δὲ ἀκροατὴς οὐδὲν κερδαίνει, οὐδὲν ὠφελεῖται ἀπὸ σοῦ (Φωτίου).

15 Τί οὖν ἐστί; Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ
16 τῷ νοΐ. Ἐπεὶ, ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ Ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις, οὐκ οἶδε.
17 Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς· ἀλλ' ὁ ἕτερος οὐκ
18 οἰκοδομεῖται. Εὐχαριστῶ τῷ θεῷ μου, πάντων ὑμῶν
19 μᾶλλον γλώσσαις λαλῶν· ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

Τί οὖν ἐστί, φησι, τὸ ὠφελιμώτερον; καὶ τι χρὴ αἰτεῖν τὸν θεόν; Τί; Τὸ προσεύχεσθαι τῷ πνεύματι, οἷον, τῇ ψυχῇ, ὅπερ εἰς τὴν αὐτοῦ μόνου συντείνει ὠφέλειαν· προσεύχεσθαι δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ νοΐ, τουτέστι, τῇ διανοίᾳ, ὅπερ καὶ εἰς τὴν τῶν πλησίον φθάνει οἰκοδομὴν, κατὰ τὴν ἐπάνω παραγραφήν· καὶ ψάλλειν δὲ ὁμοίως. —*Προσεύξομαι τῷ πνεύματι, καὶ ἐξῆς.*] *Πνεῦμα*, τὸ πνευματικὸν χάρισμα καλεῖ· *νοῦν* δὲ, τὴν σαφήνειαν καὶ ἑρμηνείαν τῶν λεγομένων. Λέγει δὲ, ὅτι προσήκει τὸν ἑτέρᾳ γλώττῃ διαλεγόμενον, εἴτε ἐπὶ ψαλμῳδίας, εἴτε ἐπὶ προσευχῆς, εἴτε ἐπὶ διδασκαλίας, ἢ αὐτὸν ἑρμηνεύειν καὶ νοεῖν τί λέγει εἰς ὠφέλειαν τῶν ἀκουόντων, ἢ ἕτερον, τοῦτο ποιεῖν δυνάμενον, συνεργὸν τῆς διδασκαλίας παραλαμβάνεσθαι (Θεοδωρήτου).—Τοῦτο δὲ λέγει· ὅτι σὺ, ψάλλων ἢ προσευχόμενος, ἑρμήνευε καὶ σεαυτῷ τὰ λεγόμενα, καὶ τοῖς ἀκούουσί σου ὁμοίως, ἵνα εἴπωσι τὸ, Γένοιτο· ἐπεὶ ἄλλως οὐκ οἶδασι, τί λέγεις. Τοῦτο λέγει, *Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ*, τουτέστι, νοήσω, καὶ ἑρμηνεύσω καὶ τοῖς ἀκούουσιν. *Ἐπεὶ, ἐὰν εὐλογήσῃς τῷ πνεύματι.*] Ἐὰν γὰρ μόνος σὺ ἐπίστασαι, φησὶ, τί εὐλογεῖς, ἤγουν, τί εὔχεσαι, καὶ ἡ σὴ ψυχὴ τοῦτο λέγει τῷ πνεύματι· οἱ δὲ λοιποὶ ἀγνοοῦσι, τῷ σὲ μὴ εἰδέναι ἑρμηνεῦσαι, ἤγουν, μὴ εἰδότα τὴν δύναμιν τῶν λεγομένων, ὁ εἰς ἰδιώτου τόπον τελῶν, οὐκ ἂν εἴπῃ τὸ, Ἀμὴν, ἐπὶ τῇ σῇ εὐχῇ· μὴ εἰδὼς γὰρ, τί λαλεῖς, οὐδὲ γινώσκει, πότε δεῖ σοι τὸ, *Ἀμὴν*, ὑπακοῦσαι. *Τὸν τόπον τοῦ ἰδιώτου.*] *Ἰδιώτην* λέγει, τὸν ἐντῷ λαϊκῷ τάγματι τεταγμένον· ὅτι καὶ τοὺς ἔξω τῆς στρατείας οὕτω καλεῖν εἰώθασι. *Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς.*] Εἶτα καὶ τὸ ἀξιέπαινον φυλάττων τῷ χαρίσματι τῶν γλωσσῶν, φησὶ· *Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ πλησίον οὐκ ὠφελεῖται. Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν.*] Εἶτα, ἵνα μὴ δόξῃ διὰ τοῦτο εὐτελίζειν καὶ ὑποτιθέναι, ἤγουν μικρότερον ποιεῖν, τὸ τῶν γλωσσῶν χάρισμα, ὡς αὐτὸς αὐτὸ μὴ κεκτημένος, φησὶ· *Πάντων ὑμῶν πλέον γλώσσαις λαλῶ·* πλὴν τοῦτο λέγων, πρῶτον εὐχαριστεῖ τῷ Θεῷ, δηλῶν, ὡς ἐκ τούτου ἔχει τὸ χάρισμα. *Θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι.*] Τουτέστι, νοῶν αὐτὸς καὶ εἰδὼς ἃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγω, καὶ ἑρμηνεῦσαι δυνάμενος ταῦτα, καὶ τοῖς ἀκούουσι σαφηνίσαι, ὅπως ὠφελῶνται. *Ἢ μυρίους λόγους ἐν γλώσσῃ.*] Μὴ ἰσχύων αὐτοὺς ἑρμηνεῦσαι. Τότε γὰρ εἰς ἐμὲ μόνον ἡ ὠφέλεια περιΐσταται.

20 Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.
21 Ἐν τῷ νόμῳ γέγραπται· « Ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος (α). »
22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

Μετὰ τὸ δεῖξαι τὸ τῶν γλωσσῶν χάρισμα, ποιόν τί ἐστι, καὶ μεῖζονα τὴν προφητείαν, λοιπὸν πληκτικωτέρῳ χρῆται λόγῳ, καὶ ὀνειδίζει αὐτοῖς, ὡς παιδικὰ φρονοῦσι· *Μὴ παιδία γίνεσθε*, φησὶ· νηπίων γάρ ἐστιν ἀληθῶς τὸ τὰ μικρὰ θαυμάζειν, διὰ τὸ, τυχὸν, ἐκπληκτικὰ εἶναι, οἷαί εἰσι καὶ αἱ γλῶσσαι· τῶν δὲ μεγάλων καταφρονεῖν, τουτέστι, τῆς προφητείας. *Ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, καὶ ἐξῆς.*] Ὅταν πρόκειται ἀδικία τις, ἢ ἁμαρτία, τότε νηπιάζετε. *Νηπιάζειν δὲ τῇ κακίᾳ ἐστι*, τὸ μὴ εἰδέναι κακοποιεῖν, ἢ ἁμαρτάνειν, ἀλλ' ὥσπερ νήπιον ἄκακον εἶναι· ἡ δὲ τῶν φρενῶν τελειότης, καὶ κακίαν φεύγει, καὶ ἀρετὴν διώκει, καὶ τὰ μείζω καὶ ὠφελιμώτερα τῶν χαρισμάτων διακρίνειν οἶδεν. *Ἐν τῷ νόμῳ γέγραπται.*] Πάλιν συγκρίνει τὴν προφητείαν πρὸς τὰς γλώσσας, καὶ δείκνυσιν αὐτὴν ὑπερέχουσαν. *Ἐν τῷ νόμῳ* δὲ, λέγει, *γέγραπται*· καίτοι Ἡσαΐας τοῦτό φησιν· ἀλλ' ὁ ἅγιος πᾶσαν τὴν Παλαιὰν, *νόμον* καλεῖ· τὴν δὲ μαρτυρίαν παράγει, ῥῆμα δεικνὺς μὴ σφόδρα χρήσιμον εἶναι τὸ τῶν γλωσσῶν σημεῖον, διὰ τὸ καὶ ἀπίστοις γίνεσθαι. *Καὶ οὐδ' οὕτως εἰσακούσονταί μου.*] Τί

(α) Ἡσ. ΚΗ', 11. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν ἐλάλει, εἰ ἤδει μὴ ἀκουσθησόμενος; Ἵνα τὰ αὐτοῦ ποιήσῃ ὁ θεὸς, καὶ διὰ πάντων δείξῃ τὴν περὶ ἡμᾶς πρόνοιαν, καὶ νικήσῃ ἐν τῷ κρίνεσθαι αὐτὸν (α), καὶ ἀπαλλάξῃ πάσης ἀπολογίας.—Ἢ καὶ τὸ, *Οὐδ' οὕτως εἰσακούσονταί μου*, ὡς πρὸς τὸ κοινὸν εἴρηται, καὶ τὸ μὴ πάντας εἰσακοῦσαι· ἐπεὶ ἔνι μηδὲ ἕνα εἰσακοῦσαι.—*Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν.*] Ὁρᾷς, πῶς ὑποτίθησι τῇ προφητείᾳ τὰς γλώσσας; *Εἰς σημεῖον* γάρ, εἰσι, φησί· τὸ δὲ σημεῖον ἐκπλήττει μέν, οὐ πάντως δὲ διδάσκει καὶ ὠφελεῖ· ὁπότε καὶ βλάπτει πολλάκις, ὥσπερ ἡ ἄνευ ἑρμηνείας γλῶσσα, ὡς προϊὼν φησιν, ἔνθα λέγει, *Οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; Οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις.*] Οἱ γὰρ πιστοὶ οὐ δέονται σημείων, ἤδη πιστοὶ ὄντες. *Ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.*] Ἡ δὲ προφητεία, φησὶν, ὠφελεῖ τοὺς πιστούς· κατηχεῖ γὰρ αὐτούς· οὐκέτι δὲ καὶ τοὺς ἀπίστους, οἷον τοὺς ἀνίατα νοσοῦντας, εἰ μὴ ὅτι προϊὼν λέγει, ὅτι καὶ αὐτοὺς ὠφελεῖ. Ἐλεγχόμενος γάρ, φησιν, ὁ ἄπιστος, καὶ ἀνακρινόμενος ὑπὸ πάντων, ἐρεῖ, ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστιν. Ὅρα, πόση διαφορὰ τῆς προφητείας! Αἱ μὲν γὰρ γλῶσσαι, γελᾶν τοὺς ἀπίστους ποιοῦσιν· ἐροῦσι γάρ, φησιν, ὅτι *μαίνεσθε*· ἡ δὲ προφητεία, τοὺς πιστοὺς μὲν πᾶσι τρόποις ὠφελεῖ, ἔστι δ' ὅτε καὶ τοὺς ἀπίστους ὠφελεῖ, τῷ ἐλέγχειν αὐτοὺς, καὶ παρασκευάζειν ἐπὶ πρόσωπον πίπτειν, καὶ προσκυνεῖν τῷ θεῷ· τοῦτο γὰρ προϊὼν λέγει. *Ἀλλὰ τοῖς πιστεύουσιν*, εἰς ὠφέλειάν ἐστιν, ὅ ἐστι, διδαχήν.

23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται,
24 ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάν-
25 των· καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ

(α) Ψαλμ. Ν', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων, ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστί.

Ῥέμα δεῖξαι θέλει, ὅτι καὶ ἀφορμὴ βλάβης ἐστὶ τὸ λαλεῖν γλώσσαις, ἐὰν μὴ καὶ ἑρμηνείαν ἔχῃ. Τοῦτο δὲ λέγει, καθαιρῶν αὐτῶν τὸ φύσημα. Εἶτα, ἵνα μὴ δόξῃ τοῦ χαρίσματος κατηγορεῖν, ἐπάγει· Ἐὰν εἰσέλθητε πάντες γλώσσαις λαλοῦντες· εἰσέλθωσι δὲ καὶ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; Καίτοι τῆς ἐκείνων ἰδιωτείας καὶ ἀπιστίας, οὐ τῆς χάριτος, τὸ ἔγκλημα, ὅμως ἀφορμὴ καὶ οὕτω βλάβης ἐστὶν ἰδιώταις καὶ ἀπίστοις, ὅπερ οὐχ εὑρήσεις ἐπὶ τῆς προφητείας. *Ἰδιῶται, ἢ ἄπιστοι.*] *Ἰδιώτας* ἐνταῦθα, τοὺς ἀμυήτους ἐκάλεσε, καὶ διδάσκει, ὡς, οἱ μὴ συνιέντες τῶν λεγομένων, μεμηνότων περὶ αὐτῶν σχήσουσι δόξαν (Θεοδωρήτου). *Οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε;*] Ἐπειδὴ μέγα ἐφρόνουν γλώσσαις λαλοῦντες, δείκνυσιν αὐτοὺς εἰς αὐτὴν τὴν ὑπόληψιν ἐκ τῶν γλωσσῶν βλαπτομένους. Ὑπολήψεις γάρ, φησί, μαινομένων λαμβάνετε· δεῖ τῆς σπουδῆς ὑμῶν ἐναντίον καὶ τῆς ποιήσεως. *Ἐὰν δὲ πάντες προφητεύωσιν, καὶ ἔξῃς.*] Ἐπὶ δὲ τῆς προφητείας, φησί, τὸ ἐναντίον συμβαίνει· αὕτη γὰρ καὶ τοὺς ἀναισχύντους τῶν ἀπίστων ἐφέλκεται, τῷ ἐλέγχειν αὐτοὺς καὶ ἀνακρίνειν, καὶ τὰ κρυπτὰ τῆς καρδίας αὐτῶν φανεροῦν. *Καὶ οὕτω τὰ κρυπτά.*] Τουτέστιν, ἃ ἐπὶ τὴν ψυχὴν ἔχει, καὶ τὰ κατ' αὐτὰ, ἐναχθήσεται ἐν μέσῳ, καὶ φανερωθήσεται, *καὶ οὕτω*, διὰ τοῦ ἀνακρίνεσθαι δηλονότι, τὰ κρυπτὰ αὐτοῦ φανεροῦνται, καὶ πεσὼν προσκυνεῖ τῷ Θεῷ. *Πεσὼν ἐπὶ πρόσωπον.*] Τὸ γὰρ γινόμενον, καὶ τὸν σφόδρα ἀναίσχυντον καταιδέσει, καὶ ποιήσει τὸν ἄπιστον, ἐπιγινώσκειν τὸν Θεὸν, πίπτοντα ἐπὶ πρόσωπον καὶ προσκυνοῦντα αὐτῷ, καὶ ὁμολογοῦντά, ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν.

26 Τί οὖν ἐστὶν, ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 κοδομὴν γινέσθω. Εἴτε γλώσσῃ τίς λαλεῖ, κατὰ
δύο, ἢ, τὸ πλεῖστον, τρεῖς, καὶ ἀνὰ μέρος· καὶ εἷς
28 διερμηνευέτω. Ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγά-
τω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ.

Τί οὖν, φησὶ, ποιητέον ὑμῖν; Ἰδοὺ γὰρ ἀκηκόατε τὰς τῶν χαρισμάτων διαφοράς. Καὶ λοιπὸν λέγει· Ἕκαστος ὑμῶν εἴτε ψαλμὸν ἔχει· (ἀπὸ γὰρ χαρίσματος καὶ ψαλμοὺς ἐποίουν·) εἴτε διδαχὴν ἔχει· (οἷον, εἰ δύναται διδάξαι καὶ ὠφελῆσαι·) εἴτε προφητείαν· (τοῦτο γὰρ ἡ *ἀποκάλυψις*·) εἴτε γλῶσσαν ἔχει· (καλῶς δὲ καὶ τῶν γλωσσῶν ἐμνήσθη· ἐπειδὴ γὰρ αὐτὰς ἐν τοῖς προλαβοῦσι σφόδρα καθεῖλε, νῦν καὶ αὐτῶν ἐμνήσθη· ἐπεὶ ἔδοξεν ἂν μηδὲ εἶδος εἶναι χαρίσματος τὸ τῶν γλωσσῶν·) εἴτε ἑρμηνείαν ἔχει, καὶ δύναται τὰς γλώσσας ἑρμηνεύειν, πρὸς ἓν τέλος πάντα ὁράτω, τὸ οἰκοδομεῖν τὴν ἐκκλησίαν. Ὡς ἂν εἰ ἔλεγε· Πάντα, ὅσα ἂν εἶπον χαρίσματα, ψαλμὸν, διδαχὴν, ἀποκάλυψιν, ἦχον, προφητείαν, γλῶσσαν, ἑρμηνείαν, εἰς ὠφέλειαν ἔστωσαν τοῦ λαοῦ καὶ οἰκοδομήν. *Κατὰ δύο, ἢ, τὸ πλεῖστον, τρεῖς.*] Οὐ κωλύω, φησὶ, τὸ γλώσσῃ λαλεῖν, ἀλλὰ τὸ χωρὶς ἑρμηνέως. Μὴ οὖν πολλοὶ λαλεῖτε γλώσσῃ, μηδὲ συγκεχυμένως, ἵνα μὴ ἀκαταστασία γίνηται· ἀλλὰ δύο, ἢ τρεῖς τὸ πλεῖστον, *καὶ ἀνὰ μέρος*, τουτέστιν, ἐκ διαδοχῆς, ἤτοι, εἷς ἀφ' ἑνὸς, λαλείτω, καὶ διερμηνευέτω ἕτερος. *Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής.*] Ἐὰν μὴ ἔχῃ ἑρμηνευτὴν, ἐν ἐκκλησίᾳ μὴ λαλείτω, ἵνα μὴ δοκῇ βάρβαρος, ἀσύνετα καὶ ἀδιανόητα φθεγγόμενος τοῖς πολλοῖς. Ἐὰν δὲ οὕτως εἴη κενόδοξος, ὥστε μὴ ἀνέχεσθαι σιγᾶν, *ἑαυτῷ λαλείτω καὶ τῷ θεῷ.*] Τὸ, *ἑαυτῷ λαλείτω*, οὐκ ἔστιν ἐπιτρέποντος, ἀλλ' οὐδὲ κωλύοντος. Ὡσεὶ ἔλεγεν· Εἰ μὴ ἔχει ἑρμηνευτὴν, σιγάτω· εἰ δὲ μὴ καρτερεῖ σιγᾶν· (τοῦτο δὲ κατηγορίας ἐστίν·) *ἑαυτῷ λαλείτω καὶ τῷ θεῷ*, τουτέστιν, ἀψοφητὶ καὶ ἠρέμα καθ' ἑαυτὸν, ὡς θεὸν μόνον ἀκούειν, οὐ μὴν ἀνθρώπους. Ὅρα δὲ, πῶς ἐν τῷ δοκεῖν ἐπιτρέπειν, ἀποτρέπει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

29 Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι
30 διακρινέτωσαν· ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθη-
31 μένῳ, ὁ πρῶτος σιγάτω. Δύνασθε γὰρ καθ' ἕνα
πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ
32 πάντες παρακαλῶνται. Καὶ πνεύματα προφητῶν
33 προφήταις ὑποτάσσεται· οὐ γάρ ἐστιν ἀκαταστα-
σίας ὁ θεὸς, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκ-
κλησίαις τῶν ἁγίων.

Ησαν ἐν τοῖς προφήταις καὶ μάντεις λανθάνοντες· διὸ φησι· *Δύο, ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν·* τουτέστι, διακρινέτωσαν τούτους οἱ ἄλλοι, μή που τίς μάντις προφήτης εἶναι ὑποκρίνηται. Διὰ τοῦτο δὲ δύο, ἢ τρεῖς προφητεύειν κελεύει, ἵνα μὴ διὰ τὸ πλῆθος λάθωσιν οἱ μάντεις. *Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ.*] Εὐταξίαν ἐνταῦθα καὶ ταπεινοφροσύνην διδάσκει. Εἰ σοῦ, φησι, προφητεύοντος, ἄλλον ἐκίνησε τὸ Πνεῦμα τὸ ἅγιον, σὺ σίγα, ἵνα μὴ, τῶν δύο ἅμα προφητευόντων, σύγχυσις γένηται· διὰ τοῦτο γάρ, φησι, σοῦ προφητεύοντος, ἄλλος ἐνεπνεύσθη, βουλομένου τοῦ πνεύματος καὶ δι' ἐκείνου λεχθῆναί τι. *Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν.*] Ἐπειδὴ δὲ τὸν πρῶτον σιγᾷν ἐκέλευσε, παραμυθεῖται αὐτόν. Μὴ δυσχεράνῃς, φησὶ, σιγᾷν κελευόμενος· δύνῃ γὰρ καὶ σὺ καὶ ἄλλος προφητεύειν, ἤγουν, πάντες, εἰ εἷς, εἷς προφητεύῃ· τουτέστιν, οὐκ ἐκλείψει ὁ καιρός, ἵνα πάντες, οἱ τὴν ἐκκλησίαν πληροῦντες, καὶ μανθάνωσι, καὶ εἰς πίστιν παρακαλῶνται καὶ ὁδηγῶνται. Οὐ γὰρ ἑνὶ μόνῳ περικλείεται τὸ χάρισμα· ἀλλὰ πρὸς πάντας δίδοται· ἵνα πᾶσα ἡ ἐκκλησία μανθάνῃ, καὶ παράκλησιν πρὸς ἀρετὴν δέχηται. *Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται.*] *Πνεύματα προφητῶν* φησίν, αὐτὸ τὸ πνευματικὸν χάρισμα. Εἶτα, ἵνα μὴ λέγῃ τίς· Καὶ πῶς σιγᾷν δύναμαι; αὐτὸ γὰρ τὸ ἐπιπνέον ἅγιον Πνεῦμα καὶ ἑκόντα καὶ ἄκοντα ἀναγκάζει λαλεῖν· οὐχ οὕτω, φησιν· ὑποτέτακται γὰρ τῷ προφήτῃ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάρισμα· τουτέστιν, ἐν αὐτῷ ἐστι καὶ λαλεῖν καὶ σιωπᾶν. Οὐχ οὕτω δὲ οἱ μάντεις· ἐκεῖνοι γὰρ μετὰ τὴν παρ' αὐτοῖς ἐνθουσίασιν, καὶ ἄκοντες, οἷα δαιμονῶντες, λαλοῦσιν ἃ οὐ βούλονται. Εἰ τοίνυν τὸ χάρισμα τοῖς προφήταις ὑποτέτακται, πῶς οὐκ ἄτοπον ὑμᾶς μὴ ὑποτάσσεσθαι τῷ κοινῷ συμφέροντι, ἵνα, ὅταν ᾖ καιρὸς σιωπῆς, σιωπᾶτε; *Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ θεός.*] Εἶτα δείκνυσιν, ὅτι καὶ τῷ θεῷ τοῦτο δοκεῖ, τὸ τὸν πρῶτον σιγᾶν· ἐπεὶ ὁ θεὸς, φησιν, οὐκ ἔστι θεὸς ἀκαταστασίας καὶ συγχύσεως, (ἥτις ἐκ τοῦ μὴ σιγᾶν, ἀλλὰ πάντας προφητεύειν, γίνεται·) *ἀλλ' εἰρήνης*· οὗτος δὲ ὁ τῆς εἰρήνης νόμος, *ἐν πάσαις ἐστὶ ταῖς ἐκκλησίαις τῶν ἁγίων.* Καλῶς δέ φησι, *τῶν ἁγίων*· ἐπειδὴ καὶ Ἑλλήνων ἦσαν ἐκκλησίαι, καὶ Ἰουδαίων, καὶ λοιπῶν ἀπίστων.

34 Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσ-
35 σεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτω-σαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.
36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

Πάντοθεν τὴν ἡσυχίαν νομοθετήσας, ἐκ τοῦ μὴ πλείους τῶν τριῶν γλώσσαις λαλεῖν, καὶ ταῦτα ἀνὰ μέρος, τουτέστιν, εἷς ἀφ' ἑνός, καὶ ἐκ τοῦ, τὸν πρῶτον προφητεύοντα, τῷ δευτέρῳ παραχωρεῖν, ἵνα μὴ, πολλῶν ὁμοῦ προφητευόντων, καὶ σύγχυσις καὶ ἀκαταστασία ἐκ τούτου εἴη, ἦλθε λοιπὸν καὶ ἐπὶ τὴν τῶν γυναικῶν ἄκαιρον φλυαρίαν. *Αἱ γυναῖκες σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται· ἤγουν, οὐκ ἀπονενέμηται αὐταῖς λαλεῖν* (α). Καὶ οὐκ εἶπε μόνον σιγᾶν, ἀλλὰ καὶ ὑποτάσσεσθαι, ὃ πλέον ἐστὶ τῆς σιωπῆς· ἡ γὰρ ὑποταγὴ τὴν μετὰ φόβου σιγὴν δηλοῖ, ὡς ἐπὶ δουλίδων τινῶν γίνεται. *Καθὼς καὶ ὁ νόμος*

(α) Α' Τιμοθ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγει.] *Νόμον* τὸ τῆς Γενέσεως βιβλίον λέγει. Τί δὲ ὁ νόμος λέγει; « Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει (α).» Εἰ οὖν τῷ ἀνδρὶ ὑποτάσσεσθαι ὡρίσθη, πολλῷ μᾶλλον τοῖς πνευματικοῖς διδασκάλοις καὶ τῷ κοινῷ τῆς ἐκκλησίας πληρώματι. *Εἰ δέ τι μαθεῖν θέλουσιν.*] Εἰ οὖν μὴ λαλοῦσιν, εἴποι τις ἄν, πῶς μάθοιεν τὰ ἀγνοούμενα; Ἐν οἴκῳ, φησὶ, παρὰ τῶν ἀνδρῶν μανθανέτωσαν. Τοῦτο δὲ καὶ ἐκείνας κοσμίας ποιεῖ, καὶ τοὺς ἄνδρας προσεκτικωτέρους, εἰδότας, ὅτι παρὰ τῶν γυναικῶν ἐρωτηθήσονται περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ γραφῶν καὶ δογμάτων. Σημείωσαι δὲ, ὅτι οὐδὲ περὶ τῶν χρησίμων αὐταῖς ἐν ἐκκλησίᾳ λαλεῖν ἐπέτρεψεν. *Αἰσχρὸν γάρ ἐστι γυναῖξιν ἐν ἐκκλησίᾳ λαλεῖν.*] Εἶτα, ἐπειδὴ, ὡς εἰκὸς, καὶ ἐνεκαλλωπίζοντο αἱ γυναῖκες ἐπὶ ταῖς δηθὲν πνευματικαῖς ἐν ἐκκλησίᾳ ὁμιλίαις, δι' ἀποφάνσεως αὐτὸ ἀναιρεῖ, λέγων, ὅτι *αἰσχρὸν ἐστιν.* *Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν;*] Ὡς πρός τινας ἀντιλέγοντας αὐτῷ ὁ λόγος ἐσχημάτισται. Τί γάρ, φησὶν, ἐναντιοῦσθε, καὶ οὐχ ἡγεῖσθε καλῶς ἔχειν τὸ σιγᾶν ἐν ἐκκλησίᾳ τὰς γυναῖκας; μὴ ὑμεῖς μόνοι ἐστὲ πιστοὶ ἐν κόσμῳ, μὴ ὑμεῖς ἐστε διδάσκαλοι, καὶ ἀφ' ὑμῶν ἐξῆλθε τὸ κήρυγμα εἰς τοὺς λοιπούς; τοῦτο γὰρ λέγει· *Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν.* Οὔτε μόνοι ἐστέ, φησι, πιστοὶ, οὔτε πρῶτοι. Δεῖ οὖν τὰ τῇ οἰκουμένῃ δοκοῦντα, καὶ παρ' ὑμῖν κρατεῖν.

37 Εἴ τις δοκεῖ προφήτης εἶναι, ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐν-
38 τολαί· εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. Ὥστε, ἀδελφοί,
39 ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις
40 μὴ κωλύετε. Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

Πολλαχῶς διδάξας τὸ, δεῖν τὰς γυναῖκας σιγᾶν, νῦν καὶ τοῦτο προστίθησιν, ὅτι καὶ τῷ θεῷ τοῦτο δοκεῖ. Εἴτις γάρ,

(α) Γένεσ. Γ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησιν, ἢ προφήτης ἐστὶ παρ' ὑμῖν, ἢ ἄλλο πνευματικὸν ἔχει χάρισμα εἰς τὸ εἰδέναι τὰ παρ' ἐμοῦ γραφόμενα, ἴστω, ὅτι θεοῦ εἰσιν ἐντολαὶ ἃ γράφω, καὶ οὐκ ἀπ' ἐμαυτοῦ πρὸς ταῦτα κινοῦμαι. *Εἰ δέ τις ἀγνοεῖ*, ὅτι θεοῦ εἰσὶν ἐντολαὶ, *ἀγνοείτω· τουτέστιν·* Ἐγὼ εἶπον, καὶ ὁ θέλων, πειθέσθω· ὁ δὲ μὴ θέλων, ἃ θέλει ποιείτω. Τὸ δὲ ταῦτα λέγειν, σημεῖον ἐστὶν ἀνδρὸς οὐ τὰ ἑαυτοῦ πάντως βουλομένου σῴσαι, ἀλλὰ τὸ κοινῇ συμφέρον σκοποῦντος. Τὸ δὲ τοιοῦτον σχῆμα τοῦ λόγου ποιεῖν εἴωθεν ὁ Παῦλος, ἔνθα οὐ μέγα ἐστὶ τὸ γινόμενον πλημμέλημα· τί γὰρ μέγα τὸ ἀγνοεῖν αὐτοὺς, ὅτι θεοῦ εἰσὶν ἐντολαὶ τὸ σιγᾷν τὰς γυναῖκας; *Ζηλοῦτε τὸ προφητεύειν.*] Πάλιν ἐπανῆλθεν, ὅθεν ἐξῆλθε, καὶ μείζονα δείκνυσι τὴν προφητείαν ἐν τῷ εἰπεῖν, *Ζηλοῦτε τὸ προφητεύειν*· ἧττονα δὲ τὴν τῶν γλωσσῶν χάριν· τὸ γὰρ *λαλεῖν*, φησι, *γλώσσαις μὴ κωλύετε*. Εἶτα ἐπανακεφαλαιοῦται τὰ πρῶτα. *Πάντα*, φησὶν, *εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω*. Ἔσται δὲ τοῦτο, ἐὰν οἱ γλώσσαις λαλοῦντες, δύο ἢ τρεῖς λαλῶσι, καὶ ἀνὰ μέρος, καὶ οἱ προφῆται ἀλλήλοις παραχωρῶσι, καὶ αἱ γυναῖκες ἐν ἐκκλησίᾳ σιωπῶσιν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἀναστάσεως σωμάτων καθολικῆς· ἐν ᾧ, περὶ τῆς ἐν Χριστῷ διορθώσεως καὶ ἀποκαταστάσεως· ὁμοίωσις τῶν ἀνισταμένων πρὸς τὰ ἀναφυόμενα σπέρματα· περὶ τῆς εἰς δόξαν καὶ δύναμιν ἀλλαγῆς.

ΚΕΦ. XV, 1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, (τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε·) ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.

Εἰς τὸν περὶ ἀναστάσεως ἔρχεται λόγον· [ὅς ἐστι τὸ κεφάλαιον τῆς ἡμετέρας πίστεως· εἰ γὰρ οὐκ ἔστιν ἀνάστασις, οὐδὲ ὁ Χριστὸς ἠγέρθη· εἰ δὲ οὐκ ἠγέρθη, οὐδὲ ἐσαρκώθη· καὶ οὕτως οἴχεται ἡ πᾶσα ἡμῶν πίστις. Ἐπεὶ οὖν οὕτως ἐχώλευε παρὰ Κορινθίοις ἡ ἀνάστασις· (οἱ γὰρ ἔξω σοφοὶ πάντα ἂν κατεδέξαντο, ἢ τὴν ἀνάστασιν·) περὶ τούτου ἀγωνίζεται ὁ Παῦλος. Σαφώτατα δὲ ἀναμιμνήσκει αὐτοὺς τῶν ἤδη αὐτοῖς πιστευθέντων (1).] Λέγει δέ, ὅτι οὐδὲν ξένον ὑμῖν ἐρῶ· ἀλλὰ τὸ ἤδη γνωρισθὲν ὑμῖν, εἰς λήθην δὲ ἐλθὸν, τοῦτο *γνωρίζω ὑμῖν*, οἷον, ἐπαναμιμνήσκω. *Ἀδελφοὺς* δὲ καλέσας αὐτοὺς, ὁμοῦ μὲν αὐτοὺς καταπραΰνει, ὁμοῦ δὲ καὶ ὅθεν ἀδελφοὶ γεγόναμεν ἀναμιμνήσκει· διὰ γὰρ τὴν ἔνσαρκον τοῦ Χριστοῦ παρουσίαν πάντες ἀδελφοὶ γεγόναμεν. *Εὐαγγέλιον* δὲ εἰπὼν, τῶν μυρίων ἀγαθῶν ἀνέμνησεν, ὧν ἀπελαύσαμεν διὰ τῆς ἐνσάρκου παρουσίας καὶ τῆς ἀναστάσεως. *Ὃ καὶ παρελάβετε.*] Οὐκ εἶπεν, ὃ ἠκούσατε, ἀλλ', ὃ *παρελάβετε*, οἷον, ὡς πέρ τινα παρακαταθήκην. Οὐ λόγῳ γὰρ μόνον παρειλήφεσαν, ἀλλὰ καὶ διὰ σημείων καὶ ποικίλων δυνάμεων. *Ἐν ᾧ καὶ ἑστήκατε.*] Ὅρα τὴν σοφίαν Παύλου! Ἐσαλεύοντο οὗτοι· καὶ ὅμως ἑστάναι αὐτοὺς λέγει, ἐκὼν ἐν τούτῳ προσποιούμενος ἀγνοεῖν, ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ποιήσῃ. Εἶτα τοῦ ἑστάναι τὸ κέρδος τιθέμενος, *δι' οὗ*, εὐαγγελίου, ἑστηκότες, φησὶ, *καὶ σώζεσθε. Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε.*] Ὡσανεὶ αὐτῶν σαφήνειαν μόνον ζητούντων, οὐ μὴν ἀμφιβαλλόντων περὶ τὴν ἀνάστασιν, οὕτω λέγει· *Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν*· τουτέστι, ποίῳ τρόπῳ ἡ ἀνάστασις ἐλέχθη γίνεσθαι. Ὡς εἰ ἔλεγε· Περὶ μὲν τοῦ δόγματος, οὐκ ἂν φαίην

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμᾶς ἀμφιβάλλειν, τὸν δὲ τούτου ζητεῖν λόγον. Ὅθεν, φησὶ, τὸν τῆς ἀναστάσεως λόγον ὑμᾶς ὑπομιμνήσκω, ποίῳ τρόπῳ ἐλέχθη γίνεσθαι ταύτην. Εἶτα, ἐπειδὴ εἶπεν, ὅτι *ἑστήκατε*, ἵνα μὴ ῥᾳθύμους αὐτοὺς ἐργάσηται, μαρτυρῶν αὐτοῖς τὸ ἑστάναι, φησὶν· *εἰ κατέχετε*· κατέχετε δὲ πάντως, *ἐκτὸς εἰμὴ εἰκῆ ἐπιστεύσατε*. Ἐκτὸς γὰρ τοῦ κατέχειν τὸ περὶ ἀναστάσεως δόγμα, *εἰκῆ ἐπιστεύσατε*, ἤγουν, ματαίως. ΚΑΙ ΑΛΛΩΣ. Ἀναμιμνήσκω ὑμῖν, ποίῳ τρόπῳ ἐδηλώθη ὑμῖν ὁ λόγος τῆς ἀναστάσεως, *εἰ κατέχετε* τοῦτον τὸν λόγον τῆς ἀναστάσεως· ἐκτὸς γὰρ τούτου τοῦ δόγματος εἰ κατέχετε, *εἰκῆ ἐπιστεύσατε*· εἰ δὲ ἐκτὸς τούτου ἐστὲ, εἰς μάτην ὁ κόπος ὑμῶν, ὡς τοῦ κεφαλαίου τῆς πίστεως ἐν τούτῳ ὑπάρχοντος.

3 Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον·
ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ
τὰς γραφὰς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται
5 τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς· καὶ ὅτι ὤφθη
6 Κηφᾷ, εἶτα τοῖς δώδεκα. Ἔπειτα ὤφθη ἐπάνω
πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους
7 μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. Ἔπειτα ὤφθη Ἰακώβῳ· εἶτα τοῖς ἀποστόλοις πᾶσιν.

Μέγα ὂν τὸ περὶ τῆς ἀναστάσεως δόγμα· οἰονεὶ γὰρ θεμέλιός ἐστι πάσης τῆς πίστεως· *ἐν πρώτοις ὑμῖν αὐτὸ παρέδωκά*, φησι· καὶ γὰρ καὶ ἐγὼ παρὰ Χριστοῦ αὐτὸ περείληφα. Οὐδὲν οὖν ἴδιον εἶπον ὑμῖν ἐν πρώτοις. Ὥσπερ οὖν ἐγὼ κατέχω αὐτὸ, οὕτω καὶ ὑμεῖς ὀφείλετε κατέχειν. Τοιγαροῦν αὐτὸ περειλημφότες, νῦν ἀμφιβάλλειν οὐκ ὀφείλετε διὰ τὸν χρόνον. *Ὅτι Χριστὸς ἀπέθανεν.*] Οὐκ εὐθέως εἰς τὸν περὶ τῆς ἀναστάσεως ἦλθε λόγον· ἀλλ' ἄνωθεν αὐτὸν κατασκευάζει. Χριστός, φησιν, ἀπέθανε διὰ τὰς ἁμαρτίας ἡμῶν, ἵνα ἡμᾶς, τεθανατωμένους ταῖς ἁμαρτίαις, ζωοποιήσῃ (α).

(α) Ῥωμ. Δ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κατὰ τὰς γραφάς.] Οὐδὲν ξένον γέγονεν· ἄνωθεν γὰρ τοῦτο προείρητο καὶ προετετύπωτο. *Καὶ ὅτι ἐτάφη.*] Ἀπὸ κοινοῦ τὸ, *κατὰ τὰς γραφὰς*. Ἀληθῆ δὲ τὸν θάνατον δεῖξαι θέλων, καὶ οὐ φαντασίᾳ, ὥς τισι δοκεῖ τῶν αἱρετικῶν, τὸ, *ἐτάφη*, προσέθηκε· βεβαίωσις γὰρ ἡ ταφὴ τοῦ θανάτου. Καὶ Μανιχαῖοι δὲ καταισχύνονται οἱ λέγοντες, ὅτι ὁ Παῦλος *θάνατον* λέγει τὰς ἁμαρτίας, καὶ *ἀνάστασιν*, τὴν τούτων ἀπαλλαγήν· οὐ μήν, φασι, κατ' ἀλήθειαν ἀπέθανε (1). *Τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς.*] Πάλιν τὸ, *κατὰ τὰς γραφὰς*, προσέθηκε, διὰ τὸ πολλοὺς ἀθέους ἀμφιβάλλειν περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου. *Καὶ ὅτι ὤφθη Κηφᾷ.*] Καίτοι τὸ εὐαγγέλιον φησὶ, πρώτῃ τὸν Χριστὸν ὤφθαι τῇ Μαρίᾳ (α)· ἀλλ' ἐν ἀνδράσι, πρώτῳ ὤφθη τῷ Πέτρῳ, ἅτε προὔχοντι τοῦ θεσπεσίου χοροῦ τῶν μαθητῶν. *Εἶτα τοῖς δώδεκα.*] Καίτοι ὁ Ματθίας μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ἀντεισήχθη ἀντὶ τοῦ Ἰούδα, πῶς οὖν λέγει, *Εἶτα τοῖς δώδεκα*; Λέγομεν οὖν, ὅτι ἢ γραφικόν ἐστι σφάλμα, ἢ ὅτι τῷ προγνωστικῷ ὀφθαλμῷ ὁ Κύριος εἶδως, ὅτι συναριθμηθήσεται τοῖς ἕνδεκα, ὤφθη καὶ αὐτῷ, ἵνα μηδὲ ἐν τούτῳ ἔλαττον ἔχῃ τῶν λοιπῶν ἀποστόλων. Τοιοῦτόν τι παραδηλοῖ καὶ ὁ Ἰωάννης, μηδαμοῦ μὲν λέγων, ὅτι ὤφθη τοῖς ἕνδεκα· ἀλλὰ περὶ τοῦ Θωμᾶ διαλεγόμενος, εἶπε· *Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα* (β). Μᾶλλον γὰρ εἴποιμεν ἄν, ὅτι τὸν Ματθίαν συνέταξεν ἡ χά-

---

(1) «Ἀπέθανε γὰρ ὁ Χριστός· ποῦον θάνατον; σωματικὸν πάντως· οὐ γὰρ δὴ τὸν ἐν ἁμαρτίαις· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν (Ἡσ. ΝΓ', 9.) Εἰ δὲ καὶ ἀναισχυντιῶν, λέγοντες, ὅτι τὸν ἐν ἁμαρτίαις θάνατον ἀπέθανε καὶ αὐτός· πῶς φησιν, ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν; Εἰ γὰρ καὶ αὐτὸς ἁμαρτωλὸς ἦν, πῶς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν ἀπέθανεν; Ἀλλὰ καὶ τῷ, *κατὰ τὰς γραφάς*, εἰπεῖν, ἐντρέπει σαφέστατα τοῦτες. Πανταχοῦ γὰρ αἱ γραφαὶ τοῦτον τὸν σωματικὸν θάνατον τῷ Χριστῷ προσμαρτυροῦσιν· Ὤρυξαν γάρ, φησι, χεῖράς μου, καὶ πόδας μου (Ψαλμ. ΝΑ', 18)· καὶ· Ὄψονται εἰς ὃν ἐξεκέντησαν (Ζαχ. ΙΒ, 10.)· καὶ· Ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ· Ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἦκεν εἰς θάνατον (Ἡσ. ΝΓ', 5. 6.)». Θεοφύλακτος.

(α) Μαρ. ΙΣ', 9. (β) Ἰωαν. Κ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρις κατὰ πρόγνωσιν τοῖς λοιποῖς ἀποστόλοις, ἢ τὸν Ἰούδαν πάλιν συνέταξε μετὰ τὴν προδοσίαν καὶ τὴν ἀγχόνην(1). *Ἐπάνω πεντακοσίοις ἀδελφοῖς.*] Τὸ, *ἐπάνω*, οἱ μέν φασιν εἰρηκέναι, οἷον, Ἐκ τοῦ οὐρανοῦ, ἵνα αὐτοῖς καὶ τὴν ἀνάληψιν αὐτοῦ δείξῃ· ἄλλοι δὲ, ἀντὶ τοῦ, *πλείοσιν*, ἡρμήνευσαν, τουτέστι, *πλείοσι τῶν πεντακοσίων. Ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι.*] Ἔχω, φησὶν, ἔτι ζῶντας μάρτυρας. *Τινὲς δὲ καὶ ἐκοιμήθησαν.*] Διὰ τῆς τοῦ, *ἐκοιμήθησαν*, λέξεως ἀρχὴν τῆς ἀναςάσεως προκαταβάλλεται· ὁ γὰρ κοιμώμενος, καὶ ἀνίςαται. *Ὤφθη Ἰακώβῳ.*] Τῷ ἀδελφῷ τοῦ Κυρίου, τῷ χρηματίσαντι πρώτῳ ἐπισκόπῳ τῆς Ἱερουσαλήμ. *Εἶτα τοῖς ἀποστόλοις πᾶσιν.*] Ἦσαν γὰρ καὶ ἄλλοι ἀπόστολοι ἐκ τῶν μαθητῶν κατὰ μίμησιν τῶν δώδεκα, οἷος ἦν ὁ Παῦλος καὶ Βαρνάβας καὶ Θαδδαῖος.

8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ (2) ἐκτρώματι,
9 ὤφθη κἀμοί. (Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων· ὃς οὐκ εἰμὶ ἱκανὸς, καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ.
10 Χάριτι δὲ θεοῦ εἰμὶ, ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ, ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις
11 τοῦ θεοῦ, ἡ σὺν ἐμοί.) Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

Ταπεινοφροσύνης μὲν τὸ ῥῆμα· πλὴν οὐ διὰ τοῦτο ἐλάττων τινὸς ὁ Παῦλος, ὅτι ἐσχάτῳ αὐτῷ ὤφθη. Οὔτε γὰρ Ἰάκωβος ἐλάττων ἦν τῶν πεντακοσίων· ἐπειδὴ ὕστερον ἐκείνων ὤφθη αὐτῷ. Πλὴν καὶ οἰκονομικῶς ἑαυτὸν ἐξευτελίζει, ἵνα, ὅταν εἴπῃ τὸ μέγα ῥῆμα ἐκεῖνο, τὸ, *Περισσότερον αὐτῶν πάντων ἐκοπίασα*, μὴ ἀπιστηθῇ. *Ὡσπερεὶ τῷ ἐκτρώματι.*] Ἔστι δὲ

(1) Εἶπεν· Εἶτα τοῖς δώδεκα, ἂν καὶ ὁ μὲν Ἰούδας ἦτον ἤδη τεθνηκώς, ὁ δὲ Θωμᾶς, ἀπών· διότι ἐκ δώδεκα ἦσαν ἐξ ἀρχῆς συγκεκροτημένος ὁ χῖρος τῶν ἀποστόλων. (2) Παρὰ τῷ Χρυσοστόμῳ Τομ. Ι. Σελ. 330. C. γράφεται, ὡσπερεὶ τῷ, εἶν, τινί. Οὕτως εὕρηται γεγραμμένον καὶ ἐν πολλοῖς χειρογράφοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔκτρωμα, τὸ ἀτελεσφόρητον, ἤγουν, τὸ ἀτελὲς ἔμβρυον, τὸ ἄμορφον, τὸ ἐξάμβλωμα καὶ ἀμβλωθρίδιον. Ἐνταῦθα καὶ ὁ ἐν πᾶσι τέλειος Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὡς μὴ μορφωθεὶς ἐξ ἀρχῆς τῇ κατὰ Χριστὸν πίστει, ἔκτρωμα φησὶν ἑαυτὸν διὰ ταπεινοφροσύνης ὑπερβολήν (1). *Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων.*] Λοιπὸν ἀποφαίνεται καὶ περὶ ἑαυτοῦ. Ὅρα δέ! οὐκ εἶπε μόνον τῶν δώδεκα, ἀλλὰ πάντων τῶν ἀποστόλων. Εἶτα λέγει καὶ τὴν αἰτίαν· *διότι*, φησὶν, *ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ. Χάριτι δὲ θεοῦ εἰμὶ, ὅ εἰμι.*] Ὅρα εὐγνωμοσύνην! Τὰ μὲν ἁμαρτήματα, ἑαυτῷ καταλογίζεται· τὰ δὲ κατορθώματα, τῇ χάριτι τοῦ θεοῦ ἀνατίθησι. *Καὶ ἡ χάρις αὐτοῦ, ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη.*] Καὶ τοῦτο μεθ' ὑποστολῆς εἶπεν. Οὐ γὰρ εἶπεν· Ἄξια τῆς χάριτος ἔπραξα· ἀλλ', οὐ ματαία, φησὶν, ἡ χάρις τοῦ θεοῦ εὑρέθη ἐν ἐμοί. Πῶς; Ὅτι *πάντων*, φησὶ, *τῶν ἀποστόλων περισσότερον ἐκοπίασα.* Ὅρα δὲ καὶ ὧδε, πῶς ὑφειμένως αὐτὸ τέθεικεν! Οὐ γὰρ εἶπεν· *ἠγωνισάμην*, ἢ ἐκήρυξα, ἢ ἐκινδύνευσα, ἀλλ', *ἐκοπίασα*, ταύτῃ τῇ λέξει τὸ περὶ ἑαυτοῦ ἐγκώμιον ὑποτεμνόμενος. Ὅμως ἐπὶ ταῦτα τὰ ῥήματα ἐξ ἀνάγκης ἦλθε, διὰ τὸ ἀξιόπιστον δηλαδὴ φανῆναι· δεῖ γὰρ τὸν διδάσκαλον ἀξιόπιστον εἶναι. *Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ, ἡ σὺν ἐμοί.*] Εἶτα ὥσπερ δειλιάσας, μὴ αὐτῷ τὸ κατόρθωμα λογισθῇ, ἐπὶ τὴν τοῦ θεοῦ χάριν αὐτὸ ἀνατίθησιν. Καὶ τὸ κοπιάσαι δὲ αὐτό, φησι, τῆς τοῦ θεοῦ χάριτός ἐστιν, οὐκ ἐμὸν κατόρθωμα. *Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι.*] Εἴτε ἐγὼ ἐκοπίασα πλέον, εἴτε ἐκεῖνοι, περὶ γοῦν τὸ κήρυγμα ὁμοφωνοῦμεν, φησὶν, ἅπαντες. Καὶ οὐκ εἶπεν· Εἰ μὴ ἐμοὶ πιστεύητε, ἐκείνοις πείσθητε· ἐξηυτέλιζε γὰρ ἑαυτὸν, καὶ οὐκ ἀξιόπιστον μάρτυρα τῆς ἀληθείας ἑαυτὸν ἀπέ-

(α) « Ἐπεὶ οὖν καὶ αὐτὸς ἀνάξιον ἑαυτὸν τοῦ εἶναι ἀπόστολον λέγει, καὶ ἀπόβλητον, οὕτως ἑαυτὸν ὠνόμασεν, ὡς ἀτελεσφόρητον κατά γε τὸ τοῦ ἀποστόλου ἀξίωμα. Τινὲς δὲ τὸ ὕστερον γέννημα, ἔκτρωμα ἐνόησαν· διότι καὶ αὐτὸς ἔσχατος τῶν ἀποστόλων. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φαινεν· ἀλλὰ τί λέγει; Συμφωνοῦμεν ἅπαντες. Καὶ τῷ εἰπεῖν δὲ, *Κηρύσσομεν*, τὸ ἀληθὲς τῶν λεγομένων παρίστησιν. Οὐ γὰρ ἐν παραβύστῳ, φησὶ, καὶ ἐν γωνίᾳ λαλοῦμεν περὶ τούτων, ἀλλὰ φανερῶς, καὶ ἕως ἄρτι· τοῦτο γὰρ τὸ, *κηρύσσομεν*. *Καὶ οὕτως ἐπιστεύσατε.*] Μετὰ τῶν ἄλλων καὶ αὐτὴν τὴν ἐκείνων πίστιν καλεῖ μάρτυρα τῆς ἀληθείας. Οὐ γὰρ ἂν ἁπλῶς, φησιν, ἐπιστεύσατε λόγοις ἐψευσμένοις καὶ ἀπατηλοῖς, εἰ μὴ ἐπείσθητε, ἀληθῆ εἶναι τὰ κηρυσσόμενα.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται,
πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν
13 οὐκ ἔστιν; Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ
14 Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται,
κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ
15 πίστις ὑμῶν. Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες
τοῦ θεοῦ· ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ, ὅτι
ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα
νεκροὶ οὐκ ἐγείρονται.

Ἄριστα συλλογίζεται. Ἀποδείξας γὰρ πρότερον, ὅτι Χριστὸς ἐγήγερται, καὶ ὅτι οὕτω κηρύσσεται παρ' αὐτοῦ καὶ τῶν ἀποστόλων· ἐκ τῆς τούτου ἐγέρσεως καὶ τὴν κοινὴν ἀνάστασιν κατασκευάζει, ὡς ἑπομένου πάντοτε καὶ πάντως τοῦ ὅλου τῷ μέρει, καὶ τῇ κεφαλῇ, τοῦ λοιποῦ σώματος. *Πῶς λέγουσί τινες ἐν ὑμῖν.*] Ὅρα, πῶς οὐ κατὰ πάντων ποιεῖται τὴν κατηγορίαν, ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ἐργάσηται· ἀλλὰ, *τινές*, φησι, *λέγουσιν*. *Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν.*] Ἵνα μὴ λέγωσιν, ὅτι ὁ μὲν Χριστὸς ἐγήγερται, οὐ μὴν δὲ ἔσται καὶ καθολικὴ ἀνάστασις, ἐκ τοῦ ἐναντίου κατασκευάζει αὐτὸ, καί φησιν· *Εἰ ἀνάστασις οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται*· ἑκάτερον γὰρ ἑκατέρου κατασκευαστικὸν καὶ ἀποδεικτικὸν τυγχάνει. Τίνος γὰρ ἕνεκεν ἀνέστη, εἰ μὴ ἔμελλεν ἡμῶν ἀπαρχὴ εἶναι; *Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται.*] Οὐκ εἶπεν, Οὐκ ἐσαρκώθη, ἀλλ', *Οὐκ ἐγήγερται*, δεικνὺς καὶ τὴν σάρκω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν τῇ ἀναστάσει συνῆφθαι· καὶ διὰ τοῦτο σεσαρκῶσθαι αὐτὸν, ἵνα τὴν ἀνάστασιν κατορθώσῃ. *Κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.*] Ὡσεὶ εἶπεν· Ἅπαντα ἀπόλωλε καὶ μεματαίωται, καὶ τὸ κήρυγμα ἡμῶν, καὶ ἡ πίστις ὑμῶν. *Ψευδομάρτυρες τοῦ θεοῦ.*] Καὶ οὐ μόνον μάταιον, ἀλλὰ καὶ ὅλως ἀνόσιον, φησὶ, τὸ συκοφαντεῖν ἡμᾶς τὸν θεὸν, λέγοντας, ὅτι ἐποίησέ τι, ὅπερ οὐκ ἐποίησεν.

16 Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

Πάλιν τῷ αὐτῷ ἐπαγωνίζεται λόγῳ. Διὰ τοῦτο γάρ, φησι, ἀνέστη, ἵνα καθολικὴν ἀνάστασιν ποιήσῃ· εἰ δὲ ἀνάστασις οὐκ ἔστιν, ἄρα οὐδὲ αὐτὸς ἀνέστη. Τούτου δὲ δοθέντος, ματαία ἡ πίστις ὑμῶν· ὅπερ ἄτοπον. *Ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.*] Εἰ γὰρ καὶ αὐτὸς κατεσχέθη ὑπὸ τοῦ θανάτου, πῶς τοὺς ἄλλους ἅπαντας ἀπήλλαξε θανάτου, τοῦ διὰ τὰς ἁμαρτίας γεγονότος; Ἀκολούθως τοιγαροῦν, οὐδὲ ἡ ἁμαρτία τῷ σταυρῷ τοῦ Χριστοῦ ἀνῄρηται· εἰ γὰρ ἀνῄρητο, ἀνῄρητο ἂν καὶ ὁ δι' αὐτῆς θάνατος· εἰ δὲ τοῦτο ἐγεγόνει, ἔδει πάντως τὸν καὶ τοὺς ἄλλους θανάτου ἀπαλλάξαντα, αὐτὸν πρῶτον ἀναστῆναι, καὶ ὁδηγὸν τοῖς ἄλλοις γενέσθαι πρὸς τὴν ἀνάστασιν. *Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο.*] Τῷ ὀνόματι τῆς κοιμήσεως τὴν ἀνάστασιν παρεισάγει. Οἱ διὰ τὸν Χριστόν, φησιν, ἀποθανόντες καὶ μαρτυρήσαντες, ἀπώλοντο, εἰ μή ἐστιν ἀνάστασις· καὶ πάντες δὲ ἁπλῶς, οἱ τοὺς πολλοὺς διανύσαντες καμάτους, καὶ τοὺς μυρίους ὑπομεμενηκότες κινδύνους, ἀπώλοντο, τῶν τερπνῶν τοῦ κόσμου στερηθέντες, καὶ μηδὲ μετὰ ταῦτα μέλλοντές τινος ἀγαθοῦ ἀπολαῦσαι, εἴπερ ἀνάστασις οὐκ ἔσται. Ὅπερ ἄτο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πον ἦν, ἀπολέσθαι τοὺς δι' αὐτὸν ἀποθανόντας. Πανταχοῦ γὰρ ἐπὶ τὴν εἰς ἄτοπον ἐπαγωγὴν πρόεισιν. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες.] Εἰ ἄχρι, φησί, τῆς ὧδε ζωῆς ἐστι τὰ ἡμέτερα, καὶ εἰς ταύτην μόνην περικέκλεισται ἡμῖν τὰ τῶν ἐλπίδων, ἄθλιοί ἐσμεν· τὸ γὰρ πᾶν ἀπωλέσαμεν, τὰ μέλλοντα ἀπολέσαντες. Καὶ τί λέγω, φησιν, ὅτι τὸ ἐλπίζειν ἐν τῇ ζωῇ ταύτῃ ἐλεεινοὺς ποιεῖ; Εἰ γὰρ καὶ ἐν Χριστῷ ἐλπίζομεν ἐν ταύτῃ μόνῃ τῇ ζωῇ, καὶ οὕτως ἄθλιοί ἐσμεν· εἰ γὰρ μετὰ καμάτους τοσούτους καὶ κινδύνους, ἄχρι ταύτης τῆς ζωῆς ἡμῖν ἔσται τὰ ἀγαθὰ, καὶ αἱ τῶν καμάτων ἀντιδόσεις.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ
21 τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις
22 νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιη-
23 θήσονται. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρου-
24 σίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

Μετὰ τὸ πολλαχῶς ἀποδεῖξαι ὅσα ἄτοπα ἐκ τοῦ μὴ πιστεύεσθαι τὴν ἀνάστασιν τίκτεται, ἀναλαμβάνει τὸν λόγον, καὶ λοιπὸν ἀποφαντικῶς λέγει· *Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν*· ἆρα καὶ κοινὴ ἀνάστασις ἔσται, καὶ τὰ ἄτοπα ταῦτα οὐ συμβήσεται. *Ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.*] Εἰ δὲ ἀπαρχὴ τῶν κεκοιμημένων γεγένηται ὁ Χριστὸς, δῆλον ὡς καὶ οἱ λοιποὶ συνεγερθήσονται. *Ἀπαρχὴ* γάρ ἐστι, τὸ ἐκ πολλῶν ἕνα τινὰ πρῶτον τόδε ἢ τόδε ποιῆσαι, ὃ μέλλουσι καὶ οἱ λοιποὶ ποιεῖν ἐφεξῆς (1). *Ἐπειδὴ γὰρ δι' ἀνθρώπου*

(1) Σχολίων ἀρχαίων· « Ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο, ἅτε πρῶτος αὐτὸς τῆς εἰς τὴν ζωὴν ἐπανόδου προκατάρξας. Τότε γάρ τις λέγεται ἀπαρχὴ, ὅτε τι πρῶτος αὐτὸς ποιήσει, ὃ καὶ οἱ λοιποὶ μέλλουσι ποιεῖν, ἐκείνῳ κατακολουθοῦντες. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ θάνατος.] Τῷ εἰρημένῳ καὶ αἰτίαν προστίθησιν. Αὐτὴν γὰρ ἔδει, φησὶ, τὴν ἡττηθεῖσαν ἀνθρωπίνην φύσιν νικῆσαι· καὶ τὸν καταβληθέντα ἄνθρωπον ἀναμαχήσασθαι καὶ ἐκνικῆσαι, καὶ τὸ βραβεῖον λαβεῖν. *Ὥσπερ γὰρ ἐν τῷ Ἀδάμ.*] Ἑρμηνεύει τὸ εἰρημένον. Ὥσπερ, φησὶν, ὁ θάνατος δι' ἀνθρώπου εἰς τὸν κόσμον εἰσῆλθεν, οὕτως ἔδει καὶ τὴν ἀνάστασιν δι' ἀνθρώπου εἰσαχθῆναι. *Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι.*] Ἐπειδὴ εἶπε, ζωοποιηθήσονται, ἵνα μήτις νομίσῃ, καὶ τοὺς ἁμαρτωλοὺς σώζεσθαι, ἐπάγει· Ὅσον μὲν κατὰ τὸ ἀναστῆναι, πάντες ζωοποιηθήσονται· ἀλλ' ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι ἔσται, καὶ ἐν οἷς ἐστιν ἄξιος. *Ἀπαρχὴ Χριστὸς, καὶ ἐξῆς.*] Ἀπαρχή, φησι, καὶ ὁδὸς τῆς ἀναστάσεως, ὁ Χριστὸς γεγένηται· μετ' αὐτὸν δὲ, *οἱ αὐτοῦ*, τουτέστιν, οἱ πιστοὶ καὶ οἱ εὐδοκιμηκότες αὐτῷ, πρῶτοι ἀναστήσονται, ἐξ οὐρανῶν ἐκείνου ἐρχομένου· τοῦτο γάρ ἐστι τὸ, *ἐν τῇ παρουσίᾳ αὐτοῦ. Τοὺς τοῦ Χριστοῦ* δὲ, λέγει τοὺς δικαίους, κατὰ τὸν λόγον τῆς οἰκειώσεως· δεῖ γὰρ ἔχειν προτέρημά τι καὶ ἐν αὐτῷ τῷ ἐγείρεσθαι τοὺς δικαίους. Ἐπειδὴ γὰρ μέλλουσιν ἁρπάζεσθαι εἰς ἀέρα εἰς ἀπάντησιν τοῦ Κυρίου (α), προεγείρονται, ἵνα ἀπαντῆσαι φθάσωσι. Τίς γὰρ ἦν χρεία προεγείρεσθαι τοὺς ἁμαρτωλοὺς, τοὺς κάτω μέλλοντας μένειν τὸν κριτήν; *Εἶτα*, μετὰ τοῦτο, τὸ *τέλος* τῶν πάντων πραγμάτων, καὶ αὐτῆς τῆς ἀναστάσεως, ἅτε πάντων κοινῶς ἐγειρομένων· οὐχ ὥσπερ γὰρ νῦν, μόνου τοῦ Χριστοῦ ἀναστάντος, κατὰ χώραν μεμένηκε τὰ ἀνθρώπινα πράγματα, οὕτω καὶ τότε ἔσται· ἀλλὰ πάντα τέλος λήψεται.=*Ἀπαρχὴ Χριστός.*] Εἰς ἀφθαρσίαν πρῶτος ὁ Χριστὸς ἐκ νεκρῶν ἀνέστη. Ὅσοι γὰρ τετυχήκασιν ἀναστάσεως, εἴτε δι' αὐτοῦ τοῦ Χριστοῦ, εἴτε διὰ προφητῶν καὶ ἀποστόλων, αὖθις τεθνήκασιν. *Ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ.*] Τουτέστιν, ὅταν ἀπ' οὐ-

(α) Α'. Θεσσαλ. Δ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρανοῦ φανῇ ἐν δύξῃ, πρῶτον οἱ πιστοὶ καὶ δίκαιοι, καὶ εἰς αὐτὸν προηλπικότες, καὶ τὴν ἔνσαρκον παρουσίαν δεξάμενοι, ἀναστήσονται. *Εἶτα τὸ τέλος.*] Μετὰ τὴν τῶν δικαίων ἀνάστασιν καὶ τὴν ἐν νεφέλαις ἁρπαγὴν εἰς ἀπάντησιν τοῦ Κυρίου, τότε τὸ *τέλος*· τουτέστιν, ἡ τῶν ἀπὸ καταβολῆς κόσμου τελευτησάντων ἔσται ἀνάστασις, καὶ τῇ κρίσει παραδοθήσονται.=*Ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί.*] Παραδίδωσι δέ, οὐκ αὐτὸς στερούμενος· ἀνόητον γὰρ λίαν καὶ ὑπονοεῖν, ὡς στασιάζουσαν μὲν εἶχεν, ἀπαλλάξας δὲ πόνοις ἰδίοις, ταύτης ἐστερήθη· ἀλλὰ παραδίδωσιν, οἱονεὶ κοινωνὸν ποιεῖται τὸν πατέρα τοῦ ἰδίου κατορθώματος· κοινὰ γὰρ ἅπαντα τὰ τῆς Τριάδος. Εἰ γὰρ καὶ ὁ υἱὸς σεσάρκωται, ἀλλ' εὐδοκίᾳ τοῦ Πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος. Οὐκοῦν κοινὰ καὶ ἃ σαρκωθεὶς ὁ υἱὸς, καὶ σταυρωθεὶς, καὶ ἀναστὰς, εἰργάσατο κατορθώματα. Καλῶς οὖν φησι, *Τὴν βασιλείαν παραδίδωσι*, τουτέστι, κοινοποιεῖται, καὶ εὐφραίνει αὐτὸν τῷ κατορθώματι· ὥσπερ γὰρ ὁ υἱὸς, παραλαβὼν αὐτὴν στασιάζουσαν, οὐκ ἀφείλετο αὐτὴν τοῦ πατρὸς, οὕτω νῦν παραδιδοὺς, οὐδ' αὐτὸς ἀφαιρεθήσεται αὐτῆς. Παραδίδωσι δὲ, εἴποι τις ἄν, καὶ οὐκ ἔξω σκοποῦ, οὐκ ἐφ' ᾧ μὴ ἔχειν, ἀλλ' ἐφ' ᾧ μὴ ταλαιπωρεῖσθαι περὶ αὐτὴν, καὶ ἐφ' ᾧ μήτε συμμαχεῖν, μήτε τροποῦσθαι, μήτε ἄλλο τι ποιεῖν, ὧν τὰ μὲν πρὸ τοῦ πάθους, τὰ δὲ μετὰ τὴν ἀνάστασιν, ὡς υἱὸς θεοῦ ἄνθρωπος γεγονὼς, εἰς ἡμᾶς ἐπεδείξατο. Παραδίδωσιν οὖν, ὡς ἔφημεν, οὐκ ἐφ' ᾧ μὴ ἔχειν, ἀλλ' ἐφ' ᾧ μηκέτι τῶν εἰρημένων τί περὶ αὐτὴν ἐπιτελεῖν· ἐπεὶ καὶ παρείληφεν, οὐκ ἐφ' ᾧ μὴ ἔχειν· (εἶχε γὰρ, ὥσπερ καὶ ὁ πατήρ·) ἀλλ' ἐφ' ᾧ πόνοις ἰδίοις, στάσεως αὐτὴν καὶ τυραννίδος ἀπαλλάξειν.—ΑΛΛΩΣ. *Ὅταν παραδῷ τὴν βασιλείαν.*] Πότε ταῦτα, ὦ Παῦλε; *Ὅταν*, φησὶ, *παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί. Παραδῷ δὲ*· τουτέστι, κατορθωθεῖσαν εἰς μέσον ἀγάγῃ. Ἔσται δὲ τοῦτο, ὅταν ἡττηθῶσιν οἱ δαίμονες, καὶ παύσωνται τοῦ τὰ ἴδια ἐνεργεῖν. Τότε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τελείως ἡμῶν ὁ Χριστὸς βασιλεύσει, μηκέτι μεριζομένων τῷ θεῷ καὶ τῷ κοσμοκράτορι, μηδὲ τὰ μὲν, τῷ θεῷ, τὰ δὲ, τοῖς πάθεσι πειθομένων. Τί οὖν; τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ παραδώσει; Ναί· δεῖξαι γὰρ θέλει μίαν γνώμην τῆς ἁγίας Τριάδος. Οὔτε γάρ, φησιν, ὁ Χριστὸς, κατορθώσας τὴν μάχην, αὐτὸς μόνος, ὥσπερ τις τύραννος, καθέξει τὴν βασιλείαν, ἀλλὰ καὶ τῷ πατρὶ καὶ τῷ πνεύματι τὸ γινόμενον πράττεται.— *Τῷ θεῷ καὶ πατρί.*] Διὰ τὸ αἴτιον αὐτοῦ εἶναι, οὕτως εἶπεν. Ὁ ἐν ἁγίοις Κύριλλος, ἐν βιβλίῳ τετάρτῳ τῶν κατὰ Ἰουλιανοῦ, πρὸς αὐτὸ τὸ πέρας, οὕτω φησίν· *Ὅταν παραδῷ τὴν βασιλείαν*, τουτέστιν, ὡς ὑπὸ τυράννου διηρπασμένην ἐξελὼν, ἐλευθέραν παριστᾷ τῷ ἰδίῳ γεννήτορι. — *Ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν, καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.*] *Καταργήσῃ*, τουτέστι, νικήσῃ, παύσῃ τὰς πονηρὰς καὶ ἀποστατικὰς δυνάμεις· νῦν μὲν γὰρ ἐνεργοῦσι· τότε δὲ οὐκ ἂν ἐνεργήσωσιν, εἰς κόλασιν παραδιδόμεναι. Ὁμοιόν φησι καὶ ὁ Δαυΐδ· « Ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία (α)· » τότε γὰρ παρέρχεται, ὅταν αἱ ἀρχαὶ καὶ ἐξουσίαι καταργηθῶσι, καὶ ἀνενέργητοι μείνωσιν. Εἶχεν ἀεὶ ὁ πατὴρ τὴν τῶν ἀνθρώπων βασιλείαν, καὶ μὴν καὶ τῶν ἀγγέλων· ἀλλὰ τὴν μὲν τῶν ἀγγέλων, ἀστασίαστον· τὴν δὲ τῶν ἀνθρώπων, σασιάζουσαν, καὶ πάθεσιν αἰχμαλωτιζομένην, καὶ δαιμόνων ἐπηρείαις τυραννουμένην. Ἀλλ' ὁ υἱὸς διὰ τοῦ οἰκείου πάθους, ὃ ἐν σαρκί γε γονὼς ἀνεδέξατο, πᾶσαν ἐσάθρωσε τυραννίδα, καὶ ἀσθενεστάτην εἰργάσατο, καὶ τὸ αἰχμαλωτίζον ἐταπείνωσε, καὶ ἠχμαλώτισεν· ὅμως, τῶν ἀνθρώπων ἐν βίῳ καταῤῥᾳθυμούντων, ὥσπερ σπινθῆρες τινὲς τῆς κακίας διὰ τῆς ἡμῶν ἀμελείας ἀνάπτουσι καὶ ἀναφλέγονται· μετὰ δὲ τὸ τέλος, τῶν μὲν παθῶν πεπαυμένων, τῶν δὲ δαιμόνων κολαζομένων, καὶ τῶν δικαίων ἀνενοχλήτων ἐν παραδείσῳ διαιτωμένων, παραδίδωσιν ὁ υἱὸς

(α) Ψαλμ. ΝΖ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ πατρὶ τὴν βασιλείαν, ὡς κατορθώσας, καθαρὰν τυραννίδος καὶ ἀστασίαστον.

25 Δεῖ γὰρ αὐτὸν βασιλεύειν, « ἄχρις οὗ ἂν θῇ πάντας
26 τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ (α). » Ἔσχα-
27 τος ἐχθρὸς καταργεῖται ὁ θάνατος· « πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ (β). » Ὅταν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ
28 ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν.

Τὸ, *βασιλεύειν*, ἐνταῦθα, οὐχ ἁπλῶς, ἀλλ' οἷον, Δεῖ αὐτὸν τὰ τοῦ βασιλεύοντος ποιεῖν, τουτέστι, πολεμεῖν τοὺς ἐχθροὺς, συμμαχεῖν τοῖς ἰδίοις· τοὺς μὲν τροποῦσθαι, τοὺς δὲ ῥύεσθαι. Μετὰ γὰρ ταῦτα, οὐδενὸς τῶν εἰρημένων χρεία· ἀσφάλειος γὰρ τὸ λοιπὸν ἡ βασιλεία. *Ἄχρις οὗ ἂν θῇ.*] Οὐ τέλος ἐπιτίθεις τῇ βασιλείᾳ, εἶπε τὸ, *ἄχρις οὗ ἂν θῇ*, ἀλλ' ἀξιόπιστον ποιῶν τὸ εἰρημένον, καὶ θαῤῥεῖν παρασκευάζων, ὡσανεὶ ἔλεγε· Μὴ, ἐπειδὴ ἤκουσας, ὦ οὗτος, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, καὶ αὐτὸν τὸν θάνατον, φοβηθῇς, ὅτι ἀτονήσει, καὶ οὐ μὴ ποιήσῃ ταῦτα· ἕως γὰρ ἂν πάντα ποιήσῃ, δεῖν βασιλεύειν αὐτὸν λέγων, οὐ τοῦτο λέγει, ὅτι μετὰ τὸ ποιῆσαι οὐ βασιλεύσει· ἀλλ' ἐκεῖνο δεικνὺς, ὅτι, κἂν μὴ νῦν γένηται, πάντως ἔσται· κρατεῖ γὰρ αὐτοῦ ἡ βασιλεία, καὶ οὐκ ἀτονεῖ, ἄχρις οὗ ἂν πάντα κατορθώσῃ· κρατοῦσα δὲ ἄχρις οὗ ἂν πάντα κατορθωθῇ, πολλῷ μᾶλλον μετὰ τὸ κατορθωθῆναι κρατήσει· « τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος (γ). » Τὸ δὲ, Ἄχρι, καὶ τὸ, Ἕως, οὐ χρόνου δηλωτικά· ἀλλὰ τὸ, Ἀεί, σημαίνουσιν· οἷον τό· « Ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας (δ)· » καὶ τό· « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου

(α) Ψαλμ. ΡΘ', 1. (β) Ψαλμ. Η', 7.
(γ) Λουκ. Α', 33. (δ) Ματθ. ΚΗ', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(α)· » καὶ τό· « Παρέλαβε τὴν γυναῖκα αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε (β). » Δεῖ οὖν αὐτὸν βασιλεύειν *ἀεί*· καὶ τοῦτο λέγει τὸ, *ἄχρις*· καὶ πρὸ τοῦ ὑποτάξαι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ μετὰ τὸ ὑποτάξαι. Εἰ γὰρ πρὸ τοῦ τεθῆναι ἐβασίλευε, πολλῷ μᾶλλον μετὰ τὸ θῆναι. *Πάντας δὲ τοὺς ἐχθρούς* φησι, τουτέστι, τοὺς δαίμονας, τὸν διάβολον, τὸν θάνατον, τοὺς ἀπίστους. *Ἔσχατος ἐχθὸς καταργεῖται ὁ θάνατος.*) Ὁ τὸν διάβολον ὑποτάξας, πρόδηλον ὅτι καὶ τὸ ἔργον αὐτοῦ, τὸν θάνατον, ὑποτάξει· ἡ δὲ ὑποτογὴ καὶ ἧττα τοῦ θανάτου, τὸ ἀφαιρεθῆναι αὐτοῦ τοὺς νεκροὺς τῇ ἀναστάσει. Πῶς δ' ἂν φανείη, ὅτι ὑπετάγη, εἰμὴ τὰ σώματα, ἃ κατεῖχεν, ἐξεμέσεις τότε γὰρ ἡττᾶται, ὅταν καὶ τὰ σκῦλα διαρπαγῇ. *Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.*] Ἐπεὶ πάντα παρὰ τοῦ υἱοῦ ἔφη γίνεσθαι, τὴν βασιλείαν κατορθοῦσθαι, τὰς ἐξουσίας καταργεῖσθαι, πάντας ὑπὸ τοὺς πόδας κεῖσθαι, ἐφοβήθη, μὴ μείζων νομισθῇ ὁ υἱὸς τοῦ πατρὸς, καὶ λοιπὸν ἐπὶ τὸν πατέρα ἀνάγει τὰ πάντα· *πάντα*, λέγων, *ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ*, δεικνὺς ἐκεῖθεν εἶναι τῷ υἱῷ τὸ δύνασθαι, ἐκ τῆς ἀχρόνου αἰτίας. *Ἐκτὸς τοῦ ὑποτάξαντος.*] Ὅρα δὲ, πῶς δῆλός ἐστιν ἐκεῖνον φοβηθεὶς τὸν φόβον, τὸ μὴ νομισθῆναι μείζονα τοῦ πατρὸς τὸν υἱὸν, ὅτι πάλιν ἠσφαλίσατο αὐτό· *ἐκτὸς* γάρ, φησι, *τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα*· καὶ δίκαιος ὁ φόβος· πρὸς γὰρ ἄνδρας ἀπὸ Ἑλλήνων πιστεύσαντας ἔγραφεν, οἳ ἐδόξαζον τὸν Δία, ἐπαναστάντα τῷ οἰκείῳ πατρὶ, ἐξῶσαι αὐτὸν τῆς βασιλείας. Δέος οὖν ἦν, μή τι τοιοῦτον καὶ παρ' ἡμῖν ὑποπτεύσωσι. *Τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.*] Τουτέστι, Τότε δείκνυται ἀληθῶς καὶ θεοπρεπῶς ὑποτεταγμένος· ὅτι ἐπλήρωσε τὸ πατρικὸν βούλημα, παραστήσας τὴν βασιλείαν, πάσης στάσεως καὶ τυραννίδος ἠλευθερωμένην.—ΑΔΑΩΣ. Εἶτα, ἵνα μή τις λέγῃ,

(α) Ψαλ. ΡΘ', 1. (β) Ματθ. Α', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι, εἰ καὶ μὴ ὑποτέτακται τῷ υἱῷ ὁ πατὴρ, οὐδὲν κωλύει εἶναι αὐτοῦ μείζονα τὸν υἱὸν, τὴν ὑπόνοιαν ταύτην ἐκ περιουσίας ἀναιρῶν, προστίθησιν, ὅτι καὶ ὁ υἱὸς ὑποταγήσεται τῷ πατρὶ, τὴν πολλὴν ὁμόνοιαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα δεικνὺς, καὶ ὅτι ὁ πατὴρ ἀρχὴ καὶ αἰτία τῆς δυνάμεως ταύτης τῷ υἱῷ, καὶ οὐχ ὁ υἱὸς ἑτέρα τίς ἐστι δύναμις, ἀντίθεος τῷ πατρί. Ὑποταγὴν δὲ ἀκούων, θεοπρεπῶς ἔκλαβε τὸ εἰρημένον, μὴ δουλείαν τινὰ καὶ ὑποταγὴν ἀκούσιον, ἀλλ' ὡς προσῆκον υἱὸν θεὸν πατρὶ θεῷ ὑποτετάχθαι, ὡς αἰτίαν τιμῶντα. — *Ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσι.*] Τῆς κακίας δηλοῖ διὰ τούτων τὴν ἀναίρεσιν. Ὅταν γὰρ ἡ ἁμαρτία ἀναιρεθῇ, εὔδηλον, ὅτι ὁ θεὸς ἔσται τὰ πάντα ἐν πᾶσι, μηκέτι ἡμῶν ἐπιμεριζομένων θεῷ καὶ πάθεσιν. Ἄλλοι δὲ οὕτως ἡρμήνευσαν· Ἵνα ᾖ τὰ πάντα εἰς τὸν πατέρα ἠρτημένα, ὡς αἰτίαν. Τοῦτο δέ φησιν, ἵνα μὴ δύο ἀρχὰς ἀπεσχισμένας ὑπονοήσῃς. Ὅταν γὰρ, οἱ μὲν ἐχθροὶ ὦσιν ὑπὸ τοὺς πόδας τοῦ υἱοῦ· ὁ δὲ υἱὸς μὴ στασιάζῃ πρὸς τὸν πατέρα, ἀλλὰ, καθὼς πρέπον υἱῷ θεῷ, ὑποτέτακται τῷ οἰκείῳ πατρὶ, πάντως ὁ θεὸς καὶ πατὴρ ἔσται τὰ πάντα ἐν πᾶσιν· οἰκειοποιεῖται γὰρ τὰ τοῦ υἱοῦ, ὡς πατήρ· καὶ πᾶν ὅπερ δύναται ὁ υἱὸς, τοῦτο εἰς τὸν πατέρα ἀνάγεται· αὐτὸς γὰρ αὐτῷ αἴτιος τοῦ δύνασθαι, ὁ γεννήσας αὐτὸν ἀχρόνως. — Εἰ θεϊκῶς ὁ υἱὸς τῷ πατρὶ ὑποταγήσεται, ἐξ ἀρχῆς ἂν ὑπετέτακτο, ἐξ οὗ καὶ θεὸς ἦν· εἰ δὲ οὐχ ὑπετέτακτο, ἀλλ' ὕστερον ὑποταγήσεται, ἀνθρωπίνως ὑπὲρ ἡμῶν [ὑποταγήσεται,] καὶ οὐ θεϊκῶς ὑπὲρ ἑαυτοῦ. (Βασιλείου).

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν,
εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζον-
30 ται ὑπὲρ τῶν νεκρῶν; Τί καὶ ἡμεῖς κινδυνεύομεν
31 πᾶσαν ὥραν; Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν
ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ
32 Κυρίῳ ἡμῶν! Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα
ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; Εἰ νεκροὶ οὐκ
ἐγείρονται, « φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

33 ἀποθνήσκομεν (α). » Μὴ πλανᾶσθαι· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί (1).

Πάλιν εἰς τὸν περὶ τῆς ἀναστάσεως ἦλθε λόγον, καὶ φησιν· Εἰ ἀνάστασις οὐκ ἔστιν, *οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, τί ποιήσουσι;* τουτέστιν, ὡς μὴ ἀνισταμένων· εὔδηλον γὰρ, ὅτι εἰς ἀνάστασιν νεκρῶν πιστεύσαντες, βαπτιζόμεθα· ὡσεὶ ἔλεγε· Τί ποιήσουσιν οἱ ὑπὲρ νεκρῶν μὲν ὡς ἀνισταμένων καὶ πιστεύσαντες καὶ βαπτισθέντες, ψευσθέντες δὲ τῆς ἐλπίδος, καὶ ἄλλό τι εὑρηκότες παρὰ τὰ προσδοκηθέντα; πόσον, φησὶν, ἀδημονήσουσι καὶ ἀποκλαύσονται, καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν ὡς ψευδῆ λοιδορήσουσι; τοῦτο λέγει τὸ, *Τί ποιήσουσι·* τουτέστιν, αὐτὰ ποιήσουσιν, ἅπερ εἶπον. Ὁρᾷς, ποῦ ἀνήγαγε τὸ πρᾶγμα;—ΑΛΛΩΣ. Ἐπεὶ τί ποιήσουσι, φησὶν, οἱ βαπτιζόμενοι, ὥστε μὴ εἶναι διαπαντὸς νεκροὶ, καὶ ἐν τῷ ᾅδῃ κατέχεσθαι; Οἷον, τῆς ἀναστάσεως μὴ οὔσης, οἱ ἐπὶ τοιαύταις ἐλπίσι βαπτιζόμενοι, ὥστε μετὰ θάνατον ἀναστῆναι, τί ποιήσουσιν; (2)—*Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται;*] Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, *τί καὶ βαπτίζονται,* ἵνα ἀναστῶσιν; Ὁ δὲ Παῦλος ἐπιπληκτικώτερον, *Τί βαπτίζονται ὑπὲρ τῶν νεκρῶν,* φησὶν· οἷον, τί βαπτίζονται, οὓς ὑμεῖς διὰ τῆς ἰδίας δόξης, ἀϊδίους νεκροὺς ἀπεφήνατε; νεκροὺς δὲ καὶ τοὺς ἄλλους καὶ ἑαυτοὺς, καὶ νεκροὺς αἰωνίους, ἀποφηνάμενοι, τί βαπτίζεσθε ὑπὲρ ὑμῶν, τῶν μηκέτι, καθ' ὑμᾶς, ἀναστησομένων, ἀλλ' ἀεὶ νεκρῶν ἐσομένων; Ἐπὶ ἄλλων δὲ προσώπων προάγει τὸν λόγον, καὶ οὐχὶ ἐπ' αὐτῶν ἐκείνων, ἵνα μὴ, πλέον καθαψάμενος, εἰς ἀπόνοιαν ἐκκαλέσηται. *Τί καὶ ἡμεῖς κινδυνεύομεν;*] Εἰ ὅλως, φησὶν, ἀνάστασις οὐκ ἔστι, διὰ τί καὶ ἡμεῖς οἱ ἀπόστολοι *ἀεὶ* ἐν κινδύνοις ἐσμέν; τοῦτο γὰρ λέγει,

(α) Ἡσ. ΚΒ', 13. (1) Γνώμη Μενάνδρου τοῦ κωμικοῦ ἐν Θαΐδι.

(2) « Οἱ πιστεύσαντες, ὅτι ἔσται ἀνάστασις νεκρῶν σωμάτων, καὶ βαπτισθέντες ἐπὶ τοιαύταις ἐλπίσι, τί ποιήσουσιν ἀπατηθέντες; τί δὲ ὅλως καὶ βαπτίζονται ἄνθρωποι ὑπὲρ ἀναστάσεως, τουτέστιν, ἐπὶ προσδοκίᾳ ἀναστάσεως, εἰ νεκροὶ οὐκ ἐγείρονται; » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πᾶσαν ὥραν, τουτέστιν, *ἀεί*. Μεγίστη δὲ τῆς ἀναστάσεως ἀπόδειξις, τὸ καὶ τοὺς ἀποστόλους ὁρᾶσθαι, μέχρι θανάτου κινδυνεύοντας. *Καθ' ἡμέραν ἀποθνήσκω.*] Τῇ προθυμίᾳ, καὶ τῷ πρὸς τὸν θάνατον ἑτοίμως ἔχειν, καὶ τῷ τοιαῦτα πάσχειν, ἃ θάνατον ἔφερεν· ἢ, ὅσον ταῖς ἐπιφοραῖς τῶν θλίψεων καὶ τῶν πειρασμῶν, καὶ τῇ καθημερινῇ ἐλπίδι τοῦ θανάτου. *Νὴ τὴν ὑμετέραν καύχησιν!*] Ἤ ὄμνυσι, λέγων· Μὰ τὴν ὑμετέραν καύχησιν· ἢ, Διὰ τὴν ὑμετέραν καύχησιν ἀποθνήσκω. Λέγει δὲ *καύχησιν* τὴν αὐτῶν προκοπήν· καύχησις γὰρ τῷ διδασκάλῳ ἡ τῶν μαθητῶν ἐπίδοσις. *Ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ.*] Ἐπειδὴ μέγα εἶπε, τῷ Χριστῷ αὐτὸ ἀνατίθησι. Διὰ τὴν προκοπὴν ὑμῶν, φησὶν, ἣν ἔχω διὰ Ἰησοῦ Χριστοῦ· ἐκείνου γὰρ τὸ ἔργον, οὐκ ἐμόν. *Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα.*] Ὅσον ἦκε, φησὶν, εἰς ἀνθρώπους, ἐγὼ ἐθηριομάχησα· ἀντὶ τοῦ, ὅσον ἦν μοι δυνατόν· ἀλλὰ τί τούτου μοι ὄφελος, ἀναστάσεως μὴ οὔσης (1); Ἤ οὕτως· Εἰ μὴ διὰ τὴν ἐσομένην ἐλπίδα καὶ ἀντίδοσιν ἐθηριομάχησα, ἀλλὰ διὰ δόξαν ἀνθρωπίνην, τί ὠφέλημαι; *Θηριομαχῆσαι* δὲ καλεῖ, τὸ πρὸς Ἰουδαίους καὶ πρὸς Δημήτριον τὸν ἀργυροκόπον μάχην ἔχειν (α)· τί γὰρ οὗτοι θηρίων διέφερον; *Εἰ νεκροὶ οὐκ ἐγείρονται.*] Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ ἀντίδοσίς ἐστιν ἀγαθῶν καὶ κακῶν· τούτου δὲ μὴ ὄντος, φαγεῖν δεῖ καὶ πιεῖν πρὸ τοῦ ἀποθανεῖν, ὡς τούτων μόνων παρ' ἡμῶν κερδαινομένων. Τοῦτο δὲ τὸ ῥῆμα ἀπὸ τοῦ Ἡσαΐου παρήγαγε, κωμῳδῶν τὴν ἄνοιαν τῶν μὴ λεγόντων ἀνάστασιν.—*Φάγωμεν καὶ πίωμεν.*] Λακωνικὴ καὶ ἀρχαία παροιμία. Μέμνηται ταύτης καὶ Ἡσαΐας (Φωτίου). — *Μὴ πλανᾶσθε.*] Ἀπαλλαγεὶς τῶν εἰς ἄτοπον ἐπαγωγῶν, εἰς παραίνεσιν ἦλθεν, ῥᾳδίως καὶ ὡς ἀνοήτων αὐτῶν καὶ κούφων κατηγορῶν· τοῦτο γὰρ τὸ, *Μὴ πλανᾶσθε*, δηλοῖ. *Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.*] Καὶ τὰ

(2) « Ὅσον τὸ εἰς! ἀνθρώπους, ἐθηριομάχηται· τί γὰρ εἰ ὁ θεὸς ἐξήρπασέ με τῶν κινδύνων; » Θεοφύλακτος.

(α) Πραξ. ΙΘ', 24 καὶ ἑξῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρηστὰ ἤθη, φησὶν, αἱ συνεχεῖς τῶν κακῶν ὁμιλίαι διαφθείρουσι· καὶ γὰρ ῥανὶς ἐνδελεχοῦσα, κοιλαίνει πέτραν (1). Διὰ τούτου παραινεῖ αὐτοῖς, ἐκτρέπεσθαι τῆς ὁμιλίας τῶν μοχθηρῶν, καὶ, μὴ θαῤῥοῦντας ἑαυτοῖς, ὅτι οὐ βλαβήσονται αὐτοὶ, χρηστοὶ ὄντες, τῷ πρὸς αὐτοὺς ἐνδελεχῶς ὁμιλεῖν, τῆς ἐκεῖθεν λύμης ἠρέμα καὶ κατὰ μικρὸν ὑποπίμπλασθαι. Ἡ, *χρηστὰ* εὐφήμως καλεῖ, τὰ εὐεξαπάτητα, δηλῶν, ὅτι ἄλλοι αὐτοὺς εἰς ταῦτα ὑποσύρουσιν.

34 Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω.
35 Ἀλλ' ἐρεῖ τις· Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ
36 δὲ σώματι ἔρχονται; Ἄφρον! σὺ ὃ σπείρεις, οὐ
37 ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκ-
38 κον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν· ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα

Τὸ, *ἐκνήψατε*, ὡς ἐπὶ μεθυόντων· τὸ δὲ, *δικαίως*, οἱονεὶ συμφερόντως· ἔνι γὰρ καὶ ἀδίκως νήφειν, οἷον ἐπὶ κακῷ. *Καὶ μὴ ἁμαρτάνετε.*] Ἐκ τούτου γάρ, φησι, καὶ τῇ ἀναστάσει ἀπιστεῖτε· οἱ γὰρ ἑαυτοῖς κακὰ συνειδότες, οὐ πείθονται εἶναι ἀνάστασιν, δέει τῶν κολάσεων. Διὰ τοῦτό, φησι, μὴ ἁμαρτάνετε, ἵνα πιστεύητε τὴν ἀνάστασιν. *Ἀγνωσίαν* δὲ *θεοῦ*, φησιν, *ἔχουσιν*, οἱ τῇ ἀναστάσει διαπιστοῦντες· οὐ γὰρ ἴσασι τοῦ θεοῦ τὴν δύναμιν. Οὐκ εἶπε δὲ, *ἔχετε*, ἀλλὰ, *τινὲς ἔχουσι*, ταύτῃ τῇ λέξει τὸ ἔγκλημα ὑποτεμνόμενος. *Πρὸς ἐντροπὴν ὑμῖν λέγω.*] Ἐπειδὴ πολλὰ αὐτῶν καθήψατο, παραμυθεῖται αὐτούς. *Πρὸς ἐντροπὴν ὑμῖν λέγω*, φησὶ· τουτέστιν, οὐκ ἐπὶ τῷ ἀτιμάσαι ὑμᾶς, ἀλλ' ἐπὶ τῷ ἐντρέψαι, ὥστε αἰσχύθέντας ἀπορρίψαι τὸ ἀπιστεῖν τῇ ἀναστάσει. *Ἀλλ' ἐρεῖ τις,*

(1) Γνώμη Χειρίλου τοῦ ποιητοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἑξῆς.] Οὐκ εἶπεν· Ὑμεῖς λέγετε· ἵνα οὕτως ἀνεπαχθὴς ὁ λόγος ᾖ, ὡς ἐπὶ ἄλλων ἀπιστούντων ἐξεταζόμενος. Εἶτα δύο ἄπορα αὐτοῖς εἶναι δοκοῦντα, ὡς ἐξ ἀντιθέσεως λύει. Ἀμφέβαλλον γὰρ, πῶς ἐγείρεται τὸ ἅπαξ διαλυθὲν σῶμα· καὶ, ποίῳ σώματι ἀνίσταται ὁ νεκρὸς, τούτῳ, ἢ ἑτέρῳ τινί. Ταῦτα οὖν τὰ δύο αὐτοῖς ἐπιλύει διὰ τοῦ παραδείγματος τοῦ κόκκου. *Ἄφρον.*] Ἀπὸ δήλου παραδείγματος ποιεῖται τὴν ἐπίλυσιν· διὸ καὶ ἄφρονας αὐτοὺς καλεῖ, ὡς τὰ οὕτω σαφῆ ἀγνοοῦντας. Σὺ, φησὶν, *ὃ σπείρεις*, σὺ, ὁ φθαρτὸς, *οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ*· τί οὖν περὶ θεοῦ ἀμφιβάλλεις; *Οὐ ζωοποιεῖται* δὲ, φησὶν, *ἐὰν μὴ ἀποθάνῃ*, λέξεσι χρησάμενος, οὐ σπέρμασιν, ἀλλὰ σώμασιν ἁρμοδίαις· οὐ γὰρ εἶπεν, ὅτι ἄλλως οὐ βλαστάνει, ἐὰν μὴ διαλυθῇ, ἀλλ', *οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ*. Ὅρα δὲ, πῶς εἰς τὸ ἐναντίον περιέτρεψε τὸν λόγον. Ἐκείνοις γὰρ ἐδόκει ἄπορον, πῶς μετὰ τὸ ἀποθανεῖν ἐγειρόμεθα· αὐτὸς δὲ τὸ ἐναντίον φησίν· ὅτι διὰ τοῦτο ἐγειρόμεθα, ἐπειδὴ ἀποθνήσκομεν· ὡς οὐκ ἐγχωροῦντος ἄλλως ζωοποιηθῆναι, εἰ μὴ ἦν θάνατος· τοῦτο γὰρ τὸ παράδειγμα τοῦ σίτου δηλοῖ, καὶ τῶν λοιπῶν σπερμάτων. Καὶ θέασαι, τέως μία λύσις, ὅτι οἱ ἀποθανόντες ἐγείρονται. Εἰ οὖν σὺ ὃ σπείρεις, καὶ τρόπον τινὰ τάφῳ καλύπτεις, καὶ θανατοῖς, τοῦτο ὁ θεὸς ἀνίστησι, καὶ δίδωσι τὸ ἴδιον αὐτοῦ σῶμα, τὸ σαπὲν καὶ διαλυθέν· δίδωσι δὲ, καθὼς ἠθέλησεν, εὐπρεπέστερον καὶ ὡραιότερον· ὃ αὐτὸς ἐκεῖνος διὰ τῆς οἰκείας ἀποφάνσεως εἰς γῆν καὶ τάφον ἐκέλευσε κατατίθεσθαι καὶ ἀποθνήσκειν, τοῦτο αὐτὸς πάλιν οὐκ ἔχει ῥᾴον τὸ ζωοποιῆσαι καὶ ἀναστῆσαι, ὅτε βούλεται καὶ θελήσει; *Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις.*] Ἐν τοῖς ἄνω, δύο εἴπομεν αὐτοὺς ἀμφισβητεῖν περὶ τῆς ἀναστάσεως, τό· Πῶς ἐγείρονται οἱ νεκροί· καὶ τό· Ἐν ποίῳ σώματι ἐγείρονται· ἔνθα ἡρμήνευτο τό· *Ἀλλ' ἐρεῖ τις· Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;* Τὴν μὲν οὖν, ὅτι ἐγείρονται, ἀπόδειξιν, ἐν τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνω εἶπεν, ἔνθα ἔλεγε· *Σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ.* Ἰδοὺ καὶ ἡ δευτέρα ἀπόδειξις. *Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον.*] Δείκνυσι γὰρ, ὅτι τὸ μὲν αὐτὸ σῶμα ἐγείρεται, ἤτοι τῆς αὐτῆς ὂν οὐσίας· (τοῦτο γὰρ λέγει· *ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα·*) λαμπρότερον δὲ καὶ κοσμιώτερον, ὥσπερ ἀμέλει εὐπρεπέστερος ὁ [φυόμενος] στάχυς τοῦ [σπειρομένου] γυμνοῦ κόκκου· οὐδὲ γὰρ σπείρεις τὸν ἄσταχυν αὐτὸν, ἀλλὰ γυμνὸν κόκκον· *Ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα.*] Εἰ οὖν ὁ θεὸς δίδωσι σῶμα, τί ἔτι περιεργάζῃ, ποίῳ σώματι ἐγειρόμεθα, καὶ διαπιστεῖς τῇ ἀναστάσει, ἀκούων θεοῦ δύναμιν καὶ θέλησιν; Ὁ γὰρ θεὸς τὸ λυθὲν μὲν ἐγείρει σῶμα· ἀλλὰ εὐπρεπέστερον, ἀλλὰ πνευματικώτερον. Τοῦτο γὰρ καὶ ἐπὶ τῶν σπερμάτων ἐστὶν εὑρεῖν, ὅτι εὐπρεπέστερον τοῦ καταβληθέντος τὸ βλαστῆσαν ἄνεισι. *Καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.*] Τοῦτο τῶν αἱρετικῶν ἀναντιῤῥήτως ἐμφράττει τὰ στόματα, τῶν λεγόντων, τὸ αὐτὸ σῶμα ἐν τῇ ἀναστάσει μὴ ἐγείρεσθαι, ἀλλ' ἕτερον. Ἰδοὺ γὰρ ἀκούεις, ὅτι τὸ ἴδιον σῶμα ἑκάστῳ δίδοται,

39 Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἀν-
θρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων,
40 ἄλλη δὲ πτηνῶν. Καὶ σώματα ἐπουράνια, καὶ σώ-
ματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων
41 δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου,
καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων·
ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

Εἶτα, ἵνα μὴ, ἀκούσας περὶ τοῦ σίτου, νομίσῃς, ὅτι, ὥσπερ ἐπὶ αὐτοῦ πάντες οἱ ἀστάχυες ὁμότιμοι ἀνίασιν, οὕτω καὶ ἐν τῇ ἀναστάσει ὁμότιμοι πάντες ἔσονται, δεῖξαι θέλει, ὅτι διαφορά ἐστι τῶν ἀνισταμένων· (ὅπερ καὶ προφθάσας ᾐνίξατο, εἰπών· *Ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι* (α)·) καί φησιν, ὅτι,

(α) Α' Κορ. ΙΕ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· τουτέστιν, οὐ πάντες ἐν τῇ αὐτῇ τιμῇ ἀνίστανται, ἀλλ' ἔχουσι διαφοράν· καὶ τέως περὶ τῶν ἁμαρτωλῶν λέγει· καὶ γὰρ καὶ ἐπ' αὐτῶν ἐστι διαφορὰ τιμωρίας. Ὅθεν φησίν· *Ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν καὶ ἰχθύων,* τούτῳ τῷ τρόπῳ τὴν ἐκεῖ οὖσαν διαφορὰν δηλῶν· καὶ ὡς ἐν παραδείγματι ἐπεξῆλθε τῷ λόγῳ· ὡς εἰ ἔλεγεν· Ὥσπερ ἐστὶν ἐνταῦθα διαφορὰ τῆς σαρκὸς τῶν ἀνθρώπων καὶ τῆς τῶν κτηνῶν καὶ τῶν λοιπῶν ζώων, οὕτως ἔσται κἀκεῖ διαφορὰ καὶ αὐτῶν τῶν ἁμαρτωλῶν ἐν ταῖς τιμωρίαις. Πάντα οὖν ὅσα εἴρηται τούτῳ νῦν, περὶ διαφορᾶς ἁμαρτωλῶν αὐτῷ εἴρηται· περὶ γὰρ τῶν δικαίων παρακατιὼν λέγει, ὅταν τὰ οὐράνια καταλέγῃ σώματα. *Καὶ σώματα ἐπουράνια.*] Εἶτα ἄχρι τῆς διαφορᾶς τῶν ἁμαρτωλῶν ἔσται ἡ ἀνάστασις; Οὐμενοῦν· ἔστι γὰρ καὶ *σώματα ἐπουράνια,* τουτέστι, τὰ τῶν δικαίων, τὰ πλουτοῦντα τὸ φῶς τοῦ παπαρακλήτου· ἔστι δὲ καὶ *σώματα ἐπίγεια,* τουτέστι, τὰ τῶν ἁμαρτωλῶν, τὰ τοῖς γηΐνοις φρονήμασιν ἐνσεσημασμένα· *ἀλλ' ἑτέρα μὲν ἡ δόξα τῶν ἐπουρανίων, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων·* καὶ ἑτέρα μὲν ἡ τῶν δικαίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἁμαρτωλῶν· τῶν γὰρ ἁμαρτωλῶν οὐκ ἔστατι δόξα· οὐ γὰρ τοῦτο συνυπακούσῃς, ἐν τῷ εἰπεῖν, ἑτέρα ἡ δόξα τῶν δικαίων, καὶ ἑτέρα ἡ τῶν ἁμαρτωλῶν· οὐκ ἔστι δόξα, ἀλλὰ διαγωγή. Εἶτα λέγει καὶ τῶν δικαίων τὴν διαφοράν, ὥσπερ ἀμέλει μικρὸν ἔμπροσθεν εἶπε τὴν τῶν ἁμαρτωλῶν. *Ἄλλη δόξα ἡλίου,* καὶ ἑξῆς.] Ὥσπερ γὰρ λαμπρὰ μὲν πάντα καὶ περιφανῆ τὰ οὐράνια σώματα· ἔστι δ' ὅμως καὶ ἐν αὐτοῖς διαφορὰ ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστρασιν (1)· οὕτω καὶ οἱ δίκαιοι ἔξουσιν ἐν ἑαυτοῖς διαφοράν. Πάντες μὲν γὰρ ἐν δόξῃ· ἀλλὰ, ἄλλο τὸ φῶς τοῦ ἡλίου, καὶ ἄλλο, τὸ τῆς σελήνης. Ὅρα δὲ, πῶς εὐφυῶς, ἐν τά-

(1) « Καὶ γὰρ ἀστέρες πρὸς ἀστέρας διαφέρουσιν ἐν δόξῃ, τουτέστιν, ἐν τῷ φωτί· δόξα γὰρ τῶν ἀστέρων τὸ φῶς. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξει παραδείγματος, ὅλῳ τῷ νοήματι ἐπεξῆλθε. Περὶ δὲ τῆς δόξης τῶν δικαίων καὶ ἁμαρτωλῶν, οὐκ ἐν συγκρίσει ἐποιήσατο, ἀλλὰ δείξας, μὴ εἶναι δόξαν τῶν ἁμαρτωλῶν.

42 Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. Σπείρεται ἐν
43 φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται
44 ἐν δυνάμει· σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. Ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα
45 πνευματικόν. Οὕτω καὶ γέγραπται· « Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν (α)· ὁ
46 ἔσχατος Ἀδὰμ, εἰς πνεῦμα ζωοποιοῦν. Ἀλλ' οὐ πρῶτον τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικόν· ἔπειτα τὸ πνευματικόν.

Οὕτω καὶ ἡ ἀνάστασις.] *Οὕτω.* Πῶς; Ἐν διαφορᾷ πολλῇ, καθὼς καὶ τὰ προγραφέντα ἐδήλωσε παραδείγματα. *Σπείρεται ἐν φθορᾷ.*] Ἄνω μὲν περὶ σπερμάτων λέγων, λέξεσιν ἐχρῆτο, σώμασι πεποιημέναις· ὡς ὅταν ἔλεγεν· *Οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ·* νῦν δὲ περὶ σωμάτων λέγων, λέξεσι χρῆται, σπέρμασι πεποιημέναις. *Σπείρεται* γὰρ, φησὶν, *ἐν φθορᾷ.* Τοῦτο δὲ ποιεῖ πανταχοῦ, ἐγγὺς τῶν παραδειγμάτων ἄγων τὸν περὶ τῆς ἀναστάσεως λόγον. *Σπορὰν* δὲ λέγει νῦν, οὐ τὴν ἐν τῇ μήτρᾳ, ἀλλὰ τὴν ἐν τῇ γῇ τῶν νεκρῶν σωμάτων ἀπόθεσιν, ὡς εἰ ἔλεγε· Καταβάλλεται ἐν τῇ γῇ τὸ νεκρὸν σῶμα *ἐν φθορᾷ*, τουτέστιν, ἐπὶ τῷ φθαρῆναι. Καλῶς δὲ εἶπεν, *ἐγείρεται*, καὶ οὐ, φύεται, ἵνα μὴ νομίσῃς, τῆς γῆς εἶναι τὴν ἐργασίαν. *Σπείρεται ἐν ἀτιμίᾳ.*] Τί γὰρ νεκροῦ διαῤῥέοντος εἰδεχθέστερον; ἀλλ' ἐγείρεται ἐν τῇ δόξῃ τῆς ἀφθαρσίας, εἰ καὶ μὴ τῆς αὐτῆς τιμῆς ἀπολαύσωσι πάντες. *Σπείρεται ἐν ἀσθενείᾳ.*] Οὔπω γὰρ ἡμέραι πέντε, καὶ οὐκ ἰσχύει ἡ σὰρξ ἀντιχεῖν πρὸς τὴν φθοράν· ἀλλ' ἐγείρεται ἐν τῇ τῆς ἀφθαρσίας δυνάμει, ἀνάλωτος οὖσα λοιπὸν πάσῃ φθορᾷ. *Σπείρεται σῶμα*

(α) Γενεσ. Β', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψυχικόν.] Ψυχικόν, φησι, σῶμα, τὸ ὑπὸ τῶν ψυχικῶν δυνάμεων διοικούμενον, καὶ ἐν ᾧ ἡ ψυχὴ τὸ κῦρος καὶ τὴν ἡγεμονίαν ἔχει· *πνευματικὸν* δὲ, τὸ τὴν τοῦ ἁγίου Πνεύματος καταπλουτοῦν ἐνέργειαν, καὶ ὑπ' ἐκείνου τὰ πάντα διοικούμενον. Τί γὰρ νῦν, εἴποι τις ἂν, οὐκ ἐνεργεῖ ἔν τισι τὸ πνεῦμα; Ναί· ἀλλὰ νῦν μὲν πολλάκις καὶ ἀφίπταται, μεταβληθέντος τοῦ βίου· τότε δὲ σύνεστιν ἀεί. Ἤ, *ψυχικὸν* λέγει, τὸ γεῶδες, καὶ βαρύ· *πνευματικὸν* δὲ, τὸ λεπτομερέστερον καὶ κοῦφον.—*Σῶμα ψυχικόν.* Εἴτις ἀκολούθως τοῖς προειρημένοις ἐκλαβεῖν ἐθέλει ταῦτα, ἐκεῖνο οἶμαι εἰρῆσθαι νῦν ἁπλῶς, τὸ τοῦ ἀνθρώπου θνητὸν σῶμα· τοῦτο γὰρ καὶ ἐν ἀσθενείᾳ, καὶ ἐν φθορᾷ, καὶ ἐν ἀτιμίᾳ σπείρεται, καὶ θάπτεται ἐν τῇ γῇ. Τοῦτο οὖν τὸ θνητὸν σῶμα, ψυχικόν ἐστιν, ὅτι τοῖς ψυχικοῖς ὑπηρετήσατο πάθεσιν· « Οὐδεὶς γὰρ ἀπὸ ῥύπου καθαρὸς, οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ (α). » Καὶ γὰρ καὶ ὅσαι σωματικαὶ πράξεις, τὴν πηγὴν καὶ γένεσιν ἀπὸ τῆς ψυχῆς ἔχουσιν· ὥστε τὸ τοῦ ἀνθρώπου θνητὸν σῶμα, εἰκότως ἂν ψυχικὸν καλοῖτο. *Σπείρεται* οὖν *ψυχικὸν*, ἐγείρεται δὲ ἀθάνατον, ὅπερ ἐστὶ *πνευματικόν*· *πνευματικὸν* δὲ, ὅτι οὐκέτι τοῖς ψυχικοῖς ὑπηρετήσει παθήμασιν, οὔτε τὰ τῶν δικαίων, ἀλλ' οὐδὲ τὰ τῶν ἁμαρτωλῶν σώματα. Μᾶλλον μὲν οὖν καὶ πολλὴν μεταμέλειαν, εἰ καὶ ἀνόνητον, ἐφ' οἷς ὑπηρετήσαντο, ἔξουσιν. Ἐπειδὴ δὲ τὸ, *Σπείρεται*, πολλάκις εἶπε, καὶ τὸ, *Ἐγείρεται*, ὁμοίως· τί δέ ἐστι τὸ σπειρόμενον ἢ τὸ ἐγειρόμενον οὐκ εἶπε, διὰ τοῦτο μετὰ ταῦτα ἐπήγαγε καὶ τοῦτο, *Σπείρεται*, λέγων, *σῶμα ψυχικὸν*, ὃ εἶπεν ἐν φθορᾷ, καὶ ἐν ἀτιμίᾳ, καὶ ἐν ἀσθενείᾳ σπείρεσθαι· ἀλλ' *ἐγείρεται σῶμα πνευματικὸν*, ὃ ἐν δόξῃ, καὶ δυνάμει, καὶ ἐν ἀφθαρσίᾳ ἐγερθήσεται· τὸ γὰρ ἀθάνατον κατὰ τὸν οἰκεῖον λόγον καὶ ἔνδοξον καὶ ἔντιμον καὶ ἄφθαρτον, εἰ καὶ τοῖς ἁμαρτωλοῖς αἰσχύνης καὶ ἀδοξίας διὰ τὴν οἰκείαν μοχθηρίαν ὑπόθεσις γίνε-

(α) Ἰώβ ΙΔ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται (Φωτίου).—*Ἔστι σῶμα ψυχικόν.*] Ἵνα μή τις εἴπῃ· Πόθεν ἡμῖν εἰσάγεις σώματα διάφορα, καὶ λέγεις *ψυχικὸν* καὶ *πνευματικόν*; φησίν· *Ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα πνευματικὸν* (1). Οὐκ ἐγὼ τοιγαροῦν κατ' ἰδίαν ἐξουσίαν καὶ ἐπίνοιαν ταῦτα λέγω, φησὶν, ἀλλ' ἔτι καὶ πρὸ ἡμῶν εἴρηται. Πόθεν δῆλον; Φησίν· *Οὕτω καὶ γέγραπται· Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν·* ὥστε ἐστὶ σῶμα ψυχικόν. Εἶτα, *ὁ ἔσχατος ἄνθρωπος, εἰς πνεῦμα ζωοποιοῦν·* ὥστε ἐστὶ καὶ σῶμα πνευματικὸν, τὸ ἁρμόζον τῷ ζωοποιοῦντι Πνεύματι. Ἀλλὰ τοῦτο πόθεν δῆλον, ὅτι ὁ δεύτερος ἄνθρωπος, *εἰς πνεῦμα ζωοποιοῦν*; Πόθεν δῆλον; Ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἐνεργείας· ἄλλως τε δὲ καὶ γέγραπται καὶ τοῦτο· «*Τὰ ῥήματα γάρ, φησιν, ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή ἐστιν* (α)»· ὥστε καὶ εἰς πνεῦμα ζωοποιοῦν τοὺς ἀκούοντας καὶ πειθομένους αὐτοῖς· εἰ δὲ τοῦτο, δῆλον ὡς καὶ πνευματικὸν οὗτοι ἔξουσιν ἐν τῇ ἀναστάσει σῶμα, μηκέτι δυνάμενον εἰς ψυχικὸν τραπῆναι, ὥσπερ ἐνίοτε συμβαίνει τοῖς ἔτι τῷ βίῳ παροῦσι. *Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν.*] Καὶ μὴ ἀπίστει, φησὶν, ὅτι τὰ νῦν ψυχικὰ ἡμῶν σώματα ἔσται τότε πνευματικά· ἔχομεν γὰρ ἤδη τούτου τὰς ἀποδείξεις· ὁ γὰρ Ἀδὰμ, ψυχικὸν εἶχε σῶμα· ὁ δὲ Χριστὸς, πνευματικὸν ἔσχε σῶμα, ὅλην δεξάμενον τοῦ ἁγίου Πνεύματος τὴν παρουσίαν· καὶ δηλοῖ τοῦτο ἡ μείνασα ἐπ' αὐτὸν περιστερά (β). Καθὸ γάρ ἐστι καὶ νοεῖται ἄνθρωπος ὁ Κύριος, ἔσχε τὴν τοῦ παρακλήτου ἐνέργειαν, καίτοι ἰδίου ὄντος αὐτοῦ τοῦ πνεύματος, καθό ἐστι καὶ νοεῖται θεός. Σημείωσαι δὲ καὶ ζωοποιὸν τὸ Πνεῦμα ὑπάρχειν· καίτοι τῆς ἀκολουθίας ἀπαιτούσης εἰπεῖν, *Εἰς πνεῦμα ζῶν*, καθὼς περὶ τοῦ ψυχικοῦ εἶπεν, *Εἰς ψυχὴν ζῶσαν*, αὐτὸς εἶπε *ζωοποιοῦν*, τὸ μεῖζον εἰπών.—*Σῶμα* λέγεται *πνευμα-*

(1) «Ψυχικὸν, ὃ νῦν ἔχομεν ἐν τῇ παρούσῃ ζωῇ. Πνευματικὸν, ὃ μέλλομεν ἕξειν ἐν τῇ μελλούσῃ, τὸ αὐτὸ μένον, πνευματικὸν δέ· τουτέστιν, ἄφθαρτον.» Θεοφύλακτος. (α) Ἰωαν. Ϛ', 63. (β) Ἰωαν. Α', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τικὸν, οὐ τὸ λεπτομερὲς καὶ ἀερῶδες, καθὼς λέγουσί τινες, ὅτι τοιοῦτον αἱ ψυχαὶ ἐν τῇ ἀναστάσει λήψονται σῶμα, ὧν ἐστιν εἷς καὶ ὁ Ὠριγένης· ἀλλὰ πνευματικὸν λέγεται τὸ χωροῦν πᾶσαν τοῦ ἁγίου Πνεύματος τὴν ἐνέργειαν καὶ κοινωνίαν· ὥσπερ οἰνηρὸν καὶ ἐλαιηρὸν σκεῦος καλεῖται τὸ τούτων χωρητικόν. Ἀναλόγως οὖν καὶ *ψυχικὸν* ἐκάλεσε, τὸ τῇ ψυχῇ, καὶ οὐ πνεύματι ἁγίῳ διοικούμενον (Μεθοδίου.).—ΑΔΔΩΣ. *Πνευματικὸν* καλεῖ σῶμα, τὸ μηκέτι τοῖς βαρήμασι τῆς φθορᾶς ὑποπίπτον, ἀλλὰ τῇ ἀφθαρσίᾳ καὶ δόξῃ περικεκοσμημένον. Σὰρξ οὖν ἡ αὐτὴ ἀνίσταται μετὰ τοῦ αὐτοῦ σχήματος, μηκέτι τὸ φρόνημα φέρουσα τὸ ἐμπαθὲς, ἀλλὰ τὸ τοῦ πνεύματος, οἱονεὶ πρὸς ἐνδοξοτέραν μεταβάλλουσα κατάστασιν, καὶ ὑψηλοτέραν, ὡς εἴρηται, τῆς ταπεινώσεως τῆς φθορᾶς ὑπὸ τῆς λαμπρότητος τῆς ἀφθαρσίας ἀναλωθείσης.=*Ὁ ἔσχατος Ἀδὰμ, εἰς πνεῦμα ζωοποιοῦν.*] Τοῦτο οὐ γέγραπται· ἀλλὰ τὸ κατὰ τὸ ἀκόλουθον γινόμενον, ὡς γεγραμμένον φησίν. *Ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν.*] Ἀλλ' οὐ πρῶτον γέγονε τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικόν. Ἡ γὰρ τοῦ ψυχικοῦ ἔκπτωσις καὶ παράβασις, τῆς τε ἐνανθρωπήσεως πρόφασις γέγονε, καὶ τοῦ ἑνωθῆναι σώματι τὸν θεὸν Λόγον, ὃν καὶ λέγει *πνευματικόν* (1).

47 Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτε-
48 ρος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπου-
49 ράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ
50 τὴν εἰκόνα τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κλη-

(1) «Ἵνα μή τις εἴπῃ· Διὰ τί τὸ ψυχικὸν σῶμα καὶ χεῖρον νῦν ἔχομεν· τὸ δὲ πνευματικὸν μέλλει; φησὶν, ὅτι καὶ αἱ ἀρχαὶ ἑκατέρων οὕτω διετάγησαν. Καὶ ὁ μὲν Ἀδὰμ, πρότερος· ὁ δὲ Χριστὸς, ὕστερος· ὥστε ἐπὶ τὸ βέλτιον ἀεὶ τὰ ἡμέτερα πρόεισι· καὶ πίστευε, ὅτι καὶ τὰ νῦν ἐν σοὶ φθαρτὰ καὶ χείρω, ἐπὶ τὸ ἄφθαρτον καὶ κρεῖττον μεταστοιχειωθήσεται.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

Πληρώσας τὸν περὶ τῆς ἀναστάσεως λόγον, εἰς παραίνεσιν ἦλθε πολιτείας ἀρίστης, καί φησιν, ὅτι ὁ Ἀδὰμ ἐκ γῆς ἦν· τοιγαροῦν καὶ χοϊκὸς ἦν, τουτέστι, γήϊνος καὶ βαρύς· ὁ δέ γε δεύτερος Ἀδὰμ, ὁ Κύριος, ἐξ οὐρανοῦ ἦν· οὐράνιος γὰρ ὁ θεὸς Λόγος· εἰ γὰρ καὶ τὸ σῶμα αὐτοῦ ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ τοῦ κρείττονος, τουτέστι, τῆς θεότητος, οὐράνιον αὐτὸν λέγει. — ΑΛΛΩΣ. Ὁ πρῶτος ἄνθρωπος γήϊνος ἦν, οὐ διὰ τὸ ἐκ γῆς παρῆχθαι· (οὕτω γὰρ, πάντες γήϊνοι· καὶ ἔτι, οὐκ ἄν τις αἰτιάσαιτο τὸ ἐκ γῆς παρῆχθαι·) ἀλλ' ἐκ γῆς, φησι, τουτέστι, γήϊνος καὶ σαρκικὸς, καὶ κάτω φρονῶν· ὁ δὲ δεύτερος, μετάρσιος ὅλος καὶ οὐράνιος, καὶ μηδεμιᾷ τῶν γηΐνων κηλῖδι βαρυνόμενος. Οἷος τοιγαροῦν ἦν ὁ χοϊκὸν ἑαυτὸν, δι' ὧν ἐφρόνει καὶ ἔπραττε, καταστήσας, τοιοῦτοι ἔσονται καὶ οἱ πρὸς μίμησιν ἐκείνου βιοῦντες, τουτέστι, χοϊκοί, καὶ πάσχοντες ὅσα εἰκὸς πάσχειν τοὺς προσηλώσαντας ἑαυτοὺς τῷ χοΐ· καὶ οἷος ἦν ὁ μετάρσιον καὶ οὐράνιον καὶ καθαρὰν τὴν ἐπὶ γῆς αὐτοῦ πολιτείαν ἐνστησάμενος, τοιοῦτοι ἔσονται καὶ οἱ πρὸς μίμησιν, καθ' ὅσον ἐστὶν ἀνθρώποις δυνατὸν, ἐκείνης τῆς οὐρανίου διαγωγῆς πολιτευσάμενοι, τουτέστιν, ἐπουράνιοί τε ἔσονται, καὶ τῶν ἀξίων αὐτοῖς γερῶν ἀπολαύσουσι. — *Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί.*] Οἷος, φησὶν, ὁ χοϊκὸς Ἀδὰμ, τοιοῦτοι ἔσονται καὶ πάντες οἱ γήϊνοι· τουτέστιν, οἱ ὅλοι τῆς γῆς ὄντες, καὶ πρὸς αὐτὴν ἐπτοημένοι, ἀποθανοῦνται τὸν νοητὸν θάνατον, τὸν τῆς ἁμαρτίας. *Καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.*] Οἱ μιμηταὶ γινόμενοι Χριστοῦ κατὰ τὸν Παῦλον, ἔσονται ὡς ὁ ἐπουράνιος, καθ' ὅσον ἀνθρώποις ἐφικτόν. « Οἴδαμεν γὰρ, φασὶν αἱ Καθολικαὶ, ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα (α). » *Καὶ*

(α) Α' Ἰωαν. Γ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ.] Τουτέστι, καθὼς τὰ φαῦλα ἐπράξαμεν· ταῦτα γὰρ εἰκὼν τοῦ χοϊκοῦ· *φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου*, τουτέστιν, ἀγαθοεργοῦντες, καὶ μιμηταὶ αὐτοῦ γινόμενοι κατὰ τὸ ἐγχωροῦν· καθὼς καὶ αὐτὸς [ὁ Παῦλος] ἀλλαχοῦ φησι· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ (α).» *Εἰκὼν δὲ τοῦ χοϊκοῦ*, καὶ τό· «*Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ* (β)·» εἰκὼν δὲ τοῦ ἐπουρανίου, ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἀφθαρσία. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ. Τὸ δὲ, *φορέσομεν*, εἰμὲν διὰ τοῦ ο βραχέως γραπτέον, προαγόρευσίς ἐστιν, ἐξ ἀκολουθίας ληφθεῖσα, τοῦ μέλλοντος, καὶ ἀποφάνσεως ἅμα δύναμιν πληροῦσα· τουτέστι· Πάντως φορέσομεν τὴν εἰκόνα τοῦ ἐπουρανίου, ὥς περ ἐφορέσαμεν καὶ τὴν εἰκόνα τοῦ χοϊκοῦ· καὶ εἴη ἂν εἰκὼν μὲν τοῦ χοϊκοῦ, ὁ θάνατος· εἰκὼν δὲ τοῦ ἐπουρανίου, ἡ ἀνάστασις καὶ ἡ ἀφθαρσία. Ὅ,τε γὰρ Ἀδὰμ, διὰ τοῦ θανάτου εἰκονίζεται· αὐτὸς γὰρ καὶ πρῶτος τῶν ἄλλων αἴτιος τοῦ θανεῖν γέγονε· καὶ ὁ δεσπότης Χριστὸς πάλιν, διὰ τῆς ἀναστάσεως καὶ τῆς ἀφθαρσίας εἰκονίζεται· αὐτός τε γὰρ πρῶτος ἀνέστη σαρκὶ, νικήσας τὸν θάνατον, καὶ τῷ γένει παντὶ τῶν ἀνθρώπων τὴν ἀνάστασιν καὶ ἀφθαρσίαν ἐπήγαγεν. Εἰ δὲ τὸ, *φορέσομεν*, διὰ μακροῦ γραπτέον ἐστὶ τοῦ ω, παραίνεσίς ἐστι καὶ συμβουλὴ ἐπ᾽ ἀρετὴν, καὶ ἔνθεον πολιτείαν. *Φορέσωμεν*, φησὶν, ἐνδυσώμεθα τὴν εἰκόνα τοῦ ἐπουρανίου, ἵνα κληρονομήσωμεν τὴν οὐράνιον βασιλείαν. Καὶ εἴη ἂν *εἰκὼν* μὲν ἐνταῦθα *τοῦ χοϊκοῦ* λαμβανομένη, αἱ πράξεις αἱ πονηραὶ, καὶ βρίθουσαι πρὸς τὰ γήϊνα καὶ σαρκικὰ πάθη· ταῦτα γὰρ μορφοῖ καὶ χαρακτηρίζει τὸν ἁμαρτωλὸν, ὅς ἐστι χοϊκός· *εἰκὼν δὲ τοῦ ἐπουρανίου*, τὸ ὑψηλὸν καὶ μετάρσιον τῆς πολιτείας, καὶ ἡ κτῆσις τῶν οὐρανίων ἀρετῶν. Φησὶν οὖν ἅμα καὶ ἐντρέπων· *Φορέσωμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου*,

(α) Α΄ Κορ. ΙΑ΄, 1. (β) Γενεσ. Γ΄, 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτησώμεθα πολιτείαν, ὑψοῦσαν ἡμᾶς πρὸς οὐρανόν. Οὐ γὰρ αἰσχύνεσθε, οὐδὲ ἐγκαλύπτεσθε, ὅτι τὴν μὲν εἰκόνα τοῦ χοϊκοῦ προθύμως ἐφορέσαμεν, καίτοι κατασπῶσαν ἡμᾶς, καὶ τῆς βασιλείας τοῦ θεοῦ ἀναξίους ἀποφαίνουσαν· πρὸς δὲ τὴν εἰκόνα τοῦ ἐπουρανίου ἔτι μέλλομεν καὶ ἀναβαλλόμεθα; Σπουδάσωμεν ταύτην ἐνδύσασθαι, ταύτην ζηλῶσαι, τὴν οὐράνιον πολιτείαν· ἄλλως γὰρ οὐκ ἔνι τυχεῖν τῆς οὐρανίου βασιλείας. *Τοῦτο δὲ φημι, ἀδελφοί, ὅτι σὰρξ*, καὶ ἑξῆς.] Ἐπειδὴ εἶπεν, *εἰκόνα τοῦ χοϊκοῦ*, ὡσανεὶ ἑρμηνεύων ταύτην, φησί· Διὰ τοῦτο ταῦτα εἶπον, ἵνα μάθητε, ὅτι *σὰρξ καὶ αἷμα*, τουτέστιν, αἱ πονηραὶ πράξεις, *οὐ δύνανται τὴν βασιλείαν τοῦ θεοῦ κληρονομῆσαι*.—Καὶ τὸ, *Τοῦτο δὲ φημι, ἀδελφοί*, πρὸς τὴν διάφορον ἑρμηνείαν τοῦ, *Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν*, ἢ *φορέσωμεν, καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου*, ἐκληφθήσεται. Ἡ γὰρ τῆς προτροπῆς καὶ συμβουλῆς ἐστιν αἰτία· ὅτι, Διὰ τοῦτο παραινῶ ὑμῖν καὶ συμβουλεύω ταῦτα ποιεῖν, ἵνα τὴν τῶν οὐρανῶν κληρονομήσητε βασιλείαν· διότι οἱ σαρκικοὶ καὶ ἐμπαθεῖς βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· οὐ γάρ ἐστι φύσιν ἢ ἀκολουθίαν ἔχον, ἵνα ὁ καταφθείρας καὶ καταῤῥυπώσας ἑαυτὸν ταῖς ἀκαθαρσίαις, τὰ τῶν ἀπαθῶν καὶ μὴ καταφθαρέντων τοῖς πάθεσι γέρα κληρονομήσῃ. Εἰ δὲ τῆς δογματικῶς εἰρημένης ἑρμηνείας αἰτίαν αὐτὸ ἐκληψόμεθα, τουτέστι, τῆς, ὅτι ἔσται πάντως ἡ ἀνάστασις, καὶ οὕτω πολλὴν τὴν ἀκολουθίαν ἕξει· συλλογιστικώτερον γὰρ τὸ, *Τοῦτο δὲ φημι*, τὴν ἀνάστασιν εἴη ἂν κατασκευάζον· τὸ δὲ, *Κληρονομῆσαι οὐ δύνανται*, ἐν τοῖς πλατυκωτέροις. Τὸ ἀποθνῆσκον, κληρονομεῖται· τὸ δὲ ζῶν, κληρονομεῖ. Διό, οὐ τὸ ἀποθνῆσκον σῶμα κληρονομεῖ τὴν ἀφθαρσίαν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' αὐτὸ ὑπὸ τούτων κληρονομεῖται, εἰς τὸ γενέσθαι ἄφθαρτον καὶ δεκτικὸν τῆς βασιλείας. (Φωτίου).—*Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ*.] *Φθοράν*, φησὶ τὴν κακίαν, ὡς καταφθείρουσαν τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ψυχῆς εὐγενές. Οὐκ ἂν οὖν ἡ φθορὰ κληρονομήσῃ τὰ ἄφθαρτα, καὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα τῆς βασιλείας ἀγαθά.

51 Ἰδοὺ, μυστήριον ὑμῖν λέγω· Πάντες μὲν οὐ κοι-
52 μηθησόμεθα· πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. (Σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι,
53 καὶ ἡμεῖς ἀλλαγησόμεθα.) Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Πάλιν εἰς τὸν περὶ ἀναστάσεως ἐπάνεισι λόγον, καί φησιν, ὅτι φρικτόν τι καὶ ἀπόῤῥητον αὐτοῖς μέλλει λέγειν· δείκνυσι δὲ διὰ τούτου καὶ πολλὴν τὴν πρὸς αὐτοὺς ἀγάπην, ἐκ τοῦ ἀπόῤῥητα αὐτοῖς λέγειν. *Πάντες μὲν οὐ κοιμηθησόμεθα· πάντες δὲ ἀλλαγησόμεθα.*] Οὐ πάντες μέν, φησιν, ἀποθανοῦνται, ὅμως μέντοι *πάντες ἀλλαγήσονται*, καὶ οἱ μὴ ἀποθνήσκοντες, τουτέστιν, εἰς ἀφθαρσίαν μεταπεσοῦνται. Μὴ τοίνυν διὰ τοῦτό, φησιν, ἀπίστει τῇ ἀναστάσει, διὰ τὸ μέλλειν ἀποθνήσκειν καὶ διαλύεσθαι· εἰσὶ γάρ τινες τότε εὑρισκόμενοι, οἳ οὐ μὴ ἀποθάνωσιν, ἀλλ' ὅμως οὐκ ἀρκέσει αὐτοῖς τοῦτο εἰς τὴν ἀνάστασιν ἐκείνην, ἐὰν μὴ ἀλλαγῶσι, καὶ οὕτως εἰς ἀθανασίαν ἔλθωσιν. Ὥσπερ οὖν ἐκείνοις οὐ συμβάλλεται πρὸς τὴν ἀνάστασιν τὸ μὴ ἀποθανεῖν· οὕτως οὐδὲ ἡμᾶς βλάψει τὸ ἀποθανεῖν· καὶ γὰρ κἀκείνοις ἡ ἀλλαγὴ, θάνατός ἐστιν· ἀποθνήσκει γὰρ ἐν αὐτοῖς ἡ φθορὰ, ἀλλαττομένη εἰς ἀφθαρσίαν. Ἄλλοι δὲ τὸ, *Οὐ κοιμηθησόμεθα*, φασὶ, περὶ τοῦ μακροῦ θανάτου αὐτὸν εἰρηκέναι, ὥστε φθορᾶς καὶ διαλύσεως δεηθῆναι· τὸ γὰρ, *ἐν ἀτόμῳ*, ἤγουν, ἐν στιγμῇ, *ἐν ῥιπῇ ὀφθαλμοῦ*, ἤγουν, φορᾷ καὶ κινήσει καὶ ὁρμῇ ἀποθανεῖν καὶ ἀναστῆναι, οὐδὲ κοίμησιν εἶναι φασίν. *Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ.*] Καὶ, τὸ παράδοξόν, φησιν, ὅτι τοσαῦτα θαύματα ἐν ἀκαριαίῳ χρόνῳ, καὶ ὅσον μύσαι βλέφαρον, ἔσται, ἅμα τῇ τῆς σάλπιγγος ἠχῇ.—Ἆρα μὴ ἔνι καὶ οὕτω νοῆσαι; Μικρὰ δὲ προαφηγητέον τοῦ νοήματος. Ὁ εὐαγγελιστὴς Ἰωάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νης φησὶν ἐν τῇ Ἀποκαλύψει (α), τὸ τέλος τοῖς ἀνθρώποις μὴ ὑφ' ἓν πᾶσιν ἐπάγεσθαι, ἀλλὰ κατὰ μέρος ἐλέῳ θεοῦ, ἵνα, τῶν πρώτων ἀπολλυμένων, οἱ ὑπολιμπανόμενοι τῷ φόβῳ τῶν προαναλωθέντων εἰς μετάνοιαν ἔλθωσι. Λέγει δὲ τὸ δόγμα τοῦτο ἐν τῇ λύσει τῆς ἑβδόμης σφραγῖδος τοῦ βιβλίου. Ὧν οὕτως ἐχόντων, νοήσεις τὸ, *Ἐν ἀτόμῳ*, καὶ, *ἐν ῥιπῇ ὀφθαλμοῦ*, κατὰ κοινοῦ εἰρῆσθαι, καὶ πρὸς τὰ δύο ἁρμόζειν, ἵνα ᾖ οὕτω· *Πάντες μὲν οὐ κοιμηθησόμεθα*, οἷον, ἀποθανούμεθα, *ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ*, διὰ τὸ κατὰ μέρος ἐπάγεσθαι τὸ τέλος, κατὰ τὸν λόγον τῆς ἀποκαλύψεως· *Πάντες μέντοι ἀλλαγησόμεθα ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι.* Αἱ μὲν γὰρ πρῶται σάλπιγγες, ἑπτὰ οὖσαι κατὰ τὴν Ἀποκάλυψιν, οὐκ ἐγείρουσι τοὺς νεκρούς, ἀλλὰ συντελοῦσι τοὺς ἀνθρώπους (γ)· ἡ δὲ τελευταία σάλπιγξ, τήν τε ἔγερσιν καὶ τὴν ἐναλλαγὴν τῶν ἤδη ἀναστάντων ποιεῖ ἐν ἀτόμῳ, καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ, σὺν τῇ κτίσει· καὶ γὰρ καὶ ἡ κτίσις ἀλλαγήσεται ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ, καθὼς ἐν τῇ πρὸς Ῥωμαίους εἶπεν (δ). — *Σαλπίσει γὰρ.*] Εἶτα, ἵνα μὴ ἀπιστήσῃ τις, πῶς τὰ τηλικαῦτα ἐν ῥιπῇ ὀφθαλμοῦ γίνονται, τὸ ἀξιόπιστον τοῦ λόγου δεικνὺς ἀπὸ τῆς δυνάμεως τοῦ ποιοῦντος θεοῦ, φησί· Σαλπίσει γὰρ ἡ σάλπιγξ ἐκείνη ἡ φοβερὰ, καὶ οἱ νεκροὶ ἀναστήσονται, δηλονότι ἠλλαγμένοι καὶ ἄφθαρτοι. *Καὶ ἡμεῖς*, τουτέστιν, οἱ καταλαμβανόμενοι τότε ζῶντες· περὶ ἐκείνων γὰρ, οὐ περὶ ἑαυτοῦ φησί· *καὶ ἡμεῖς* τοιγαροῦν *ἀλλαγησόμεθα.* Ἐπὶ τούτων γὰρ οὐκ ἔσται ἔγερσις, τῶν μηδὲ κοιμηθέντων, ἀλλὰ μόνον ἐναλλαγή. Οἱ μὲν νεκροὶ, οἱ προαποθανόντες, ἐγερθήσονται ἄφθαρτοι· οἱ δὲ ζῶντες τότε, πῶς

(α) Ἀποκαλ. Κεφ. Η'— ΙΑ'.

(γ) τὴν συντέλειαν τῶν ἀνθρώπων ποιοῦσι. Θεοφύλακτος.

(δ) Ῥωμ. Η, 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγερθήσονται; Μόνον ὡς ἐν ῥοπῇ ἀλλαγήσονται εἰς ἀθανασίαν. *Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο.*] Ἥρμήνευσε, τί βούλεται ἡ ἐναλλαγή· τὸ ἐκ φθαρτοῦ εἰς ἀφθαρσίαν, καὶ ἐκ θνητοῦ εἰς ἀθανασίαν ἀλλαγῆναί, φησιν.

ΕΡΩΤΗΣΙΣ. Ἐπειδὴ κατά τινα τῶν ἀντιγράφων περιέχεται τὸ τοῦ ἀποστόλου· *Πάντες μὲν κοιμηθησόμεθα· οὐ πάντες δὲ ἀλλαγησόμεθα·* κατά τινα δὲ ὅτι· *Πάντες μὲν οὐ κοιμηθησόμεθα· πάντες δὲ ἀλλαγησόμεθα·* παρακαλῶ μαθεῖν, ποίαν δεῖ τῶν ἐκδόσεων ἐγκρῖναι, καὶ τί τὰ ἐκ τούτων δηλούμενα.

ΑΠΟΚΡΙΣΙΣ. Οἶμαι, ὅτι καθ' ἑκατέραν τῶν ἐκδόσεων, ἐπειδὴ καὶ τὰ ἀρχαῖα τῶν ἀντιγράφων καὶ τὰς δύο περιέχουσιν, εὐσεβῶς τις ἐκλαμβάνων, τοῦ ἀποστολικοῦ οὐκ ἀποπεσεῖται σκοποῦ. Κατὰ μὲν οὖν τό· *Πάντες κοιμηθησόμεθα· οὐ πάντες δὲ ἀλλαγησόμεθα·* οὕτω χρὴ νοεῖν ὅτι· Πάντες μὲν τὴν διὰ θανάτου κοίμησιν ὑπομενοῦμεν, οὐ πάντες δὲ τὴν δόξαν καὶ τὴν παῤῥησίαν ἀνταλλαξόμεθα, ὅπερ αὐτὸς ὁ ἀπόστολος ἐν ἄλλῳ τίθησι φάσκων σαφέστερον· «Εἴγε, καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα (α).» Κατὰ δὲ τό· *Οὐ πάντες μὲν κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα·* οὕτω χρὴ ἐκδέχεσθαι· Ὅτι μὲν οὐ κοιμηθησόμεθα τὴν χρονικὴν κοίμησιν, ὥστε δεηθῆναι ταφῆς καὶ λύσεως τῆς εἰς φθοράν, ἀλλὰ σύντομον τὸν θάνατον οἱ τότε εὑρισκόμενοι ὑπομενοῦσι, μὴ δεόμενοι χρονικῆς κοιμήσεως, διὰ τὴν παραυτίκα γινομένην ἀνάστασιν· πάντες δὲ ἀλλαγήσονται, τουτέστιν, ἀφθαρσίαν ἐνδύσονται.

54 Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν,
καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε
55 γενήσεται ὁ λόγος ὁ γεγραμμένος· « Κατεπόθη ὁ θάνατος εἰς νῖκος (β). » Ποῦ σου, θάνατε, τὸ κέν-

(α) Β' Κορ. Ε, 3. (β) Ἡσ. ΚΕ, 8

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

56 τρον; ποῦ σου, ᾅδη, τὸ νῖκος (α); Τὸ δὲ κέντρον
τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρ-
57 τίας, ὁ νόμος. Τῷ δὲ θεῷ χάρις, τῷ διδόντι ἡμῖν
τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὅταν οὖν, φησί, ταῦτα γένηται, τότε ἡ γραφὴ πληροῦται ἡ τοῦ Ὡσηέ. Ἐπειδὴ γὰρ παράδοξα καὶ ὄντως μυστήρια εἶπε, λοιπὸν καὶ τῇ γραφικῇ μαρτυρίᾳ πιστοῦται τὸν λόγον. *Κατεπόθη ὁ θάνατος εἰς νῖκος*, τουτέστιν, εἰς τέλος· οἷον, ἀπόλωλεν, ἠφάνισται, οὐδὲ ἐλπὶς ὑποστροφῆς αὐτῷ καταλέλειπται. Ἐπειδὴ δέ ἐστι καταποθῆναι τὸν θάνατον εἰς φθορὰν τῶν καταπιόντων· ὥςπερ καὶ φάρμακόν ἐστι καταποθῆναι ἐπὶ διαφθορᾷ ὁμοίως τῶν χρησαμένων· διὰ τοῦτο ἐπήγαγε τὸ, *Εἰς νῖκος*, ἀντὶ τοῦ, Οὐχ ἵνα φθείρῃ τὸν καταπιόντα, ἀλλ' ἵνα αὐτὸς ἀφανισθῇ, καὶ κατακράτος ἐκνικηθῇ, ὥστε μηκέτι μηδ' ἴχνος μάχης, ἢ σκιὰν ἐνοχλήσεως ὑπολειφθῆναι. Καὶ τὸ, *Κατεπόθη*, δὲ μετὰ τῆς προθέσεως ῥηθὲν, τὴν ἀφοδρὰν αὐτοῦ διαφθορὰν σημαίνει· Ὅλος, φησὶ, κατεπόθη εἰς νῖκος, ὥστε μηδὲν αὐτοῦ ἔτι ἐναπολειφθῆναι. *Ποῦ σου, θάνατε, τὸ κέντρον;*] Ὡσανεὶ ὁρῶν αὐτὰ γινόμενα, καὶ οἷον χαμαὶ κειμένῳ ἐπεμβαίνει τῷ θανάτῳ, καὶ ἐγκαυχᾶται αὐτῷ, *Ποῦ σου*, λέγων, *τὸ κέντρον*; ποῦ σου ἡ κατὰ πάντων τῶν ἀνθρώπων νίκη, θάνατε καὶ ᾅδη (1); Ἀπόλωλεν, ἠφάνισται, τέλος ἔχει. *Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία.*] Διὰ ταύτης γὰρ ἴσχυσεν ὁ θάνατος, ὥσπερ δυνάμει αὐτῇ καὶ κέντρῳ χρησάμενος. Ὥσπερ γὰρ ὁ σκορπίος, αὐτὸς μὲν ζωύφιόν ἐστιν εὐτελὲς, ἐν δὲ τῷ κέντρῳ τὴν ἰσχὺν ἔχει· οὕτω καὶ ὁ θάνατος, δίχα τῆς ἁμαρτίας ἀνενέργητός τις ἦν καὶ ἀνυπόστατος. *Ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος.*] Πῶς ἐστι δύναμις τῆς ἁμαρτίας ὁ νόμος; Ὅτι ἐκτὸς νόμου ἀσθενὴς ἦν ἡ ἁμαρ-

(α) Ὡσηὲ Ιγ', 14.

(1) « Εὕρηις δ' ἂν διαφοράν τινα ᾅδου καὶ θανάτου, τῷ τὸν μὲν ᾅδην τὰς ψυχὰς κατέχειν· τὸν δὲ θάνατον, τὰ σώματα· αἱ γὰρ ψυχαὶ ἀθάνατοι». Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τία κατὰ ἀγνωσίαν γινομένη (1)· ὁ δὲ νόμος αὐτὴν φανερώσας, κατέκρινε μᾶλλον ἡμᾶς, ὡς ἐν γνώσει ἁμαρτάνοντας· καὶ ἐνεργὸν καὶ ἰσχυρὰν ἐποίησε καθ' ἡμῶν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἡμῶν κακίαν, τῶν μὴ καλῶς χρησαμένων τῷ δοθέντι φαρμάκῳ. Μὴ οὖν ἀμφίβαλλε, ὦ ἄνθρωπε, περὶ τῆς ἀναστάσεως, ὁρῶν καὶ τὸ κέντρον τοῦ θανάτου, τὴν ἁμαρτίαν, ἀναιρεθέν, καὶ τὴν ἰσχὺν πάλιν τῆς ἁμαρτίας, ἤγουν, τὸν νόμον, λυθεῖσαν· τῆς γὰρ ἁμαρτίας ἀναιρεθείσης, ἤγουν, τοῦ κέντρου τοῦ θανάτου, τῷ σταυρῷ τοῦ Χριστοῦ, δῆλον ὡς καὶ ὁ θάνατος συναναιρεθήσεται. *Τῷ δὲ θεῷ χάρις, τῷ διδόντι ἡμιν τὸ νῖκος.*] Ὁ Χριστός, φησι, τὸ τρόπαιον ἔστησεν· ἡμεῖς δὲ τῶν στεφάνων κοινωνοῦμεν. Χάρις δὲ τῷ πατρὶ, τῷ γεννήσαντι υἱόν, τὸν τοσαῦτα κατορθώσαντα ἡμῖν.—ΑΛΛΩΣ. Ἐπειδὴ τὸν νόμον εἶπε *δύναμιν τῆς ἁμαρτίας*, ἵνα μή τινες αὐτόν τε τὸν νόμον, ὡς φαῦλον πεπαῦσθαι νομίσωσι, καὶ τὸν νομοθέτην βλασφημήσωσιν, ἐπάγει· *Τῷ δὲ θεῷ χάρις*· οἷον· Τῷ δὲ νομοθέτῃ θεῷ, καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χάρις. Αὐτὸς γὰρ καὶ τὸν νόμον κατὰ καιροὺς συμφέροντα ἔδωκε, καὶ τούτῳ ἡμῶν εἰς ἰσχὺν ἁμαρτίας ἀποχρησαμένων, καὶ κραταιωσάντων τὴν ἁμαρτίαν, αὐτὸς πάλιν διὰ τοῦ υἱοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔδωκεν ἡμῖν τὸ κατ' αὐτῆς ἀναμφήριστον κράτος καὶ νῖκος (Φωτίου).

58 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες, ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

Ἐπεὶ οὖν ἔγνωτέ, φησι, ταῦτα οὕτως ἔχειν, εἶναί τε ἀνάστασιν, καὶ ἀμοιβὰς καλῶν καὶ φαύλων, *ἑδραῖοι γίνεσθε*· σαλεύοντο γὰρ περὶ τὸ τῆς ἀναστάσεως μυστήριον, καὶ τοῦ

(1) « Ὅτι, τοῦ νόμου μὴ ὄντος, ἐν ἀγνοίᾳ ἁμαρτάνοντες, οὐχ οὕτω κατεκρινόμεθα· ὁ δὲ νόμος κ. τ. λ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαθοῦ βίου ἠμέλουν, ὡς οὐκ οὔσης ἀναστάσεως. Εἶτα φησὶ· *Περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε.*] Οὐ μόνον αὐτὸ ἐργαζόμενοι, ἀλλὰ καὶ ἐκ περιουσίας αὐτὸ ποιοῦντες. Τὸ δὲ ἔργον τοῦ Κυρίου, τουτέστιν, ὃ ἀγαπᾷ ὁ Κύριος, καὶ ὃ ἀπαιτεῖ παρ' ἡμῶν, ἡ ἀρετή ἐστιν. *Ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.*] Ὃν νῦν κάμνετέ, φησιν· ἀλλ' ἔσται αὐτοῦ ἀμοιβὴ παρὰ θεοῦ. Τὸ δὲ, *Ἐν Κυρίῳ*, νοήσεις ἢ ὅτι ὁ ἐν Κυρίῳ κόπος ὑμῶν· τουτέστιν, ὁ καὶ τὴν ἄνωθεν βοήθειαν ἔχων, ὡς ἐπὶ θεαρέστοις ἔργοις γινόμενος· ἢ ὅτι παρὰ Κυρίῳ οὐ ματαιωθήσεται ὁ κόπος, ἀλλὰ λήψεσθε παρ' ἐκείνου τὰς ἀμοιβάς.

ΚΕΦ. XVI, 1 Περὶ δὲ τῆς λογίας, τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας,
2 οὕτω καὶ ὑμεῖς ποιήσατε. Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ,τι ἂν εὐοδῶται· ἵνα μὴ, ὅταν ἔλθω, τότε λογίαι γί-
3 νωνται. Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστόλων τούτους πέμψω, ἀπενεγκεῖν τὴν χά-
4 ριν ὑμῶν εἰς Ἱερουσαλήμ· ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

Ἀπαρτίσας τὸν περὶ δογμάτων λόγον, εἰς τὸ κεφάλαιον τῶν ἀρετῶν, τὴν ἐλεημοσύνην, ἦλθε. *Λογίαν* δὲ λέγει τὴν συλλογὴν, κοῦφον εὐθὺς ἐκ προοιμίων ποιῶν τὸ πρᾶγμα· τὸ γὰρ ἐκ πολλῶν συνεισφερόμενον, κοῦφον ἦν ἑκάστῳ. Εἶτα εἰς ζῆλον αὐτοὺς ἄγει, τῇ διηγήσει τῶν ἑτέροις κατορθωθέντων· ὥσπερ γάρ, φησιν, οἱ Γαλάται πεποιήκασιν. Ὅρα δὲ, πῶς ἐμφαίνει τὸ ἀναγκαῖον τοῦ γινομένου· *Ὥσπερ*, φησι, *διέταξα*· οὐ γὰρ εἶπε, παρήνεσα, ἢ συνεβουλευσάμην, ἀλλὰ, *διέταξα*, τῷ μετὰ αὐθεντίας ἐπιτάξαι δηλῶν τὸ τοῦ πράγματος ἀπαραίτητόν τε καὶ ἀναγκαῖον. *Κατὰ μίαν σαββάτων.*] *Μίαν σαββάτων*, τὴν κυριακὴν λέγει· ἀντὶ τοῦ, τὴν πρώτην τῶν τοῦ σαββάτου, ἤτοι, τῆς ἑβδομάδος, ἡμερῶν. Καὶ ἀπὸ τῆς ἡμέρας αὐτῆς ἐπὶ ἐλεημοσύνην αὐτοὺς προτρέπεται, τῶν ἐν αὐτῇ μυστηρίων ὑπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μιμνήσκων. *Παρ' ἑαυτῷ τιθέτω.*] Προνοητικῶς λίαν. Οὐ γὰρ εἶπεν, Εὐθὺς φερέτω· ἵνα μή τις, ἐλάχιστον ἔχων, αἰσχύνηται· ἀλλὰ πρῶτον παρὰ σαυτῷ συνάγαγέ, φησι· καὶ ὅταν ἄξιον λόγου γένηται, τότε φέρε. *Θησαυριζέτω δὲ ὅ,τι ἂν εὐοδῶται.*] Τουτέστιν, ὅπερ ἂν ὁ Θεὸς πέμψῃ, καὶ ὃ εὐχερὲς ἔχῃ. *Ἵνα μὴ, ὅταν ἔλθω.*] *Ἵνα μή*, φησιν, ὅτε καιρός ἐστιν ἀναλώσεως, τότε συνάγειν ἄρξητε. Τῷ δὲ εἰπεῖν, *Ὅταν ἔλθω*, προθυμοτέρους αὐτοὺς εἰς τὴν συλλογὴν ποιεῖ, ὡς ἐπ' ὄψεσιν αὐτοῦ μελλούσης γίνεσθαι τῆς συνεισφορᾶς. *Οὓς ἐὰν δοκιμάσητε.*] Καλῶς τὸ, *Οὓς ἂν δοκιμάσητε*, τέθεικεν, ἀποτριβόμενος πανταχοῦ τὸ σκανδαλίσαι τινὰς, ἵνα μὴ ὑποπτεύσωσιν, ὡς καὶ αὐτός τι βούλεται λαβεῖν ἐκ τῶν συναγομένων. *Ἀπενεγκεῖν τὴν χάριν ὑμῶν.*] *Χάριν* εἶπε, τουτέστι, φιλοτιμίαν, ἵνα δείξῃ αὐτοὺς μέγα τι ποιοῦντας, καὶ οὐκ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· τοιοῦτον γὰρ ἡ χάρις· (τὸ γὰρ ἐλεημοσύνην εἰπεῖν, οἰκτρὸν ἦν, καὶ ἀνάξιον τῶν μελλόντων λαμβάνειν ἁγίων·) καὶ σημαίνει, ὅτι ἀντιλήψονται καὶ αὐτοὶ χάριν, τὰς εὐχὰς αὐτῶν. *Ἐὰν ᾖ ἄξιον.*] Διὰ τούτων εἰς δαψίλειαν αὐτοὺς προτρέπεται. Ἐὰν ᾖ, φησὶ, τοσαῦτα [τὰ συναχθέντα], ὡς καὶ τῆς ἐμῆς δεῖσθαι διακονίας τὸ πρᾶγμα, κἀγὼ ἀπελεύσομαι. Πανταχοῦ δὲ καὶ τοὺς ἐκείνων ἔχειν μάρτυρας βούλεται, ὡς αὐτὸς οὐδὲν λήψεται ἐξ αὐτῶν· διό φησι, *σὺν ἐμοὶ πορεύσονται.*

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλ-
6 θω· Μακεδονίαν γὰρ διέρχομαι· πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με
7 προπέμψητε, οὗ ἐὰν πορεύωμαι. Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω δὲ χρόνον τινὰ
8 ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ. Ἐπι-
9 μενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς· θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ ἀντικείμενοι πολλοί.

Ὅταν *Μακεδονίαν διέλθω.*] Οὐκ εἶπεν, *ἀπέλθω*, ἀλλὰ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διέλθω, παραμυθούμενος αὐτοὺς, ὡς εὐθὺς παραγινόμενος. Καὶ ὅρα προτίμησιν! Ἐκείνους διέρχομαί, φησι, παρ' ὑμῖν δὲ παραμενῶ· καὶ γὰρ πλείους ἦσαν οἱ ἐν Κορίνθῳ πιστοί· διὸ καὶ προτιμῶνται παρ' αὐτοῦ. *Πρὸς ὑμᾶς δέ.*] τὸ, Δὲ, παρέλκει ἐνταῦθα· σύνηθες δὲ τοῦτο τῇ θείᾳ Γραφῇ· ἀλλὰ καὶ παρὰ τοῖς ἔξω συγγραφεῦσι πολλὴ ἡ τοιαύτη χρῆσις, καὶ μάλιστα τοῖς Ἀττικισταῖς. *Τυχὸν παραμενῶ.*] Καλῶς τὸ, *τυχὸν*, τουτέστιν, ἴσως· οὐ γὰρ ᾔδει πάντως εἴτε ἐπιτραπείη τοῦτο ὑπὸ τοῦ πνεύματος, εἴτε μή· ὑπὸ τοῦ πνεύματος γὰρ ἤγετο ἔνθα ἐκεῖνο ἤθελεν. Ἀγάπης δὲ δεικτικὸν τό, τε παραμεῖναι αὐτοῖς, καὶ τὸ ὑπ' αὐτῶν προπεμφθῆναι. *Ἵνα ὑμεῖς με προπέμψητε*, καὶ ἐφεξῆς.] Εἰς παράκλησιν αὐτῶν καὶ παραμυθίαν εἴρηκε καὶ τό· *Ἵνα ὑμεῖς με προπέμψητε*· καὶ τό· *Οὐ θέλω ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν*· καὶ τό· *Ἐλπίζω χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς.* Τὸ δὲ, *Ἐὰν ὁ Κύριος ἐπιτρέπῃ*, ἑρμηνεία ἐστὶ τοῦ εἰρημένου ἄνωθεν, *Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ*, διὰ τί εἶπε, *τυχὸν*· Ὅτι οὐκ οἶδα, φησὶν, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ· ἀλλ' οὖν τὸ ἐμὸν θέλημά ἐστιν, ἵνα προσμείνω παρ' ὑμῖν. *Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ.*] Σφόδρα ἀγαπῶντος ἦν τὸ,τε εἰπεῖν, ποῦ προσμενεῖ, καὶ τὸ μέχρι πότε· *ἕως τῆς πεντηκοστῆς* φησί· καὶ διὰ τί; *Θύρα γάρ μοι ἀνέῳκται*· τουτέστι, πολλοί εἰσιν οἱ παρεσκευασμένοι τὴν πίστιν δέξασθαι· εἴσοδος οὖν ἐστί μοι πρὸς αὐτούς. Τοῦτο δὲ καὶ παραθαῤῥύνοντός ἐστιν· ὅτι πανταχοῦ γῆς λοιπὸν ἁπλοῦται τὸ κήρυγμα. *Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής.*] Ἀκμάζει γὰρ, φησὶ, τῶν προσιέναι μελλόντων τῇ πίστει ἡ διάνοια, οὐδὲν χαῦνον ἢ δίψυχον ἔχουσα· διά τοι τοῦτο *καὶ οἱ ἀντικείμενοι πολλοί.* Ὅσῳ γὰρ ὁρᾷ ἑαυτὸν ὁ διάβολος γυμνούμενον, τοσούτῳ ταράσσεται, καὶ τοὺς ἐναντιουμένους ἐξεγείρει.

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε, ἵνα ἀφόβως γέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νήται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται,
11 ὡς καὶ ἐγώ. Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. Προ-
πέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με·
12 ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. Περὶ δὲ
Ἀπολλῶ, τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν,
ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως
οὐκ ἦν θέλημα, ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ, ὅταν
εὐκαιρήσῃ.

Οὐχ ἵνα μήτις αὐτῷ ἐπιβουλεύσῃ τῶν πλουτούντων, ἢ σοφίᾳ πεποιθότων, περὶ ὧν ἐν ἀρχαῖς ἔλεγεν ὡς παρασπώντων τοὺς μαθητὰς, διὰ τοῦτο λέγει *ἀφόβως*· ὁ μὲν γὰρ Τιμόθεος πάντα ἦν ἕτοιμος ὑπομεῖναι· ἀλλ' ἵνα μὴ οἱ ἐπίβουλοι βλαβῶσι. Καλῶς δὲ τὸ, *πρὸς ὑμᾶς*. Μὴ γάρ μοι, φησὶ, τοὺς Ἕλληνας εἴπῃς, τέως τὰ παρ' ὑμῶν ζητῶ. *Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται.*] Εἶτα ἀπὸ τοῦ ἔργου, τοῦ διδάσκειν καὶ κηρύσσειν, καὶ ἀπὸ τοῦ ἰσάζειν αὐτὸν ἑαυτῷ, ἐξαίρει τὸν ἄνδρα. *Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ.*] Ἦν γὰρ καὶ νέος, καὶ μόνος, καὶ τοσούτου δήμου φροντίδα ἐπετέτραπτο· ἅ τινα πάντα καταφρονήσεως παρεῖχεν ἀφορμάς. *Προπέμψατε αὐτὸν ἐν εἰρήνῃ.*] Μὴ μάχας αὐτῷ καὶ φιλονεικίας παράσχητε, μηδὲ παρά τινος ἐπιβουλευθῆναι συγχωρήσητε. Τὸ δὲ, *ἐκδέχομαι αὐτὸν*, φοβοῦντός ἐστιν· ἵνα, εἰδότες, ὅτι πάντα αὐτῷ ἀπαγγελεῖ, μηδὲν αὐτὸν θλίψωσιν· ἅμα δὲ καὶ ἀξιόπιστον τούτῳ ποιῶν τὸν Τιμόθεον, ὅτι ὁ Παῦλος, καίτοι ἔχων τί ποιεῖν, δι' αὐτὸν περιμένειν φησί. *Περὶ δὲ Ἀπολλῶ, τοῦ ἀδελφοῦ.*] Ὁ Ἀπολλὼς καὶ πρεσβύτερος ἦν τοῦ Τιμοθέου, καὶ λόγιος ἀνήρ (α). Ἵνα οὖν μὴ λέγωσι· Τί δή ποτε αὐτὸν οὐκ ἔπεμψε· καὶ ἵνα μὴ νομίσωσι, προτετιμῆσθαι τὸν Τιμόθεον, ἀμφότερα θεραπεύει, τῷ παρακαλέσαι μὲν αὐτὸν ἀπελθεῖν, μὴ πεῖσαι δέ· ἐπεὶ μὴ ἦν, φησὶ, θέλημα θεοῦ. *Ἐλεύσεται δέ.*] Ἵνα μὴ νομίσωσιν, ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, εἶπεν,

(α) Πραξ. ΙΗ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι ἐλεύσεται· ἅμα καὶ ὑπὲρ ἐκείνου ἀπολογούμενος, καὶ αὐτοὺς ποθοῦντας αὐτὸν ἰδεῖν παραμυθούμενος τῇ ἐλπίδι τῆς παρουσίας.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κρα-
14 ταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Παρα-
15 καλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν
16 τοῖς ἁγίοις ἔταξαν ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

Ὡς περὶ καθευδόντων, καὶ σαλευομένων, καὶ μαλακιζομένων, καὶ νωθρῶν ὁ λόγος, τό· *Γρηγορεῖτε, καὶ στήκετε, καὶ ἀνδρίζεσθε, καὶ κραταιοῦσθε. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.*] Εἴτέ τις διδάσκει, εἴτέ τις ἄρχει, εἴτέ τι ποιεῖ, ἀγάπη προηγείσθω, φησί. *Παρακαλῶ δὲ ὑμᾶς.*] Τὸ ὑπερβατόν· *Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις.* Ποίοις; Τοῖς ἀφορίσασιν ἑαυτοὺς εἰς τὸ διακονεῖν τοῖς ἁγίοις· καὶ μὴ μόνον αὐτοῖς, ἀλλὰ *καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι* εἰς τὴν χρείαν τῶν ἁγίων. *Οἴδατε τὴν οἰκίαν Στεφανᾶ.*] Καὶ ὑμεῖς ἴστε, φησί, πῶς κάμνουσι, καὶ οὐ δεῖσθε παρ' ἐμοῦ μαθεῖν. *Ἀπαρχὴν* δὲ λέγει τῆς Ἀχαΐας τὸν οἶκον τοῦ Στεφανᾶ, ἢ διὰ τὸ πρώτους αὐτοὺς πιστεῦσαι, ἢ διὰ τὸ τὰ πρῶτα αὐτοὺς ἔχειν ἐπ' εὐλαβείᾳ· ἡ γὰρ *ἀπαρχὴ*, τὸ ἐξαίρετον δηλοῖ. *Ἀπαρχὴ τῆς Ἀχαΐας.*] Ἤγουν, τῆς Ἑλλάδος· ὅθεν καὶ *Ἀχαιοί*, οἱ Ἕλληνες. *Καὶ εἰς διακονίαν τοῖς ἁγίοις.*] Εἰς τὸ ὑποδέχεσθαι τοὺς ἁγίους, καὶ διακονεῖν αὐτοῖς. Τὸ δὲ, *ἔταξαν ἑαυτούς*, οἷον, ἀφώρισαν, τοῦτον τὸν βίον εἵλοντο· οὐ παρ' ἄλλων καταστάντες ἀνάγκῃ, ἀλλ' ἑκουσίως παρ' ἑαυτῶν. *Ὑποτάσσησθε τοῖς τοιούτοις.*] Τουτέστι, συναντιλαμβάνησθε, καὶ εἰς δαπάνην χρημάτων, καὶ εἰς διακονίαν σωματικὴν, καὶ εἰς πάντα πείθησθε αὐτοῖς· τοῦτο γὰρ ἡ ὑποταγή. Ἵνα δὲ μὴ δόξῃ τῷ Στεφανᾷ χαρίζεσθαι, ἐπάγει· *Καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνά-
του καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι
18 ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ
τὸ ὑμῶν. Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

Οὗτοί εἰσιν οἱ ἀναγγείλαντες αὐτῷ τὴν παρὰ Κορινθίοις δι-χοστασίαν· καὶ οἱ τῆς Χλόης διὰ τούτων ἴσως ἐδήλωσαν (α). Ἐπεὶ οὖν εἰκὸς ἦν, τοὺς Κορινθίους ἠγριῶσθαι πρὸς αὐτούς, παρατίθεται αὐτούς, λέγων· *Ὅτι τὸ ὑμῶν ὑστέρημα ἀνεπλήρωσαν·* τουτέστιν, ἀντὶ πάντων ὑμῶν ἦλθον, καὶ δι' ὑμᾶς τοσαύτην ἀποδημίαν ἐστείλαντο πρός με. *Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα.*] Ἐδίδαξεν, ὅτι εἰς ἐκείνων ὄφελος συνέτεινε τὸ ἀναπαυθῆναι τὴν ψυχὴν τοῦ Παύλου. Ἀναπαύσαντες γὰρ τὸ ἐμὸν πνεῦμά, φησι, καὶ τὸ ὑμῶν ἀνέπαυσαν· τουτέστιν, ἐμὲ τὸν διδάσκαλον ἀναπαύσαντες, καὶ ὑμᾶς τοὺς μαθητάς μου ἀνέ-παυσαν. *Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.*] Ἐν τιμῇ αὐτοὺς ἔχετε· ὅτι δι' ὑμᾶς κεκμήκασιν.

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπά-
ζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρί-
20 σκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπά-
ζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλή-
21 λους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ
22 Παύλου. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χρι-
23 στὸν, ἤτω ἀνάθεμα· μαρὰν ἀθά. Ἡ χάρις τοῦ Κυ-
24 ρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἡ ἀγάπη μου μετὰ
πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Συνδεῖ τὰ μέλη τοῦ Χριστοῦ διὰ τοῦ ἀσπασμοῦ, ὥσπερ εἰω-θεν ἀεὶ ποιεῖν. *Ἀκύλας καὶ Πρίσκιλλα.*] Παρὰ τούτοις μένων διὰ τὸ ὁμότεχνον, τὴν σκηνοποιὸν εἰργάζετο τέχνην (β). Ὅρα δὲ αὐτῶν τὴν ἀρετήν! ὅτι τὸν οἶκον αὐτῶν ἐκκλησίαν ἐπε-ποιήκεισαν. *Ἐν φιλήματι ἁγίῳ.*] Τὸ τοῦ ἁγίου φιλήματος

(α) Α' Κορ. Α', 11. (β) Πραξ. ΙΗ', 2. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧδε μόνον πρόσκειται, διὰ τὰς πολλὰς αὐτῶν διχοστασίας· ἕκαστος γὰρ αὐτῶν ἔλεγεν· Ἐγώ εἰμι Παύλου· ἐγὼ δὲ, Ἀπολλώ· ἐγὼ δὲ, Κηφᾶ (α). *Ἅγιον* δὲ λέγει, τὸ ἄδολον, τὸ ἀνυπόκριτον, καὶ ἐξ ἀγάπης. *Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.*] Ἰδιόχειρον ἔγραψε τὸν ἀσπασμὸν ἐν τῇ ἐπιστολῇ, ἵνα δείξῃ, ὅτι περὶ πολλοῦ ἐποιήσατο αὐτήν. *Εἴ τις οὐ φιλεῖ τὸν Κύριον.*] Δι' ἑνὸς ῥήματος πάντας ἐφόβησε, τοὺς ἀπὸ ἀνθρώπων ὀνομαζομένους, τοὺς πόρνους, τοὺς σκανδαλίζοντας τοὺς ἀδελφοὺς τῇ τῶν εἰδωλοθύτων βρώσει, τοὺς τῇ ἀναστάσει ἀπιστοῦντας, καὶ πάντας ἁπλῶς τοὺς παρ' αὐτοῖς ἔξω τῆς αὐτοῦ διδασκαλίας διάγοντας· οἱ γὰρ τὰ τοιαῦτα πράσσοντες, οὐ φιλοῦσι τὸν Κύριον. *Ἤτω ἀνάθεμα.*] Ἔστω ἀλλότριος τοῦ κοινοῦ σώματος τῆς ἐκκλησίας. *Μαρὰν ἀθά.*] Τουτέστιν· Ὁ Κύριος ἦλθε (1). Τοῦτο δέφησι, τὴν οἰκονομίαν βεβαιῶν καὶ τὴν ἀνάςασιν, καὶ ἐντρέπων αὐτοὺς, ὅτι ὁ δεσπότης ὑπὲρ ἡμῶν ἀπέθανεν· ὑμεῖς δὲ παροργίζετε αὐτὸν, πράττοντες ἄτοπα. Τῇ Ἑβραϊκῇ δὲ κέχρηται λέξει, δεικνὺς, ὅτι οὐ μόνον οὐκ ἀποστρέφεται τὴν ἰδιωτείαν, ἀλλὰ καὶ σεμνύνεται· τὸ γὰρ Ἑβραϊστὶ λαλεῖν, ἰδιωτεία αὐτοῖς ἐδόκει οὖσι σοφοῖς. Τοῦτο δὲ ποιεῖ, καθαιρῶν τὸν τῦφον τῶν σοφῶν.—ΑΛΛΩΣ. *Μαμὰν ἀθά.* Τοῦτο οὐ τῆς Ἑβραίων τινὲς ὑπέλαβον, ἀλλὰ τῆς Σύρων εἶναι φωνῆς· ἑρμηνεύεται δέ· *Ὁ Κύριος ἦλθε.* Τέθεικε δὲ τὴν λέξιν ὁ ἀπόστολος, τῶν ἐπὶ εὐγλωττίᾳ σεμνυνομένων Κορινθίων τὴν ὀφρὺν καταστέλλων, καὶ διδάσκων, ὡς οὐ παιδεύσεως, ἀλλὰ πίστεως αὐτοῖς χρεία.—*Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.*] Τοῦτο διδασκάλου, τὸ μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ ἐπεύχεσθαι, καὶ διπλῇ στηρίζειν, τῇ τε διδασκαλίᾳ, καὶ τῇ τῆς ἄνωθεν βοηθείας διὰ τῶν εὐχῶν ἐπιχορηγίᾳ. Εἶτα, ἐπειδὴ αὐτῶν πολλὰ καθήψατο, νῦν θεραπεύει αὐτοὺς, καὶ ἐπεύχεται·

(α) Α' Κορ. Α', 12. (1) Ὁ Κύριος ἡμῶν ἥκει, ἢ ἥξει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴη, λέγων, *ἡ ἀγάπη μου μεθ' ὑμῶν*. Ἔσται δὲ τοῦτο πῶς; Ἐὰν ὀρθῶς βαδίζητε. Εἶτα, ἵνα μὴ νομίσωσι κολακείας εἶναι τὸ ῥῆμα, ἐπάγει· *Ἐν Χριστῷ Ἰησοῦ*. Οὐδέν, φησιν, ἀνθρώπινον ἢ σαρκικὸν παρ' ἐμοί· ἐν γὰρ Χριστῷ ἔσται ἡ ἀγάπη μου μεθ' ὑμῶν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ καὶ Τιμοθέου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Μακεδονίας. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Δεξάμενοι οἱ Κορίνθιοι τὴν προτέραν ἐπιστολὴν, κατενύγησαν ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ λαβόντος τὴν μητρυιὰν, καὶ ἐλυπήθησαν, ὡς παριδόντες τὸ τοιοῦτον ἁμάρτημα. Εἶτα ὑφηρπάζοντο παρά τινων τῶν καὶ τὰς προφάσεις τῶν σχισμάτων ποιούντων, ὥστε παρακαθέζεσθαι τῷ γράμματι τοῦ νόμου, καὶ διάφορον (1) ἡγεῖσθαι τὴν παρὰ τοῦ Χριστοῦ χάριν, καὶ μᾶλλον προσέχειν τοῖς ἐν προσώπῳ καυχωμένοις. Ἦσαν δὲ καὶ περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους φροντίζοντες καλῶς. Πρὸς ταῦτα οὖν ἀντιγράφει ὁ ἀπόστολος. Καὶ πρῶτον μὲν ἀποδέχεται τοὺς ἐκβαλόντας τὸν παρανομήσαντα· ἔπειτα ἀξιώσασιν αὐτοῖς καθικετεύει, καὶ μετανοήσαντα ἐκεῖνον κελεύει δεχθῆναι. Ἐν αὐτῇ δὲ διδάσκει περὶ τοῦ νόμου, διαιρῶν τὸ γράμμα, καὶ δείκνυσιν, ὅτι οὐ δεῖ λαμβάνειν τὸ γράμμα μόνον τοῦ νόμου· ἀλλὰ ἐν αὐτῷ τῷ γράμματι τὴν διάνοιαν ἐρευνᾶν· (οὐ γὰρ μόνον ῥῆμά ἐστιν ὁ νόμος, ἀλλ' ἐν τοῖς ῥητοῖς ἐστὶ καὶ ὁ νοῦς τοῦ πνεύματος·) ἔπειτα, ὅτι τοῦ Χριστοῦ ἐλθόντος, καινὴ κτίσις γέγονε, καὶ οὐ δεῖ κατὰ τὸ παλαιὸν ζῆν, ἀλλ', ὡς ἐν καινῇ κτίσει, ἐν πᾶσιν ἀνανεοῦσθαι,

(1) ἀδιάφορον, παρ' ἄλλοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀργὴν εἶναι λοιπὸν τὴν περιτομήν. Ἀποδέχεται δὲ αὐτοὺς καὶ περὶ τῆς διακονίας, καὶ προτρέπεται, μᾶλλον αὐτὴν πλεονάζειν. Αἰτιώμενος δὲ τοὺς ἐν προσώπῳ καυχωμένους, καταλέγει πάντα, ἅπερ πέπονθε διὰ τὸν Κύριον, καὶ τὰς ὀπτασίας διηγεῖται, ἅς περ ἑώρακεν, εἴς τε τὸν παράδεισον καὶ εἰς τὸν τρίτον οὐρανὸν ἁρπαγείς. Εἶτα παραγγείλας μὴ ἁμαρτάνειν, ἀλλὰ μετανοεῖν τοὺς ἁμαρτάνοντας, ἐν εὐχαριστίᾳ τελειοῖ τὴν ἐπιστολήν.

Ὁ πᾶς τοίνυν λόγος ἐστὶν ἐν τῇ ἐπιστολῇ περί τε ἑαυτοῦ, καὶ περὶ Κορινθίων, καὶ τῶν ψευδαποστόλων· καὶ ἐκ ταύτης τῆς ὑποθέσεως πρόεισιν εἴς τε τὰ τῆς χάριτος θεοῦ, καὶ περὶ ἀγαθῆς πολιτείας, κατὰ τὸ εὐσυνείδητον καὶ τὸ ἐναγώνιον καὶ τὸ ἀφιλοχρήματον, καὶ περὶ τῆς μεταδοτικῆς ἀρετῆς, καὶ περὶ τῆς τῶν ψευδαποστόλων ἀλαζονείας καὶ πονηρίας.

ΑΛΛΩΣ.

Τι δήποτε τῇ πρώτῃ δευτέραν προστίθησιν ἐπιστολήν, ζητεῖσθαι ἄξιον. Ὅτι ἐν τῇ πρώτῃ, ἀπελθεῖν πρὸς αὐτοὺς ἐπαγγειλάμενος, καὶ μὴ ἀπελθών, τοῦ πνεύματος εἰς ἕτερα αὐτὸν ἀπασχολοῦντος, καὶ διὰ τὸ πειρασμοῖς ἐμπεσεῖν, διὰ τῆς νῦν δευτέρας ὑπὲρ τοῦ μὴ ἀπελθεῖν ἀπολογεῖται, καὶ ἵνα καὶ ἀπελθεῖν διὰ τῆς ἐπιστολῆς δόξῃ. Ἔπειτα καὶ ἦσαν βελτίους ἐκ τῆς πρώτης ἐπιστολῆς γενόμενοι [οἱ Κορίνθιοι]· εὔλογον οὖν ἦν δευτέραν αὐτοὺς λαβεῖν ἀξιωθῆναι, ἵνα πλεῖον ἐπιδώσωσι πρὸς ἀρετήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ
ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐχαριστία περὶ θεοῦ βοηθείας, ἐν ᾗ πεποιθέναι φησίν.

ΚΕΦ. 1, 1 ΠΑΥΛΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος, ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς 2 ἁγίοις πᾶσι, τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ, πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐν τῇ πρώτῃ ἐπιστολῇ, πέμψας ἐκεῖ τὸν Τιμόθεον, καὶ νῦν ἀπολαβὼν αὐτὸν, εἰκότως ἑαυτῷ συνάπτει. [Καὶ γὰρ καὶ πεῖραν τῆς οἰκείας ἀρετῆς ἔδωκε Τιμόθεος Κορινθίοις, καὶ ὡς ἤδη γνώριμον αὐτοῖς γεγονότα, καὶ διορθώσαντα πολλὰ τῶν ἐν αὐτοῖς, προσλαμβάνεται αὐτὸν ἐν τῇ ἐπιστολῇ (1).] Ὅρα δὲ, ποτὲ μὲν *τέκνον* αὐτὸν καλεῖ· Ὡς πατρὶ γάρ, φησι, τέκνον ἐδούλευσέ μοι εἰς τὸ εὐαγγέλιον (α)· ποτὲ δὲ *συνεργόν*· Τὸ γὰρ ἔργον, φησι, Κυρίου ἐργάζεται, ὡς κἀγὼ (β)· νῦν δὲ *ἀδελφὸν*, διὰ πάντων ἀξιόπιστον αὐτὸν ποιῶν.

(1) Ἐκ τοῦ Θεοφυλάκτου (α) Φιλιπ. Β', 22. (β) Α' Κορ. Ις', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῇ ἐκκλησίᾳ τοῦ θεοῦ.] Πάλιν αὐτοὺς συνδέει, *ἐκκλησίαν* εἰπών· οἱ γὰρ διεσπασμένοι οὐκ εἰσὶν ἐκκλησία. *Σὺν τοῖς ἁγίοις πᾶσιν.*] *Ἁγίους* αὐτοὺς καλεῖ, ἐμφαίνων, ὅτι εἴ τις γεώδης, εἴτις ἀκάθαρτος, οὐκ ἔστιν ἄξιος ταύτης τῆς προσηγορίας. Δοκοῦσι δὲ οὗτοι κοινῇ σαλεύεσθαι· διὰ τοῦτο κοινὴν ποιεῖται καὶ τὴν θεραπείαν. Τοῦτο δὲ καὶ πρὸς Γαλάτας καὶ πρὸς Ἑβραίους γράφων ποιεῖ. *Χάρις ὑμῖν καὶ εἰρήνη.*] Τὴν συνήθη προσηγορίαν καὶ τούτοις ἐπεύχεται. Εἴρηται δὲ ἐν ἄλλοις περὶ τούτων.

3 Εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς
4 πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ
τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν
τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς
παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ·

Εὐλογητὸς ὁ θεὸς, καὶ ἑξῆς.] Ἐπαγγειλάμενος μὲν ἦν ὁ Παῦλος ἐν τῇ πρώτῃ ἐπιστολῇ, ἀπιέναι πρὸς αὐτούς· ἀλλ' ἐκωλύθη, πειρασμῶν μεγάλων αὐτὸν καταλαβόντων. Ἄρχεται οὖν εὐφυῶς καταβάλλειν ἀπολογίας σπέρματα. Εὐχαριστῶ γάρ, φησι, τῷ θεῷ, ὅτι παρεκάλεσεν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν. Στίξον δὲ εἰς τὸ, *θεὸς*· εἶτα ἄρξαι· *καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.* Ἡμῶν μὲν γὰρ θεὸς, τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ πατήρ. Ταύτην δὲ τὴν διαίρεσιν καὶ ὁ δεσπότης ἡμᾶς ἐδίδαξεν· ἐν γὰρ τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· « *Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς* (α)· » σαφῶς διδάσκων, ὡς αὐτοῦ μέν ἐστι πατὴρ, τῆς δὲ κτίσεως ποιητὴς καὶ δεσπότης (1). *Ὁ πατὴρ τῶν οἰκτιρμῶν.*] Ἔθος τοῖς ἁγίοις, ἐκ τῶν εἰς αὐτοὺς εὐεργεσιῶν ὀνομάζειν τὸν θεόν· ἐπὶ μὲν νίκης πολέμων, « *Ἀγαπήσω*

(α) Ματθ. ΙΑ', 25.

(1) « Εἰδὲ καὶ συναπτῶς νοήσεις τὸ, ὁ θεὸς καὶ πατὴρ τοῦ Κυρίου, οὐδὲν καινόν· καὶ γὰρ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ, κατὰ μὲν τὸ ἀνθρώπινον, θεός· κατὰ δὲ τὴν θεότητα, πατήρ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε, *Κύριε, ἡ ἰσχύς μου*» φησί· καί· «*Κύριος ὑπερασπιστής μου* (α).» ὅταν δὲ ζόφου καὶ σκοτώσεως νοῦ λυτρωθῶσι, «*Κύριος φωτισμός μου* (β).» νῦν δὲ *πατέρα οἰκτιρμῶν*, καὶ *θεὸν παρακλήσεως* αὐτὸν ὀνομάζει ὁ Παῦλος. Ὅρα δὲ τὸ ταπεινὸν τοῦ ἁγίου! Λυτρωθεὶς γὰρ τῶν διὰ τὸ κήρυγμα πειρασμῶν, οὐ λέγει, ὅτι κατ' ἀξίαν ἐλυτρώθην, ἀλλὰ κατ' οἰκτιρμοὺς καὶ ἔλεον θεοῦ. *Ὁ παρακαλῶν ἡμᾶς.*] Οὐκ εἶπεν· Ὁ μὴ ἐῶν ἡμᾶς θλιβῆναι· (οἶδε γὰρ τὰς θλίψεις συμφερούσας·) ἀλλ', *Ὁ παρακαλῶν ἡμᾶς*. Εἰπὼν δὲ, ὁ *παρακαλῶν ἐπὶ πάσῃ θλίψει*, δῆλοι καὶ συνεχεῖς θλίψεις, καὶ συνεχεῖς παρακλήσεις. *Εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν.*] Ὅρα ταπεινοφροσύνης ὑπερβολήν! Οὐ παρεκλήθην, φησί, διὰ τὸ εἶναί με ἄξιον παρακλήσεως· ἀλλ' ἵνα, ἐκ τοῦ ὑποδείγματος τῆς εἰς ἐμὲ παρακλήσεως, ἄλλους, ὄντας ἐν πειρασμοῖς, δυνηθῶ παρακαλεῖν. Ὥσε διὰ τὴν τῶν ἄλλων ὠφέλειαν, οὐ δι' ἐμὲ ἡ παράκλησις. Ἤ, ὅτι ἡ εἰς ἐμὲ παράκλησις, καὶ ἄλλους συμπαρακαλεῖ, τοὺς οἷον ἀλγοῦντας ἐπὶ ταῖς ἐμαῖς θλίψεσιν.

5 Ὅτι, καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ
εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ
6 παράκλησις ἡμῶν. Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς
ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμέ-
νης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ
ἡμεῖς πάσχομεν· (καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ
ὑμῶν·) εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρα-
7 κλήσεως καὶ σωτηρίας· εἰδότες, ὅτι, ὥσπερ κοινω-
νοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

Ἵνα μὴ δόξωσί τινες λέγειν, ὅτι, μὴ φροντιζομένων τῶν ἀποστόλων παρὰ θεοῦ, γίνονται αὐτοῖς συνεχεῖς θλίψεις, ὅρα, πῶς ἐξαίρει τὸ πρᾶγμα· τοῦ Χριστοῦ, λέγει, εἰσὶν αἱ θλίψεις καὶ τὰ παθήματα, ἃ ἡμεῖς ὑπομένομεν· αὗται δῆτα καὶ περισσεύουσιν εἰς ἡμᾶς· ὡσεὶ ἔλεγεν· Οὐχ ὅσα πέπονθεν ὁ Χρι-

(α) Ψαλμ. ΙΖʹ, 1. (β) Ψαλμ. Κϛʹ, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στὸς, πάσχομεν· ἀλλὰ καὶ πλείω. Τοῦτο καὶ ἀλλαχοῦ φησι· «Καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ (α).» Τοῦτο καὶ αὐτὸ καθ' ἑαυτὸ ἄνευ τῆς ἀπὸ θεοῦ παρακλήσεως ἀρκεῖ εἰς παραμυθίαν, τὸ εἰδέναι, ὅτι τοῦ Χριστοῦ ὑπάρχει τὰ παθήματα, ἃ αὐτοὶ πάσχουσι, καὶ εἰ μὴ προσετίθετο, ὅτι καὶ ἡ παράκλησις τοῦ Χριστοῦ περισσεύουσα ἦν εἰς αὐτοὺς, εὐθυμίας αὐτοῖς ἀφορμὰς ἐμποιοῦσα· ὡσεὶ ἔλεγε· Περισσαὶ μὲν αἱ θλίψεις, ἀλλὰ πολλῷ πλεῖον ἡ παράκλησις. *Οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.*] Περισσεύουσι μέν, φησιν, ἐν ἡμῖν οἱ πειρασμοὶ καὶ αἱ θλίψεις· ἀλλὰ καὶ τούτων ἔτι μᾶλλον περισσεύουσιν αἱ παρακλήσεις. Πῶς; Ὅτι οὐ μόνον διασκεδάζουσι τὰς θλίψεις, ἀλλὰ καὶ χαίρειν παρασκευάζουσι, καὶ στεφάνους καὶ βραβεῖα προξενοῦσιν. Οὐ κατὰ ἀναλογίαν, φησὶ, τῶν θλίψεων ἡ παράκλησις, ἀλλὰ πολλῷ μείζων· περισσεύει γάρ, φησιν, ἡ παράκλησις. *Εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας.*] Θλιβόμεθα δηλαδή. Πῶς; Ὅτι ἔξῆν ἡμῖν, τὸ κηρύσσειν ἀποθεμένοις, ἐν ἀδείᾳ καὶ ἀσφαλείᾳ εἶναι· ἀλλ' οὐ τοῦτο ποιοῦμεν· ἀλλὰ μᾶλλον αἱρούμεθα θλίβεσθαι καὶ κινδυνεύειν, ἵνα ὑμᾶς διὰ τοῦ κηρύγματος παρακαλέσωμεν πρὸς τὴν πίστιν, καὶ σώσωμεν. Οὐκοῦν *ὑπὲρ τῆς ὑμῶν σωτηρίας* τὰς θλίψεις ὑπομένομεν, *τῆς ἐνεργουμένης*, ἐν ὑμῖν δηλονότι, τουτέστιν, ἐκ τῆς τοῦ ἁγίου πνεύματος δυνάμεως, τοῦ τὰ σημεῖα ἐνεργοῦντος. *Ἐν ὑπομονῇ.*] Ἐνεργεῖται ἐν ὑμῖν ἡ σωτηρία, φησὶν, ἐν ὑπομονῇ οὖσι τῶν ἴσων ἡμῖν παθημάτων· τουτέστιν, οὐ μόνον διὰ τῆς ἡμετέρας ὑπομονῆς, ἀλλὰ καὶ διὰ τῆς ὑμετέρας· ἤτοι, οὐκ ἐμοῦ μόνου ἔργον ἡ ὑμετέρα σωτηρία, ἀλλὰ καὶ ὑμῶν αὐτῶν. Ὥσπερ γὰρ ἡμεῖς κηρύσσοντες πειραζόμεθα, οὕτω καὶ ὑμεῖς μαθητεύοντες, τὰ αὐτὰ παθήματα ὑπομένετε, ἃ καὶ ἐγώ. Πολλὴν δὲ ἀρετὴν αὐτοῖς προσμαρτυρεῖ, ὅτι μετὰ πειρασμῶν ἐδέχοντο τὸ κήρυγ-

(α) Κολοσ. Α', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μα. *Καὶ ἡ ἐλπὶς ἡμῶν.*] Ποῖα ἐλπίς; Ὅτι ἐνεργουμένη ἔσαι ἐν ὑμῖν ἡ σωτηρία, κἂν τὰ αὐτὰ ἡμῖν καὶ ὑμῖν συνενεχθείη παθήματα. Πῶς; Παρακαλούμενοι, ὑπὲρ τῆς ὑμῶν σωτηρίας παρακαλούμεθα, ἀπόδειξιν ἐντεῦθεν καὶ γνῶσιν ἀναμφισβήτητον λαμβάνοντες, ὅτι καὶ ὑμεῖς παρακληθήσεσθε· ὥστε οὐδὲν ἧττον ἐν οἷς αὐτοὶ ῥυόμεθα τῶν πειρασμῶν παρακαλούμεθα, ἀλλ' ὁμοίως καὶ ἐν οἷς σαφῶς ἴσμεν καὶ πεπείσμεθα, ὅτι παρακληθήσεσθε καὶ ὑμεῖς. Πόθεν δὲ τοῦτο δῆλον; Αὐτόθεν, φησίν· ὥσπερ γὰρ ἐσὲ κοινωνοὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων, οὕτως ἔσεσθε καὶ τῆς παρακλήσεως. *Βεβαία ὑπὲρ ὑμῶν.*] Τουτέστιν, ὅσα ἂν πάσχητε, θαῤῥοῦμεν, ὅτι οὐ περιτραπήσεσθε, οὔτε ἀπαγορεύσετε, οὔτε ὑπὲρ ὧν ὑμεῖς πάσχετε, οὔτε ὑπὲρ ὧν ἡμᾶς πάσχοντας ὁρᾶτε. *Ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας.*] Ἄνω εἰπών, ὅτι ὑπὲρ τῆς ὑμετέρας σωτηρίας θλιβόμεθα, ἵνα μὴ δόξῃ ἐπαχθής τις εἶναι, νῦν λέγει, ὅτι καὶ ὑπὲρ τῆς ὑμῶν σωτηρίας παρακαλούμεθα· ἵνα μὴ, ἀπαγορεύσαντες, ἀμελήσωμεν τῆς σωτηρίας ὑμῶν· ἢ, ἵνα παρακληθῆτε, ὁρῶντες ἡμᾶς ὑπὸ θεοῦ παρακαλουμένους. Ὥσπερ γάρ, φησι, κοινωνοί ἐστε τῶν παθημάτων, οὕτως ἔδει, κατὰ τὸ ἀκόλουθον, κοινωνοὺς εἶναι καὶ τῆς παρακλήσεως. *Εἰδότες, ὅτι, ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων.*] Τοῦτο γὰρ εἰδότες ἐσμὲν, ὅτι, ὥσπερ ἐστὲ τῶν πειρασμῶν κοινωνοὶ, οὕτως ὑμᾶς ἐπάναγκες εἶναι δεῖ καὶ τῆς παρακλήσεως κοινωνούς.—Ὁρῶντες γὰρ ἡμᾶς παρακαλουμένους, εὐέλπιδες ἔσεσθε καὶ ὑμεῖς, ὅτι, ἐπειδὰν πειρασμοῖς περιπέσητε, παρακληθήσεσθε καὶ ὑμεῖς, ὥσπερ καὶ ἡμεῖς. Ὥσπερ γὰρ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως κοινωνήσετε. *Παράκλησις* δὲ εἴη ἂν, ἢ τὸ περιαιρεθῆναι τοὺς πειρασμοὺς, καὶ ἀπροσδοκήτως ἐκ τῶν περιεστηκότων δυσχερῶν ἀπαλλαγῆναι· ἢ καὶ τὸ ἐν αὐτοῖς μέσοις ὄντας τοῖς δεινοῖς, εὐψύχως καὶ γενναίως φέρειν τὰ συμπίπτοντα, τῇ τῶν μελλόντων ἐλπίδι νευρουμένους, ἃ οὐκ ἂν γένοιτο, μὴ Χριστοῦ, τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, χεῖρα παρέχοντος (Φωτίου).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς
θλίψεως ἡμῶν, τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ,
ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε
9 ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλὰ αὐτοὶ ἐν
ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα
μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ,
10 τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θα-
νάτου ἐρρύσατο ἡμᾶς, καὶ ῥύεται· εἰς ὃν ἠλπίκα-
11 μεν, ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ
ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προ-
σώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαρι-
στηθῇ ὑπὲρ ἡμῶν (1).

Εἶτα, ἐπειδὴ ἀπροσδιορίστως θλίψεως ἐμέμνητο, νῦν λέγει, ποίας θλίψεως. Θέλομεν, φησὶν, ἵνα μηδὲν ἀγνοεῖτε τῶν κατ' ἐμὲ, ὅπερ ἀγάπης ἐστίν. Ἢ, ἵνα μὴ, ἀγνοοῦντες τὰ συμβάντα ἡμῖν, μέμψησθε, διὰ τί κατὰ τὰς ὑποσχέσεις ἡμῶν οὐκ ἤλθομεν πρὸς ὑμᾶς. *Ὑπὲρ τῆς θλίψεως ἡμῶν.*] Ἐν τῇ Ἀσίᾳ φησὶν αὐτῷ γενέσθαι τὴν θλῖψιν, περὶ ἧς καὶ ἐν τῇ προτέρᾳ ἔλεγεν ἐπι-στολῇ, ὅτι *Θύρα μοι ἀνέῳκται μεγάλη, καὶ οἱ ἀντικείμενοι πολλοί (α). Ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν.*] Δοκεῖ δὲ τὸ αὐτὸ λέγειν, *καθ' ὑπερβολὴν*, καὶ, *ὑπὲρ δύναμιν*· ἀλλ οὐκ ἔστιν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· *Καθ' ὑπερβολὴν*, τουτέστι, Μέγας ἦν ὁ πειρασμός. Εἶτα, ἐπειδὴ ἔνι καὶ μέγαν ὄντα τὸν πειρασμὸν φέρεσθαι γενναίως παρά τινας· Καὶ οὐ μόνον μέγας, φησὶ, ἀλλὰ καὶ τὴν ἐμὴν ὑπερβαίνων δύναμιν. *Ὥστε ἐξαπο-ρηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν.*] Τουτέστι, μηδὲ προσδοκῆσαι ἡμᾶς ἔτι ζῆν. Καὶ οὕτως ἦν, φησὶ, μέγας ὁ πειρασμὸς, ὡς καὶ αὐτοῦ τοῦ ζῆν ἐξαπορηθῆναι ἡμᾶς· τὸν δὲ τοιοῦτον πειρασμὸν

(1) Παρ' ἄλλοις ἀναγινώσκεται, ὑπὲρ ὑμῶν, ὡς καὶ παρ' αὐτῷ τῷ Οἰκουμενίῳ ἐν τῇ ἑρμηνείᾳ. Παρὰ δὲ τῷ Χρυσοστόμῳ Τομ. I. Σελ. 393. B. ἀναγινώσκεται, ὑπὲρ ὑμῶν· καὶ Σελ. 432. A, D. ὑπὲρ ἡμῶν.

(α) Α' Κορ. ιϛ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ Δαυὶδ *πύλας ᾅδου* καλεῖ, καὶ *ὠδῖνας*, καὶ *σκιὰν θανάτου* (α). Ἀπεγνώσθημεν, φησὶν, οὐ προσεδοκήσαμεν ζήσεσθαι· ἀλλ' ἐν ἑαυτοῖς ἐλογισάμεθα, ὅτι ἀποθανούμεθα πάντως· τοῦτο γάρ ἐστι τὸ, *αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν*· τοῦτο ἡμῖν τὰ πράγματα ἀπεκρίνατο, ὅτι ἀπολλύμεθα πάντως. Καὶ τίνος ἕνεκεν συνεχώρησε μέχρι τοσούτων κινδύνων ἐλθεῖν ἡμᾶς ὁ θεός; *Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς.*] Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἵνα μὴ μέγα φρονῶμεν, ἵνα μὴ ἐπαιρώμεθα τοῖς κατορθώμασιν· ὃ καὶ προϊὼν σαφέστερον λέγει· *Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σατᾶν* (β)· τοὺς θλίβοντας αὐτὸν λέγων καὶ ἐπηρεάζοντας, τούτων τῶν ἀνθρώπων ἕκαστον, σατᾶν καλῶν. Συνεχωρήθην, φησὶ, πειρασμοὺς ὑπομένειν, ἵνα ἡ ἀπόνοιά μου καταστέλληται, καὶ μετριάζειν μάθω. Διὸ καὶ παρακαλέσας τὸν θεὸν, οὐκ ἔτυχον τῆς αἰτήσεως, ἀλλ' ἔμεινα δικαίως φάρμακον ταπεινοφροσύνης τὴν θλῖψιν ἔχων.—ΑΔΑΩΣ. *Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν.*] *Τὸ ἀπόκριμα*, τουτέστι, τὴν ψῆφον, τὴν κρίσιν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἄχρις ἡμῶν, καὶ τῆς ἡμῶν ὑπονοίας, ἕστη ἡ τοῦ θανάτου προσδοκία· ὁ γὰρ θεὸς οὐκ εἴασεν αὐτὴν εἰς ἔργον ἐλθεῖν, διδάσκων ἡμᾶς, μὴ πεποιθέναι ἐπὶ ἰδίᾳ δυνάμει ἢ βουλῇ, ἀλλ' ἐπ' αὐτῷ μόνῳ· ὅτι καὶ τὰ παρ' ἡμῖν ἀνέλπιστα καὶ ἀδύνατα, αὐτῷ ῥᾴδια καὶ δυνατά. Τοῦτο δέ φησι τὸν θεὸν πεποιηκέναι, οὐχ ὡς αὐτὸς ὁ Παῦλος δεόμενος μαθεῖν· (τίς γὰρ αὐτοῦ μᾶλλον ᾔδει τὸ, ἐπὶ μόνῳ θεῷ ἐλπίζειν;) ἀλλ' ἵνα δι' αὐτοῦ οἱ ἄλλοι τοῦτο μάθωσιν. Ἢ οὕτως· Ἑαυτῶν, φησὶν, ἀπέγνωμεν παντελῶς, ἵνα τὴν ἐλπίδα ἐπὶ μόνῳ θεῷ σχῶμεν· ὁ δὲ ἑαυτοῦ προαπογινώσκων, πῶς ἂν οἰκείᾳ βουλῇ ἢ δυνάμει ἢ ἀπολογίᾳ

(α) Ψαλμ. ΙΖ', 5, 6. ΚΒ', 4. ΜΓ', 20. ΜΖ', 7. Ρς', 10. 18.
(β) Β' Κορ. ΙΒ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σώζεσθαι ἐλπίσοι; Ὥσε ἀκόλουθον, ὅ,τι τις ἔχει, τοῦτο τὸν θεὸν δεδωκέναι.—ΑΛΛΩΣ. *Τὸ ἀπόκριμα*, τὴν ψῆφον, τὴν προσδοκίαν, τὴν κρίσιν. Τοιαύτην γὰρ ἠφίει τὰ πράγματα φωνὴν, τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα, ὅτι ἀποθανούμεθα πάντως. Οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ἡμετέρας. Ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο· ἡ δὲ τοῦ θεοῦ δύναμις, οὐκ ἀφῆκε τὴν ἀπόφασιν εἰς ἔργον ἐξελθεῖν, ἀλλ' ἐν τῇ διανοίᾳ μόνῃ τῇ ἡμετέρᾳ καὶ ἐν τῇ προσδοκίᾳ τοῦτο συμβῆναι συνεχώρησε· διὸ φησίν· *Ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν* (Χρυσοστόμου.) — Ὥσπερ λέγομεν, Ἀπεκρίθη ἡ νόσος εἰς ὑγείαν, ἢ, ἀπεκρίθη εἰς θάνατον, τουτέστιν, ἐξέβη, ἐτελέσθη, ἀπετελεύτησεν· οὕτω καὶ νῦν, *ἀπόκριμα τοῦ θανάτου*, τὸ τέλος αὐτοῦ χρὴ νοεῖν καὶ τὴν ἔκβασιν. Ἐξηπορήθημεν γάρ, φησι, τοῦ ζῆν, καὶ μετὰ τῶν νεκρῶν ἐλογίσθημεν, οὐχ ὑφ' ἑτέρων, ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἔσχατον καὶ τὸ τέλος τοῦ θανάτου κατιδόντες καὶ λογισάμενοι. Ὁ δὲ οὐδὲ, *λογισάμενοι*, φησὶν, ἀλλ', *ἐσχήκαμεν*, τὸ ἀναμφίβολον τοῦ θανάτου καὶ παρεστηκὸς ἐνδεικνύμενος. Οὕτως ἦν ἡ θλῖψις καθ' ὑπερβολὴν καὶ ὑπὲρ δύναμιν, ὥστε ὁ Παῦλος ἤδη τεθνηκὼς ἦν, ὅσον τῇ δυνάμει αὐτοῦ. Γέγονε δὲ τοῦτο, φησὶ, καὶ παρ' ἐλπίδας ἐζήσαμεν, ἵνα ἐν μηδενὶ ὦμεν πεθαῤῥηκότες ἑαυτοῖς, ἀλλ' *ἐπὶ τῷ θεῷ, τῷ ἐγείροντι τοὺς νεκροὺς*, ὃς καὶ ἡμᾶς νεκρωθέντας νῦν ἤγειρε· καὶ γὰρ *τὸ ἀπόκριμα τοῦ θανάτου ἐν ἑαυτοῖς ἐσχήκαμεν*, καὶ τοῦτο οὐχὶ ἄλλων περὶ ἡμῶν ὑπολογισαμένων, ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς· καὶ οὐκ ἐλογισάμεθα, ἀλλ', *ἐσχήκαμεν*, ὅπερ ἀδίστακτος καὶ βεβαία κρίσις. Ὥστε δῆλον, εἰ μὴ ὁ θεὸς ἤγειρέ, φησι, τεθνεῶτες ἂν εἴημεν. Εἰ δὲ ταῦτα Παῦλος, ὁ ἐν ταῖς θλίψεσι πλατυνόμενος, ὁ καθάπερ στεφάνοις καὶ ἀναῤῥήσεσι ταῖς θλίψεσι σεμνυνόμενος, εἰ ταῦτα ἐκεῖνος λέγει, καὶ τὸ πᾶν τῆς σωτηρίας εἰς τὸν θεὸν ἀνατίθησιν, ἡμεῖς τί δρᾶν ὀφείλομεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕτερον; ἢ πῶς ἑαυτοῖς θαῤῥεῖν ὑπαχθέντες, οὐκ ἐγκαταλειφθησόμεθα δικαίως ὑπὸ τοῦ σώζοντος καὶ ὑπερασπίζοντος θεοῦς —*Τῷ ἐγείροντι τοὺς νεκρούς.*] Τοῦτο λέγων, ἅμα μὲν ἐμφαίνει τὸ τοῦ κινδύνου μέγεθος, μονονουχὶ λέγων, ὅτι νεκροὺς γενομένους ἀνέστησεν· ἅμα δὲ καὶ τὸν τῆς ἀναστάσεως αὐτοὺς ὑπομιμνήσκει λόγον, ὃν πολὺν ἐποιήσατο ἐν τῇ πρώτῃ ἐπιστολῇ.— *Ὃς ἐκ τηλικούτου θανάτου.*] Οὐκ εἶπε, κινδύνου, ἀλλὰ, *θανάτου*, ὅπερ καὶ τὸ ὑπερέχον τῶν κινδύνων δηλοῖ, καὶ τὴν ἀνάστασιν πάλιν παρατίθεται, ὡς εἰ ἔλεγε· Τί ἀπιστοῦσι τινὲς τῇ ἀναστάσει; ἤδη δίδωσι δείγματα ταύτης ὁ θεός· ἡμᾶς γὰρ τῷ ὅλῳ μέρει νεκρωθέντας ἤγειρεν. *Ὅτι καὶ ἔτι ῥύσεται.*] Τοῦτο δείκνυσι τὸν αὐτοῦ βίον, ἀεὶ ὄντα ἐν προσδοκίᾳ θλίψεων· τὸ γὰρ, *ῥύσεται*, εἰδότος ἦν ἀεὶ ἔξειν πειρασμούς. *Συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει.*] Ὅρα ταπεινοφροσύνην! Παῦλος τῆς Κορινθίων εὐχῆς τὴν συνεργίαν αἰτεῖ· τοῦτο δὲ καὶ διδάσκοντός ἐστι τῆς εὐχῆς τὸ ἀναγκαῖον. *Ἵνα ἐκ πολλῶν προσώπων, καὶ ἐξῆς.*] Ἐῤῥύσατό, φησι, καὶ ῥύσεται ἡμᾶς ὁ θεὸς, καὶ ὑμῶν εἰς τὴν εὐχὴν συνεργούντων· ἵνα καινὴν τὴν χάριν ἐμοί τε καὶ ὑμῖν παράσχῃ· ἵνα ἐν πολλοῖς προσώποις, τουτέστι, διὰ πολλῶν προσώπων, τῶν ὑμετέρων δηλονότι, εὐχαριστηθῇ ὁ θεὸς ὑπὲρ τῆς εἰς ἐμὲ χάριτος.—ΚΑΙ ΑΔΔΩΣ. *Ἵνα ἐκ πολλῶν προσώπων*, τουτέστι, τῶν ὑμετέρων, τὴν δέησιν προσδεχόμενος, καὶ ἔτι ῥύσηται ἡμᾶς, καὶ ἅμα εὐχαριστηθῇ διὰ τὸ εἰς ἡμᾶς αὐτοῦ γεγονὸς χάρισμα. Οὐκ εἶπε δέ· Ἵνα ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ εὐχαριστηθῇ, ἢ ἡ βοήθεια, ἀλλὰ τὸ *χάρισμα*, ὅπερ εἰώθαμεν λέγειν ἐπὶ τῶν ὑψηλῶν καὶ παραδόξων, καὶ τὴν ἀνθρωπίνην φύσιν ὑπερκειμένων. Εἶπε δὲ, *τὸ εἰς ἡμᾶς αὐτοῦ χάρισμα διὰ πολλῶν* εὐχαριστηθῇ, πρότερον εἰπὼν, *ἐκ πολλῶν προσώπων*. Τί δή ποτε; Ἢ δῆλον, ὅτι τῷ μὲν, *ἐκ πολλῶν προσώπων*, τοὺς εὐχαριστεῖν ὀφείλοντας δηλῶν· τῷ δὲ, *διὰ πολλῶν*, τοὺς τρόπους, καθ' οὓς δεῖ εὐχαριστεῖν· οὐ γὰρ ἀρκεῖται, δι' ἑνὸς αὐτοὺς τρόπου εὐχαριστῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαι, ἀλλὰ διὰ πλειόνων. Οὕτως ἐστὶν εὐγνώμων, καὶ οὕτως οἶδε μέγα εὐεργέτημα τὸ εἰς αὐτὸν γεγενημένον, μᾶλλον δὲ, ὡς ἐκεῖνος φησὶ, *χάρισμα*· ὥσε οὐδὲ ἑαυτὸν ἐξαρκεῖν εἰς εὐχαριστίαν νομίζει· ἀλλ' οὐδὲ τοὺς πολλοὺς σὺν αὐτῷ, εἰ μὴ καὶ διὰ πολλῶν εὐχαριστήσωσι τρόπων. Εἶτα, *ὑπὲρ ὑμῶν*, φησὶ· τουτέστι· Τί δήποτε συνυπουργήσομέν σοι τῇ δεήσει; τί δή ποτε εὐχαριστήσομεν; Ὅτι τὸ ῥυσθῆναί με, φησὶ, καὶ ἔτι ῥύεσθαί με, οὐκ ἔξι μόνον ἐμὴ βοήθεια καὶ παράκλησις, ἀλλ' οὐδὲν ἧττον καὶ ὑμετέρα. Συνυπουργήσατε τοίνυν τῇ δεήσει· εὐχαριστήσατε, ὡς ὑπὲρ ὑμῶν ταῦτα ποιοῦντες· ἡ γὰρ ἐμὴ παράκλησις καὶ σωτηρία, ὑμετέρα ἐστί. Καὶ τοῦτο οὐχὶ νῦν, φησὶ, λέγω παραινῶν, ἀλλὰ καὶ καυχῶμαι ἀεὶ ἐν τούτῳ, ὅτι οὕτω διάκεισθε ὑμεῖς πρὸς ἐμὲ, ὡς τὴν ἐμὴν σωτηρίαν καὶ παράκλησιν ὑμετέραν ἡγεῖσθαι· *ἡ γὰρ καύχησις ἡμῶν*, φησὶν, *αὕτη ἐστὶ*, τὸ οὕτω διακεῖσθαι ὑμᾶς πρὸς ἐμὲ, καὶ οὕτως ὑπολαμβάνειν ἐμὲ περὶ ὑμῶν. Τίς σε ἔπεισεν, οὕτως ἔχειν καὶ καυχᾶσθαι, ὦ Παῦλε; *Τὸ μαρτύριον τῆς συνειδήσεώς μου*, φησὶν, ἐξ ὧν ἔπραξα εἰς ὑμᾶς, ἐξ ὧν σύνοιδα εὐεργετήσας τὰ μέγιστα, ἐξ ὧν περισσοτέρως τῶν ἄλλων ἐν ὑμῖν ἠγωνισάμην· ταῦτά με πείθει, νοεῖν περὶ ὑμῶν, ὅτι καὶ ὑμεῖς τὴν ἐμὴν παράκλησιν καὶ σωτηρίαν ἰδίαν ἡγεῖσθε, καὶ διὰ τοῦτο κἀγὼ καύχησιν αὐτὸ ποιοῦμαι, τὴν ὑμετέραν περὶ ἐμὲ ζοργὴν καὶ διάπυρον ἀγάπησιν· ἐκ ταύτης γὰρ τίκτεται καὶ τὸ τὴν ἐμὴν παράκλησιν καὶ σωτηρίαν οἰκείαν ἑαυτῶν ἡγεῖσθαι· *ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ*, κατὰ τὸ μαρτύριον τῆς συνειδήσεώς μου· ὅτε δὲ ἡ συνείδησις μαρτυρεῖ, ἀναμφίβολος ἡ ἀλήθεια.

12 Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοῦ, (οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι θεοῦ) ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως
13 δὲ πρὸς ὑμᾶς. Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε· ἐλπίζω δὲ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

14 ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε, καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους· ὅτι καύχημα ὑμῶν ἐσμὲν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

Ἐπειδὴ εἶπεν ἄνω, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ ἠλεῆσθαι, ἵνα μὴ ταύτῃ τὸν ἀκροατὴν ῥᾳθυμότερον ποιήσῃ, λέγει, δεῖν αἰκοθεν ἔχειν τῆς σωτηρίας τὰς ἀφορμὰς ἀπὸ συνειδότος χρηστοῦ. *Τὸ μαρτύριον γάρ*, φησι, *τῆς συνειδήσεως ἡμῶν*, ὡς εἰ ἔλεγεν· Τὸ συνειδὸς ἡμῶν, μαρτυροῦν ἡμῖν ἀγαθὰ, καὶ ὅτι ἐν ἁπλότητι ἀνεστράφημεν ἐν τῷ κόσμῳ, μεγίστην παρακλήσεως πρόφασιν δέδωκεν ἡμῖν, μᾶλλον δὲ οὐ παρακλήσεως μόνον, ἀλλὰ καὶ καυχήσεως. *Ὅτι ἐν ἁπλότητι.*] Ἄνευ δόλου, ἄνευ ὑποκρίσεως τινὸς καὶ ἐπικαλύμματος. *Οὐκ ἐν σοφίᾳ σαρκικῇ.*] Οὐκ ἐν δεινότητι καὶ στροφῇ λόγων, συσκιαζούσῃ τὴν ἀλήθειαν, ἀνεστράφημεν. Ὅρα δὲ· ἐφ' οἷς μέγα ἐφρόνουν οἱ ψευδαπόστολοι, ταῦτα αὐτὸς ἀποσείεται καὶ φεύγει. *Ἀλλ' ἐν χάριτι Θεοῦ.*] Τουτέστι, ἐν τῇ παρ' αὐτοῦ χαρισθείσῃ σοφίᾳ, καὶ ἐν τοῖς σημείοις καὶ τέρασιν, ἃ τινα χάρις ἦν Θεοῦ. Μεγίστη δὲ παράκλησις, τὸ συνειδέναι τινὰ ἑαυτῷ, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλὰ θείᾳ χάριτι πάντα ποιεῖ. Καὶ οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ ἐν παντὶ τῷ κόσμῳ. *Περισσοτέρως δὲ πρὸς ὑμᾶς.*] Πῶς; Ὅτι μετὰ τῶν σημείων, ἔτι καὶ ἀδάπανον παρ' αὐτοῖς τὸ εὐαγγέλιον ἐκήρυξε. Καὶ ὅρα· ὅπερ ἦν αὐτοῦ κατόρθωμα, τοῦτο τῇ χάριτι τοῦ Θεοῦ ἀνατίθησιν. *Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν.*] Ἐπειδὴ μέγα ἐφθέγξατο περὶ ἑαυτοῦ, τὸ ἀδάπανον κηρύξαι τὸ εὐαγγέλιον, ἵνα μή τις νομίσῃ κόμπον ῥημάτων εἶναι ταῦτα, χηρεύοντα τῶν ἔργων, αὐτοὺς τοῦ ἀληθῆ λέγειν παράγει μάρτυρας· *Οὐ γὰρ ἄλλα*, φησὶ, *γράφομεν ὑμῖν*, τουτέστι, ξένα καὶ ἀλλότρια ἡμῶν· (ἐγεγράφει γὰρ πρότερον, ὡς ἀδάπανον ἐκήρυξε τὸ εὐαγγέλιον παρ' αὐτοῖς·) ἀλλ' ἐκεῖνα ὑμῖν γράφομεν, *ἃ ἀναγινώσκετε*, τουτέστιν, ἃ ὑπομιμνήσκεσθε· *ἀνάγνωσις* γάρ ἐστιν ἡ ὑπόμνησις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡ ἄνωθεν γνῶσις. Καὶ τί λέγω, φησὶν, ἅ τινα ὑπομιμνήσκεσθε; Ἃ τινα μὲν οὖν *ἐπιγινώσκετε* εἶναι ἡμῶν ἴδια, μηδὲ ὑπομνησθῆναι δεόμενοι διὰ τὸ πρόδηλον αὐτῶν, ἀλλὰ ἀκριβῶς εἰδότες καὶ πρὸ ὑπομνήσεως. *Ἐλπίζω δὲ, ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε.*] Ὁρᾷς, ὅτι οὐδὲν ἐπῳρμένον λαλεῖ, ἀλλὰ τῷ θεῷ ἀνατίθησι τὸ πᾶν; Ἐλπίζω γάρ, φησιν, εἰς τὸν θεὸν δηλαδὴ, ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε ἡμᾶς τοιούτους ὄντας, οἵους καὶ αἱ ἐπιστολαὶ ἡμῶν δηλοῦσι· ἀπὸ τούτου δὲ καὶ ὁ παρελθὼν δηλοῦται βίος· *Καθὼς*, φησὶ, *καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους.*] Ἐκ μέρους γὰρ ἐπέγνωτε ἡμᾶς, τουτέστιν, ἐπειράθητε, ἡμῶν ἐπιδειξαμένων ὑμῖν ἐκ μέρους τινὰ ἐναρέτου βίου τεκμήρια. Μετριοφρονῶν δὲ τοῦτο λέγει. *Ὅτι καύχημα ὑμῶν ἐσμέν.*] Ἐλπίζω, φησὶν, ὅτι ἕως τέλους ἐπιγνώσεσθε. Τί; *Ὅτι καύχημα ὑμῶν ἐσμέν·* οὐχὶ δὲ μόνον ἡμεῖς ὑμῶν, ἀλλὰ καὶ ὑμεῖς ἡμῶν καύχημα ἐστέ. Ὡς γὰρ ἐκ μέρους νῦν αὐτὸ τοῦτο ἐπέγνωτε, οὕτως ἐλπίζω, ὅτι καὶ τελείως ἐπιγνώσεσθε αὐτὸ *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*, ὅτε ἕκαστος ὧν ἔπραξε τὴν ἀντιμισθίαν εὑρήσει. Ἐξ ὧν γὰρ εὑρήσετε πεισθέντες ἐμοὶ καὶ τῷ κηρύγματι, τότε τελείως ἐπιγνώσεσθε, καὶ οὐκ ἐκ μέρους, *ὅτι καύχημα ὑμῶν ἐσμέν·* καὶ ἐγὼ δὲ ὑμῶν τὴν σωτηρίαν καὶ τὴν προσαγωγὴν, καύχημα ποιήσομαι. Εἶτα, ἵνα μὴ φορτικὸς εἶναι δόξῃ περὶ ἑαυτοῦ λέγων, κοινὰ τὰ αὐτοῦ ποιεῖται κατορθώματα. Εἰ γὰρ τοιοῦτος, φησὶ, δειχθῶ, οἷον εἴρηκα, *ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου*, οἷον, ἐν τῇ κρίσει· (οὐδὲ γὰρ δεῖ τὰ παρόντα σκοπεῖν, οἷον, τὰ ὀνείδη, τὰς ὕβρεις, ἃς ἀκούομεν ἡμεῖς οἱ ἀπόστολοι·) εἰ τοιοῦτοι τοιγαροῦν δειχθῶμεν, *καύχημα ὑμῶν ἐσμέν.* Πῶς; Ὅτι τοιούτων ὑπορήσατε διδασκάλων, τῶν οὐδὲν ἀνθρώπινον διδαξάντων. Καὶ ἡμεῖς δὲ ἐν ὑμῖν καυχησόμεθα, ὅτι τοιούτων ὑπορήσαμεν μαθητῶν, μὴ σαλευομένων, ἢ σκανδαλιζομένων ἐν τῷ πάσχειν κακῶς τοὺς αὐτῶν διδασκάλους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἀγάπης τῆς πρὸς αὐτοὺς καὶ φειδοῦς εἰς τὸ μὴ λυπεῖν, εἰ καὶ λυπῶν ὠφελεῖ, ὡς ἐπὶ τοῦ διά πορνείαν ἐπιτιμηθέντος, ᾧ καὶ συγχωρεῖ.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην ἐλθεῖν πρὸς
16 ὑμᾶς τὸ πρότερον, ἵνα δευτέραν χάριν ἔχητε· καὶ
δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ
Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν προ-
17 πεμφθῆναι εἰς τὴν Ἰουδαίαν. Τοῦτο οὖν βουλευόμε-
νος, μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ, ἃ βουλεύο-
μαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ
ναὶ ναὶ, καὶ τὸ οὒ οὔ;

Ποίᾳ πεποιθήσει; Ποίᾳ; Τῷ καυχᾶσθαι ἐφ' ὑμῖν, τῷ καύχημα ὑμῶν εἶναι, τῷ ἀγαπᾷν ὑμᾶς, τῷ μηδὲν ἐμαυτῷ συνειδέναι πονηρόν. Ἐπὶ ταύτῃ, φησὶ, τῇ προσδοκίᾳ, ἐπὶ ταύτῃ τῇ ἐλπίδι, τῇ καὶ ὑμᾶς ἐμὸν εἶναι καύχημα ἐγγυωμένῃ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἐμὲ εἶναι ὑμῶν. Εἰ δὲ ἐπὶ ταύτῃ τῇ πεποιθήσει ἐλθεῖν πρὸς ὑμᾶς ἐβουλόμην, δῆλον ὅτι σφοδρὰ καὶ πολλὴ ἦν ἡ βούλησις· οὐ γὰρ ἀνθρωπίνη ἦν, ἀλλὰ διὰ κοινὸν κέρδος, καὶ σωτηρίαν ψυχικήν. Ὥστε ἄκων ἐνεκόπην τῆς βουλήσεως· οὐ γὰρ ἂν ἑκὼν τοιούτου κέρδους ἠμέλησα. Τοῦτο δὲ βεβαίαν καὶ ἀληθεστάτην ἀπολογίαν κατασκευάζων τέθεικεν· οὕτως ἐφρόντιζε, μηδενὶ σκανδάλου παρασχεῖν πρόφασιν. *Ἵνα δευτέραν χάριν ἔχητε.*] Ἵνα διπλῆν χάριν ἔχητε, καὶ διὰ τῶν γραμμάτων καὶ διὰ τῆς παρουσίας μου· τουτέστι, διπλῆν χαρὰν, τήν τε διὰ τῆς προτέρας ἐπιστολῆς, καὶ τὴν διὰ τῆς ἐμῆς παρουσίας· *χάριν* γὰρ, τὴν χαρὰν λέγει. *Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν.*] Καίτοι ἐν τῇ πρότερᾳ εἰρήκει ἐπιστολῇ· *Ἐλεύσομαι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω (α)· ἐνταῦθα δέ φησιν, ὅτι ἠβουλόμην ἐλθεῖν πρὸς ὑμας τὸ πρότερον. Τί οὖν; ἑαυτῷ ἐναντιοῦται; μὴ γένοιτο! ἀλλὰ τοῦτο λέγει· Τοσοῦτον ἀπέσχον τοῦ ῥᾳθυμῆσαι ἐλθεῖν πρὸς ὑμᾶς, ὅτι, ὅσον ἦκεν εἰς τὴν ἐμὴν γνώμην, καὶ πρὶν Μακεδονίαν ἴδω, ἐλθεῖν πρὸς ὑμᾶς ἤθελον, ἀλλ' οὐκ ἀπέβη μοι κατὰ γνώμην τὰ πράγματα. *Καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν.*] Ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἀδιορίστως εἶπεν· *Ἵνα ὑμεῖς με προπέμψητε, οὗ ἐὰν πορεύωμαι* (β)· καὶ γὰρ τότε ἠγνόει, ποῦ κελεύεται ὑπὸ τοῦ πνεύματος ἀπελθεῖν· νῦν δὲ λέγει, ποῦ ἔμελλε πορεύεσθαι, ὅτι εἰς τὴν Ἰουδαίαν. Ὁρᾷς αὐτὸν πνεύματι πανταχοῦ ἀγόμενον; *Τοῦτο οὖν βουλευόμενος.*] Ἐνταῦθα ἐκδηλότερον ἀπολογεῖται ὑπὲρ τῆς βραδύτητος, καὶ φησιν, ὅτι, *τοῦτο οὖν βουλευόμενος*, τὸ ἐλθεῖν δηλαδὴ πρὸς ὑμᾶς, τίνος ἕνεκεν οὐκ ἦλθον; ἆρα ὡς ἐλαφρὸς καὶ εὐρίπιστος, καὶ τοῖς οἰκείοις ἐναντιούμενος λόγοις; μὴ γένοιτο! Ἀλλὰ τί τὸ αἴτιον; Ὅτι ἃ βουλεύομαι, φησίν, οὐ κατὰ σάρκα βουλεύομαι, *ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ·* ὅπερ αὐτὸς ἐρωτηματικῶς τέθεικε. Καὶ τί βούλεται, ὅρα. Ὁ σαρκικός, φησιν, ἄνθρωπος καὶ κατὰ σάρκα βουλευόμενος, οἷον, ὁ μὴ ἀγόμενος πρὸς τὰ πρακτέα τῇ ἐνεργείᾳ τοῦ πνεύματος, κύριός ἐστιν ἀπιέναι ὅπου βούλεται· ὁ δὲ ὑπὸ τοῦ πνεύματος ἀγόμενος, οὐκ ἔχει ἐξουσίαν βαδίζειν ὅπου θέλει· δεσπότῃ γὰρ ὑποτέτακται τῷ παρακλήτῳ, καὶ τῷ αὐτοῦ νεύματι εἴκειν ἀναγκάζεται. Ὥστε τὸ ἐλθεῖν πρὸς ὑμᾶς, οὐχ ὡς εὐρίπιστος καὶ ἐλαφρὸς καὶ ψευδολόγος ὑπερθέμην, ἀλλὰ τοῦ πνεύματος, ᾧ ἄγομαι, ἡ αἰτία, τοῦ ἀλλαχοῦ ἧπερ ἐβουλόμην ἄξαντος. Ὅρα δὲ σοφίαν! Ὅπερ οἱ διαβάλλοντες, πρόφασιν λοιδορίας ἐποιοῦντο, τὸ ὑποσχόμενον μὴ ἐλθεῖν, τοῦτο αὐτὸς πρόφασιν ἐγκωμίου ποιεῖται, τὸ μὴ ἐξουσιάζειν ἑαυτοῦ, ἀλλ' ἄγεσθαι ὑπὸ τοῦ πνεύματος, ὅπου ἂν αὐ-

(α) Α' Κορ. ιϛ', 5. (β) Α' Κορ. ιϛ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ δόξῃ.—Ἤ, *ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι;* Ἀποροῦσι τινὲς λέγοντες, πότερον ἃ βούλεται Παῦλος καὶ ἐπαγγέλλεται περὶ τῶν τῆς πίστεως δογμάτων, κατὰ σάρκα βούλεται καὶ ἐπαγγέλλεται, ἢ κατὰ πνεῦμα; Εἰ γὰρ κατὰ πνεῦμα, οὐκ ἔσται αὐτοῦ τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· εἰ δὲ κατὰ σάρκα, πῶς θεία; πῶς πνευματικά; Τί οὖν, φασίν; Ὅτι περὶ τῶν τῆς πίστεως δογμάτων, οὔτέ τι ἐπαγγέλλεται αὐτὸς, οὔτέ τι βουλεύεται· δεσποτικαὶ γὰρ αἱ ἐπαγγελλίαι, καὶ τῆς μεγάλης βουλῆς τὰ βουλεύματα· κῆρυξ δὲ μόνον ἐστὶν ὁ Παῦλος καὶ διάκονος, ὡς καὶ αὐτός φησι, μυστηρίων Χριστοῦ (α). Εἰκότως οὖν αὐτὸς ἐξ ἑαυτοῦ περὶ τούτων οὔτε βουλεύεται οὔτε ἐπαγγέλλεται. Ἀλλ' εἰ περὶ τῶν τῆς πίστεως δογμάτων οὐκ ἔξεστιν αὐτῷ, φασιν, οὔτε βουλεύσασθαι οὔτε ἐπαγγείλασθαι, κατὰ σάρκα δὲ οὐ δεῖ πάλιν αὐτὸν βουλεύεσθαι· (καὶ γὰρ κἀκεῖνος ἀποπέμπεται τοῦτο ἐν τῷ λέγειν· *ἢ, ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι;*) εἰ οὖν ἐν μηδετέροις βουλεύεται ἢ ἐπαγγέλλεται, ἐν τίσιν ἄρα ὅλως βουλεύεται ἢ τὰς ἐπαγγελίας ποιήσεται; Φαμὲν οὖν, ὅτι ἔζι θεῖα, καὶ ἀνθρώπινα, ἢ, εἰ βούλει, πνευματικὰ, καὶ σαρκικά· καὶ τῶν πνευματικῶν δέ ἐζι διαφορὰ πολλή· ἀλλὰ τέως πρὸς τὸ προκείμενον. Τῶν πνευματικῶν, τὰ μέν εἰσιν ἀρεταὶ, τὰ δὲ, αὐτὸς ὁ τοῦ κηρύγματος λόγος· τὰ δὲ οὐκ αὐτὸς μὲν οὗτος, ἀλλ' ὅμως ἐκείνοις ἁρμόζων, οἷ καὶ τὸν τοῦ κηρύγματος λόγον παρεδέξαντο, ἃ καὶ Παύλῳ ἔξεστι καὶ βουλεύεσθαι καὶ διατάττεσθαι. Καὶ γάρ φησιν· *Ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου, πιστὸς εἶναι* (β). Καὶ τῶν σαρκικῶν δὲ, τὰ μέν εἰσιν ἐναντία τοῦ πνεύματος, τὰ δὲ, οὐκ ἐναντία τοῦ πνεύματος, ἕτερα δὲ μόνον καὶ οὐχὶ τὰ αὐτὰ τοῖς πνευματικοῖς. Ἐναντία μὲν, οἷον, δυσσέβεια, ἀπιστία, κλοπὴ, μοιχεία, καὶ τὰ ὅμοια· ἕτερα δὲ μόνον καὶ οὐκ ἐναντία, οἷον,

(α) Α' Κορ. Δ', 1. (β) Α' Κορ. Ζ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τροφὴ, ὕπνος, ἐγρήγορσις, καὶ τὰ ὅμοια. Ἐπιδεδειγμένων τοίνυν τῶν διαφορῶν τῶν κατὰ τὸ προκείμενον τέως χρησιμευουσῶν, τῶν τε πνευματικῶν καὶ τῶν σαρκικῶν, δεῖ καὶ τοῦτο προσεπιλογίσασθαι, ὅτι, ὥσπερ οἷον ἀπὸ τῶν ἐπαγγελτῶν καὶ βουλευτῶν πολλὴ ἀνακύπτει διαφορὰ, οὕτω καὶ ἀπὸ τῶν ἐπαγγελλομένων καὶ βουλευομένων ἀνακύψουσι διαφοραί. Οὗτοι γὰρ περὶ ἑνὸς ἑκάστου τῶν εἰρημένων βουλευόμενοι καὶ ἐπαγγελλόμενοι, ἢ κατὰ σάρκα ἢ κατὰ πνεῦμα τὴν βουλὴν καὶ τὴν ἐπαγγελίαν ποιήσονται. Ἀλλὰ περὶ μὲν τοῦ κηρύγματος ὁ Παῦλος οὔτε βουλεύσεται, οὔτε ἐπαγγελίαν ποιήσεται· κηρύξει δὲ μόνον καὶ διακονήσει, καθὼς καὶ ἠφώρισται καὶ ἀπέσταλται· οἱ δὲ ψευδαπόστολοι, καὶ βουλεύσονται καὶ ὑποσχέσεις δώσουσι· καὶ γὰρ δολοῦσι καὶ καπηλεύουσι τὸν λόγον τοῦ Κυρίου. Περὶ μέντοι τῶν ἁρμοζόντων μὲν τοῖς πιστοῖς, μὴ νομοθετηθέντων δὲ ὑπὸ Χριστοῦ, ἃ καὶ αὐτά ἐστι πνευματικὰ, καὶ βουλεύσεται καὶ γνωματεύσει, καθὼς καὶ προέφημεν. Καὶ δῆλον, ὅτι καὶ ἐκ τούτου μόνου τὸ ἄπορον λέλυται· εὕρηται γὰρ ἃ καὶ βουλεύσεται, καὶ γνωματεύσει, καὶ νομοθετήσει· ὅμως δὲ καὶ ἔτι ῥητέον. Περὶ μὲν γὰρ τῶν σαρκικῶν, ἃ καὶ ἐναντία ἐστὶ τοῦ πνεύματος, βουλεύσεται, ἀλλὰ πνευματικῶς, ἐπὶ ἀναιρέσει καὶ φυγῇ αὐτῶν· οἱ δὲ ψευδαπόστολοι βουλεύσονται, ἀλλὰ κατὰ σάρκα, ἤτοι, ἀντικειμένως τῷ πνεύματι. Περὶ μέντοι τῶν μὴ ἐναντίων τῷ πνεύματι σαρκικῶν, καὶ περὶ τούτων ὁ Παῦλος βουλεύσεται, ἀλλ' ὑποπιέζων ἑαυτὸν, ἀλλὰ λιμῷ καὶ δίψει μαχόμενος· καὶ δῆλον ὅτι πνευματικῶς· τοὐναντίον δὲ οἱ ψευδαπόστολοι. Συνελόντι δέ· Κατὰ σάρκα μὲν, οἷον ἐναντίως τοῦ πνεύματος, οὐδαμοῦ Παῦλος βουλεύσεται, οὐδὲ ἔν τισι· κατὰ σάρκα δὲ, οἷον ἑτέρως μόνον παρὰ τὴν τοῦ πνεύματος βούλησιν, πολλάκις ἐβουλεύσατο, ἀλλ' οὐκ ἐν τῷ κηρύγματι, ἄπαγε! οὐκ ἐν τοῖς ἄλλοις πνευματικοῖς, ἀλλ' ἐν τοῖς μὴ ἐναντίοις τοῦ πνεύματος σαρκικοῖς. Οὐκ ἤθελε τύπτεσθαι, καὶ ἐτύπτετο· ἀπελθεῖν ἤθελε, καὶ ἐκωλύετο·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἤθελεν ἀσθενεῖν Τιμόθεον, καὶ ἠσθένει, καὶ μυρία ἄλλα. Αὐτὸς δὲ νῦν τὸ, *κατὰ σάρκα*, ἀντὶ τοῦ, αὐτεξουσίως, αὐτοδεσπότως, αὐτοκελεύστως, ἐξείληφε. Σκόπει δὲ κἀκεῖνο. Τί οὖν; Ὁ Παῦλος, ὑπισχνούμενος, οὐ μετὰ τῆς ἐνεργείας τοῦ πνεύματος ὑπισχνεῖτο, ἀλλ' ἀγνοῶν, εἰ πληρώσει τὰς ὑποσχέσεις; Φαμὲν, ὅτι οὐ πάντα προῄδει ὁ ἀπόστολος· τοιγαροῦν καὶ εὔχεται ἀσύμφορα, ὡς ἐπὶ τοῦ σκόλοπος τῆς αὐτοῦ σαρκός (α)· καὶ πάλιν· Τὸ γὰρ, τί προσεύξομαι, καθὸ δεῖ, οὐκ οἶδα (β). Καὶ ἐν ταῖς Πράξεσι δὲ δείκνυται ἀπελθεῖν βουλόμενός που, καὶ κωλυόμενος ὑπὸ τοῦ πνεύματος (γ). Τοῦτο δὲ συμφερόντως ἐγίνετο· ἵνα μή τινες μείζους αὐτοὺς ὑπολάβωσι τῆς ἀνθρωπίνης φύσεως, καὶ ὡς θεοῖς αὐτοῖς προσέχωσι· καὶ γὰρ καὶ ἀποτυγχάνουσιν αὐτοῖς πολλάκις, θύειν ἐβούλοντο ὡς θεοῖς ἐν Λυκαονίᾳ (δ) (Φωτίου).

18 Πιστὸς δὲ ὁ θεὸς, ὅτι ὁ λόγος ἡμῶν, ὁ πρὸς
19 ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ. Ὁ γὰρ τοῦ θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς, ὁ ἐν ὑμῖν καὶ δι' ἡμῶν κηρυχθεὶς, (δι' ἐμοῦ, καὶ Σιλουανοῦ, καὶ Τιμοθέου,) οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν,
20 (ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐν αὐτῷ τὸ ἀμήν,) τῷ θεῷ πρὸς δόξαν δι' ἡμῶν.

Ἀνακύπτουσαν ἀντίθεσιν λύει· εἰκὸς γὰρ ἦν εἰπεῖν τινα· Εἰ ἀγνοεῖς, εἰ ἔσαι ἃ ἐπηγγέλθη, καὶ πολλάκις λέγεις ἐν πράγματι ναὶ, καὶ εὑρίσκεται οὔ, δεδοίκαμεν μή πως καὶ ὁ λόγος σου, τουτέστιν, ὁ κηρυχθεὶς ἡμῖν περὶ τῆς πίστεως, τοιοῦτόν ἐστι, ναὶ καὶ οὔ· τουτέστιν, ἄστατον καὶ ἀβέβαιον· καί φησι· Τὸ μὲν ἐπαγγείλασθαι ἐλθεῖν, ἐμὸν ἦν, διὸ καὶ ἀπέτυχον· τὸ δὲ κήρυγμα, τοῦ θεοῦ ἐστι, καὶ οὐκ ἀποτεύξεται· *πιστὸς* γάρ, φησιν, *ὁ θεὸς*, τουτέστιν, ἀληθής. *Ὅτι ὁ λόγος ἡμῶν*,

(α) Β' Κορ. ΙΒ', 7-9. (β) Ῥωμ. Η', 26. (γ) Πραξ. Ις', 6. 7.
(δ) Πραξ. ΙΔ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἑξῆς.] Ἐπεὶ οὖν, φησιν, ἀληθής ἐστιν ὁ θεὸς, οὐδὲ ὁ λόγος αὐτοῦ, *ὁ πρὸς ὑμᾶς*, ὃν ἡμεῖς ἐκηρύξαμεν ὑμῖν, ἄστατός ἐστι καὶ ἀ ἑβαιος, καὶ ποτὲ μὲν, ναὶ, ποτὲ δὲ, οὔ. Καὶ λοιπὸν λέγει, ποῖος λόγος οὐ γέγονε ναὶ καὶ οὔ, ἀλλ' ἀσάλευτος ἔμεινεν. *Ὁ γὰρ υἱὸς τοῦ θεοῦ*, φησὶν, *ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, οὐ γέγονε ναὶ καὶ οὔ.*] Τουτέστιν, οὐ νῦν μὲν, τοιῶσδε, ἄλλοτε δὲ, τοιῶσδε κεκήρυκται· *ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε*, τουτέστι, βέβαια καὶ ἀπαρασάλευτα τὰ εἰς αὐτὸν τὸν Χριστὸν κηρυχθέντα γεγένηται. Καταλέγει δὲ καὶ τὸ πλῆθος τῶν κηρυξάντων· *Δι' ἡμῶν* γὰρ, φησὶ· καὶ πάλιν εἰς πλῆθος, *Δι' ἐμοῦ, καὶ Σιλουανοῦ, καὶ Τιμοθέου*, ταύτῃ ἀξιόπιστόν τε τὴν μαρτυρίαν ποιῶν, καὶ ταπεινοφροσύνην ἐπιδεικνύμενος, ὅτι τοὺς ἑαυτοῦ μαθητὰς, τὸν Τιμόθεον καὶ Σιλουανὸν, κοινωνοὺς τοῦ κηρύγματος ὀνομάζει. — Τί δέ ἐστιν· *Οὐκ ἐγένετο ναὶ καὶ οὔ*; Οὐκ ἀνέτρεψα, φησὶν, ἃ πρότερον εἶπον ἐν τῷ κηρύγματι· οὐ νῦν μὲν τοῦτο, νῦν δὲ ἄλλο διελέχθην ὑμῖν. Τοῦτο γὰρ οὐκ ἔστι πίστεως, ἀλλὰ πεπλανημένης διανοίας. *Ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε*· τουτέστιν, ὅπερ εἶπον, ἀπαρασάλευτον καὶ βέβαιον μένει (Χρυσοστόμου). — *Ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ.*] Ἐν τῷ κηρύγματι πολλά ἐστι τὰ ἐπαγγελλόμενα, ἀνάστασις νεκρῶν, υἱοθεσία, καὶ ἁπλῶς, ἐλπίδες τοῦ μέλλοντος αἰῶνος. Φησὶν οὖν, ὅτι οὐ μόνον τὸ κήρυγμα ἀεὶ ὡσαύτως ἔχει, καὶ βεβαίως κεκήρυκται, ἀλλὰ καὶ αἱ ἐν αὐτῷ ἐπαγγελίαι· τοῦ θεοῦ γάρ εἰσιν. Ἡ, *ἐπαγγελίας*, αὐτὸ τὸ κήρυγμα λέγει· ὁ γὰρ σύνδεσμος ὁ, *Γὰρ*, τοῦτο δηλοῖ· πρόπαλαι γὰρ ἡ εἰς Χριστὸν πίστις ἐπήγγελτο. *Ἐν αὐτῷ τὸ ναί.*] Ὅσαι γάρ, φησιν, ἐπαγγελίαι θεοῦ, *ἐν αὐτῷ τῷ θεῷ*, τουτέστι, δι' αὐτοῦ τοῦ θεοῦ, τὸ ναὶ καὶ τὸ ἀμὴν ἔχουσι· τὸ γὰρ πληροῦσθαι ἔχουσαι, τὸ ναὶ καὶ τὸ ἀμὴν ἔχουσιν· εἰς τὸ γενέσθαι δόξαν τῷ θεῷ *δι' ἡμῶν*. Ἢ οὕτως· Ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ ἔχουσι τὸ ναὶ καὶ τὸ ἀμὴν *δι' ἡμῶν*· ὡσεὶ ἔλεγεν, Αὐτὸς μὲν τὸ ναὶ ταῖς οἰκείαις δίδωσιν ἐπαγγελίαις· *δι' ἡμῶν* δὲ τοῦτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖ, εἰς τὸ δοξασθῆναι τὸν θεὸν, ὅτι δι' ἀνθρώπων τοσαῦτα ποιεῖ. [Ἢ τὸ, *δι' ἡμῶν*, καὶ ἄλλως ἐκληπτέον, τουτέστι, πρὸς δόξαν θεοῦ, τὴν *δι' ἡμῶν* αὐτῷ προσαγομένην· *δι' ἡμῶν* γὰρ δοξάζεται (1).]

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ
22 χρίσας ἡμᾶς, θεὸς· ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς
23 καρδίαις ἡμῶν. Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι, φειδόμενος ὑμῶν,
24 οὐκέτι ἦλθον εἰς Κόρινθον· οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοὶ ἐσμὲν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑστήκατε.

Ἐπειδὴ εἶπεν, ὅτι *δι' ἡμῶν* πληροῦνται αἱ ἐπαγγελίαι, ἐπιδιορθοῦται αὐτὸ, καὶ φησι· Δι' ἡμῶν μὲν, ὄντων διακόνων, ποιεῖ τοῦτο· αὐτὸς δὲ ὁ πατὴρ, ὁ βεβαιῶν ἡμᾶς, καὶ ὁ δοὺς, πληροῖ τὰς ἰδίας ὑποσχέσεις.— Τὸ, *Ὁ δὲ βεβαιῶν ἡμᾶς*, καὶ ἑξῆς, ἢ κατ' ἔλλειψιν ἐστὶν εἰρημένον, ὅλου λείποντος ῥητοῦ, ἢ κατ' ἔλλειψιν μόνης λέξεως τῆς τοῦ, *ἐστὶν*· οἷον, Ὁ βεβαιῶν ἡμᾶς, καὶ τὰ ἄλλα ποιῶν, *θεός ἐστιν*. Ἀλλ' εἰ μὲν κατ' ἔλλειψιν λέξεως, εἰς τὸ, *χρίσας ἡμᾶς*, ὑποστίζειν δεῖ, ἵνα ἢ ἑξῆς κατὰ τελείαν στιγμὴν ἐπιφερόμενον τὸ, *θεὸς*· οἷον, Θεός ἐστιν ὁ βεβαιῶν ἡμᾶς, καὶ χρίσας ἡμᾶς, καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Καὶ δῆλον, ὅτι καὶ ταῦτα τὰ κῶλα τὰ ἑφεξῆς τοῦ, *θεὸς*, κατὰ τελείαν στιγμὴν ἀναγνωσθήσεται. Εἰ δ' ὡς κατ' ἔλλειψιν ὅλου ῥητοῦ ἐκληφθείη, καὶ αὐτὴ ἡ πρώτη περίοδος ἕως τοῦ, *θεὸς*, κατὰ μέσην ἀναγνωσθήσεται,

(1) Ἐκ τοῦ Θεοφυλάκτου.—« Κἂν αὐτὴν τὴν σάρκωσιν τοῦ υἱοῦ αὐτοῦ εἴπῃς, κἂν τὴν ἐκ νεκρῶν ἀνάστασιν, κἂν τὴν δι' ἁγιάσματος υἱοθεσίαν, κἂν τὴν τοῦ ἁγίου πνεύματος μετουσίαν, κἂν τὴν τοῦ μέλλοντος αἰῶνος ἐλπίδα· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐπαγγελίαι ὄντα τοῦ θεοῦ, οὐδὲν τὸ παλίμβολον ἔχει. » Σχόλιον ἀρχαῖον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸ ἑφεξῆς· τὸ δὲ ἐπὶ τούτῳ ἀπορίαν ἔξει, προσεπινοουμένου τοῦ λείποντος εἰς τελείαν, ἢ ὡς λείποντος εἰς ὑποστιγμὴν ἀποτελευτήσει (Φωτίου).— *Καὶ χρίσας ἡμᾶς, θεός.*] Οἱ χριόμενοι ἐν τῇ Παλαιᾷ, ἢ ἱερεῖς, ἢ προφῆται, ἢ βασιλεῖς ἐγίνοντο· καὶ νῦν, φησὶ, χριόμεθα, ἵνα γενώμεθα, βασιλεῖς μὲν, κατάρχοντες τῶν παθῶν· ἱερεῖς δέ, τὰ οἰκεῖα ἱερουργοῦντες σώματα, κατὰ τόν· Παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν (α)· προφῆται δὲ, τὰ μεγάλα μυστήρια διδασκόμενοι· χρίει δὲ καὶ σφραγίζει ὁ πατὴρ διὰ τοῦ ἁγίου πνεύματος· ταῦτα γάρ, φησιν, ἡ χρίσις καὶ ἡ σφραγὶς, ἀῤῥαβών ἐστι τοῦ παρακλήτου. Διὰ τοῦτο δὲ οὐκ εἶπεν, Ὁ τὸ πνεῦμα δοὺς, ἀλλὰ, *τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος*, βεβαιῶν τὰς μελλούσας ἐλπίδας· ὁ γὰρ ἀῤῥαβὼν βεβαιοῖ τὸ πᾶν συνάλλαγμα. Τοιγαροῦν καὶ ὁ νῦν ἀῤῥαβὼν τοῦ πνεύματος, πιστοῦται ἡμῖν τὰ μέλλοντα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε (β). *Καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος.*] Ἔξωθεν συνυπακουστέον τὸ, πληροῖ τὰς ἐπαγγελίας· οἷον, Ὁ βεβαιῶν ἡμᾶς εἰς Χριστὸν, ὁ χρίσας ἡμᾶς καὶ σφραγισάμενος, καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν, αὐτός ἐστιν, ὁ πληρῶν τὰς ἰδίας ὑποσχέσεις. Ὅρα, πῶς παρεδήλωσε σαφέστατα τὴν ἁγίαν Τριάδα. Ὁ πατὴρ γὰρ ὁ βεβαιῶν ἡμᾶς εἰς Χριστὸν, καὶ χρίσας διὰ τοῦ ἁγίου Πνεύματος, αὐτὸς πληροῖ καὶ τὰς ὑποσχέσεις. Τὸ δὲ, *πληροῖ*, ἀπὸ κοινοῦ νόησαι ἐπὶ τῶν τριῶν προσώπων τῆς μιᾶς θεότητος (1). *Ὅτι φειδόμενος ὑμῶν.*] Ἄνω εἰπὼν, ὅτι

(α) Ῥωμ. ΙΒ'. 1. (β) Α' Κορ. Β', 9.

(1) Ἡ ἑρμηνεία τοῦ Θεοφυλάκτου. « Εἰπὼν ἀνωτέρω, ὅτι αὐτὸς [ὁ θεὸς] πληροῖ τὰς ἐπαγγελίας, κατασκευάζει νῦν τοῦτο, καί φησιν, ὅτι καὶ αὐτὸ τὸ βεβαίως ἑστάναι ἐν τῇ πίστει τῇ εἰς Χριστὸν ὑμᾶς, καὶ ἐμὲ αὐτὸν τὸν διδάσκαλον ὑμῶν, αὐτὸς δέδωσι, καὶ αὐτὸς ἐχρισεν ἡμᾶς καὶ ἐσφράγισε· τουτέστι, προφήτας, καὶ βασιλεῖς, καὶ ἱερεῖς εἰργάσατο. Τοιοῦτος γὰρ πᾶς βαπτισθείς· προφήτης, ὡς ἰδὼν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν· ἱερεύς, ὡς ὀφείλων ἑαυτὸν προσάγειν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ· καὶ βασιλεύς, ὡς θεοῦ τοῦ παμβασιλέως υἱὸς γεγονώς, καὶ τῆς μελλούσης βασιλείας κληρονόμος, καὶ ὡς νῦν βασιλεύων τῶν ἀτόπων λογισμῶν, καὶ τοῦ κόσμου παντὸς ὑπερκείμενος. Ὥσπερ οὖν τὸ παλαιὸν οἱ ἱερεῖς καὶ βασιλεῖς ἐχρίοντο τῷ ἐλαίῳ· οὕτω καὶ ἡμεῖς νῦν τῷ πνεύματι ἐχρίσθημεν, ὄντος τοῦ θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀῤῥαβῶνα τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τοῦτο οὐκ ἦλθε, διὰ τὸ μὴ ἔχειν ἑαυτοῦ ἐξουσίαν, ἀλλαχοῦ ἀποσταλλεὶς ὑπὸ τοῦ πνεύματος, πῶς νῦν λέγει, ὅτι *φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον;* Καὶ φαμὲν, ὅτι, ὅτε ἀφείθη ὑπὸ τοῦ πνεύματος ἀπελθεῖν, διὰ τὸ φείδεσθαι αὐτῶν οὐκ ἀπῆλθεν· ἢ, μετὰ τῆς κωλύσεως τοῦ πνεύματος, καὶ τοῦτο ἐκώλυσεν· ἢ, καὶ εἰς τοῦτο ὑπ' αὐτοῦ ἐκωλύθη. [Ὅρα δὲ τὴν σοφίαν αὐτοῦ! Ἐπειδὴ γὰρ ἐκεῖνοι ἔλεγον [ἴσως], ὅτι διὰ τοῦτο οὐκ ἦλθες, διότι, ὡς ἔοικεν, ἐμίσησας ἡμᾶς· αὐτὸς τοὐναντίον φησὶν, ὅτι διὰ τοῦτο οὐκ ἦλθον, ὅτι φείδομαι ὑμῶν. Τοῦτο δὲ λέγει· διότι ἦσαν τινὲς παρ' αὐτοῖς ἁμαρτήσαντες καὶ μὴ μετανοήσαντες, οἷς ἐπεξῆλθεν ἄν, εἰ παρεγένετο, καὶ εὗρεν αὐτοὺς ἀδιορθώτους (α)· ἐπετέτραπτο γὰρ αὐτῷ, καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας· καὶ μαρτυρεῖ Ἐλύμας ὁ μάγος (β). Περιέμενεν οὖν τὴν μετάνοιαν αὐτῶν, καὶ διὰ τοῦτο εἶπε, *φειδόμενος ὑμῶν* (1).] *Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως.*] Τουτέστιν, ἕνεκα τῆς πίστεως οὐ κυριεύομεν ὑμῶν· οἷον, Οὐ διὰ τοῦτο ἐγένεσθε πιστοὶ, ἵνα κυριεύησθε καὶ τιμωρῆσθε ὑφ' ὑμῶν. Εἰ γὰρ καὶ τοῦτο ἦν, αὐτοί, φησιν, ἐν τῇ πίστει ἑστήκατε, καὶ οὐκ ἔστι χρεία φειδοῦς ἡ τιμωρίας χάριν τῆς πίστεως. Τοῦτο δὲ λέγει, ἀντίθεσιν λύων δοκοῦσαν ἀνακύπτειν. Ὡς γὰρ ἐνίων διαγανακτεῖν μελλόντων, καὶ λεγόντων· Τί λέγεις, ὅτι ἐφείσω ἡμῶν; ἆρα διὰ τοῦτο ἐπιστεύσαμεν, ἵνα ἀκούωμεν παρὰ σοῦ, ὅτι ἐφείσω ἡμῶν; εἰ γὰρ μὴ ἐφείσω, τί πάντως; ἐκόλασας ἄν; βασάνοις ἐξέδωκας; Ἵνα οὖν μὴ ταῦτα διαλογίσωνται, προαπαντῶν λέγει· Οὐκ εἶπον τὸ, *φειδόμενος ὑμῶν*,

---

πνεύματος· εἰ δὲ τὸν ἀῤῥαβῶνα ἔδωκε, καὶ τὸ πᾶν δώσει πάντως. Ἀῤῥαβῶνα δὲ, λέγει τὰ νῦν χαρίσματα τοῦ πνεύματος. Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· τότε δὲ τὸ τέλειον ἀποληψόμεθα, ὅτε φανερωθήσεται ὁ Χριστὸς ἐν τῇ δόξῃ αὐτοῦ. Μὴ τοίνυν νομίζετε, ὅτι ἡμεῖς ἐσμὲν οἱ ἐπαγγελλόμενοι ὑμῖν, καὶ ἴσως ψευσόμεθα· οὐδὲ γὰρ οὐδὲ ἡμεῖς ἐσμὲν οἱ στηρίζοντες ὑμᾶς· ἀλλ' ὁ θεὸς καὶ ἐπαγγέλλεται καὶ στηρίζει καὶ ἐμὲ καὶ ὑμᾶς. Αὐτὸς οὖν μέλλει τὰ πάντα πληροῦν. Ἐξωθεν γὰρ ὀφείλεις συνυπακοῦσαι, ὅτι ὁ τάδε καὶ τάδε ποιήσας θεὸς, αὐτὸς πληροῖ τὰς οἰκείας ὑποσχέσεις.» (α) Β΄ Κορ. ΙΒ΄ 20. 21. ΙΓ΄, 2.

(β) Πραξ. ΙΓ΄, 11. (1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἕνεκα τῆς πίστεως λαβὼν ἐξουσίαν καὶ κυριότητα ἐφ' ὑμᾶς καὶ τοῦ κολάζειν καὶ τοῦ φείδεσθαι· ἀλλὰ *φειδόμενος* εἶπον, μὴ θέλων ὑμᾶς λυπηθῆναι. Εἰ γὰρ ἦλθον ἐγὼ λυπούμενος, οἶδα, ὅτι καὶ αὐτοὶ, βλέποντές με λυπούμενον, ἐλυπήθητε ἄν· ἐγὼ δὲ τοὐναντίον, χαρᾶς εἰμὶ συνεργὸς ὑμῶν πνευματικῆς, ἤ τις ἔσται, ἂν, τοῦ λυποῦντός με ἔργου ἐξ ὑμῶν ἀρθέντος, ἔλθω μετὰ χαρᾶς πρὸς ὑμᾶς· χαρήσεσθε γὰρ καὶ ὑμεῖς δι' ἐμὲ πνευματικῶς. Εἶτα, ὥσπερ ἐπαποροῦντος τινὸς, Τί οὖν φεύγεις καὶ μισεῖς τὸ λυπεῖν ἡμᾶς; πάλιν ἐπάγει· Οὐκ ἀεί, φησιν· ἀλλὰ τοὐναντίον, ἐνίοτε καὶ διώκω, καὶ στέργω αὐτὸ, ὅταν, διὰ τοῦ λυπεῖσαι ὑμᾶς, κέρδος εὑρίσκω τὴν σωτηρίαν ὑμῶν. Οὐκ ἀεὶ δὲ θέλω λυπεῖσθαι ὑμᾶς, ἀλλὰ διορθωθέντας μᾶλλον, ἐν χαρᾷ καὶ ἀγαλλιάσει εἶναι. *Ἀλλὰ συνεργοί ἐσμέν.*] Ἐπειδὴ ἀπονοίας ἐδόκει εἶναι τὸ εἰπεῖν, *φειδόμενος ὑμῶν*· (ἐκείνων γάρ τις φείδεται, οὓς ἔχει τὴν ἐξουσίαν καὶ κολάσαι·) θεραπεύει αὐτὸ, καί φησιν· Οὐ διὰ τὸ ἐξουσίαν ἔχειν τῆς πίστεως ὑμῶν εἶπον τὸ, *φειδόμενος*· (γνώμης γὰρ ἡ πίστις καὶ προαιρέσεως, καὶ οὐδεὶς ἀναγκάζει πιστεῦσαι τὸν ἄκοντα·) ἀλλ' ἐπειδὴ *συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν*, διὰ τοῦτο εἶπον, *φειδόμενος ὑμῶν*. Τί δέ ἐστι τοῦτο, ὅρα. Εὐφραινόμενος, φησὶν, εἰς ὑμᾶς ἐγὼ, συνεργῶ ὑμῖν εἰς τὸ καὶ ὑμᾶς χαίρειν ἐπὶ τῇ ἐμῇ δι' ὑμᾶς εὐφροσύνῃ. Εἰ οὖν ἦλθον, διὰ τοὺς ἁμαρτήσαντας μηκέτι μὲν εὐφραινόμενος, πενθῶν δὲ, εἰς λύπην καὶ ὑμᾶς ἔβαλλον. Ἐφεισάμην οὖν καὶ ἀπέσχον τοῦ ἐλθεῖν, ἵνα μὴ πρόφασις ὑμῖν ἀθυμίας γένωμαι. *Τῇ γὰρ πίστει ἑστήκατε.*] Εἰπὼν, ὅτι *τῇ πίστει ἑστήκατε*, ἐμφαίνει, ὅτι καὶ ἐν ἄλλοις ἐσφάλλοντο, ἃ καὶ σαφηνίζει κατιὼν, ἤτοι ἐν τῷ τέλει τῆς ἐπιστολῆς.

ΚΕΦ. Β, 1 Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν
2 ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν. Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς,
καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος
3 ἐξ ἐμοῦ; Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ, ἵνα μὴ ἐλθὼν λύπην ἔχω, ἀφ' ὧν ἔδει με χαίρειν· πεποιθὼς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν.

Τὸ, *πάλιν*, δείκνυσι καὶ ἤδη λυπηθέντα αὐτὸν ἐπ' αὐτοῖς (1). *Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς.*] Ἐν τῷ, *Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς*, τὸ, Εἰ, ἀντὶ τοῦ, *εἴτε*, ἐκληφθείη, καὶ οὐδὲν ἀσαφὲς οὐδ' ἄπορον ἀπαντᾶται. Θεραπευτικὸς δὲ ὁ λόγος· φησὶ γάρ· Εἰ καὶ ἐγὼ λυπῶ ὑμᾶς ἐν τῷ ἐπιτιμᾶν ὑμῖν, καὶ ἀποστρέφεσθαι ὑμᾶς, πλὴν εὐφραίνομαι δι' αὐτὸ τοῦτο, ὅτι τοσοῦτον ὑμῖν ἐμοῦ μέλλει, ὥστε δάκνεσθαι ἐκ τῆς ἐμῆς ἀποστροφῆς καὶ λύπης. Τίς γάρ με, φησὶν, εὐφραίνει οὕτως, ὡς τῶν ἐγκαλουμένων ἡ αἴσθησις; τεκμηριοῖ γὰρ αὕτη τὴν ἐκ τῶν ἐγκλημάτων γινομένην ὠφέλειαν. *Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό.*] Ποῦ ἔγραψε, καὶ τί; Ἐν τῷ τέλει τῆς νῦν ἐπιστολῆς· ἔγραψε δὲ, τοὺς ἡμαρτηκότας ἐνάγων εἰς μετάνοιαν· μὴ ἐλθόντα γάρ με, φησὶ, πάλιν ταπεινώσει ὁ θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτησάντων, καὶ μὴ μετανοησάντων (1). Τοῦτο οὖν, φησὶ, προέγραψα, ἵνα διορθώσωνται. *Καὶ μὴ λύπην ἔχω ἀφ' ὑμῶν.*] Ἀφ' ὧν, κατορθούντων, χαίρειν ἔδει. *Πεποιθὼς ἐπὶ πάντας ὑμᾶς.*] Καὶ τοῦτο, φησὶ, βουλόμενος, οὐ χάριν τοῦ ἐμὲ μόνον εὐφρανθῆναι βούλομαι, ἀλλὰ καὶ ὑμᾶς· πέποιθα γὰρ, ὅτι ἡ διόρθωσις τῶν ἀδελφῶν, καὶ ἐμοὶ τίκτει χαρὰν, καὶ ὑμῖν· ἡ γὰρ ἐμὴ χαρὰ, πρόφασις γίνεται καὶ ὑμετέρας χαρᾶς· οὕτω με, φησὶν, ἀγαπᾶτε.

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας
ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυ-
πηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω
5 περισσοτέρως εἰς ὑμᾶς. Εἰ δέ τις λελύπηκεν, οὐκ
ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ
6 πάντας ὑμᾶς. Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕ-

(1) « Τὸ, πάλιν, δείκνυσιν αὐτὸν καὶ ἄλλοτε λυπηθέντα· οὐκ εἶπε δὲ φανερῶς, ὅτι ἐλυπήσατέ με καὶ ἄλλοτε· ἀλλ' ἑτέρως· ὅτι διὰ τοῦτο οὐκ ἦλθον, ἵνα μὴ πάλιν λυπήσω ὑμᾶς· ὃ τὴν αὐτὴν μὲν διάνοιαν ἔχει· διὰ τοῦτο γὰρ πάντως καὶ αὐτὸς ἐλύπει αὐτοὺς τοῖς ἐπιτιμίοις, ὅτι αὐτοὶ ἐλύπουν αὐτὸν τοῖς ἁμαρτήμασι· πλὴν οὐχ ὁμοίως ἦστι πληκτικόν. » Θεοφύλακτος. Ὁ δὲ Θεοδώρητος λέγει· « Τὸ, πάλιν, τῇ παρουσίᾳ, οὐ τῇ λύπῃ συνέζευκται. » (α) Β' Κορ. ΙΒ', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιος

7 τη, ἡ ὑπὸ τῶν πλειόνων· ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

Ἐπεὶ οὖν ἡ διόρθωσις τῶν ἀδελφῶν, κοινῆς χαρᾶς πρόξενος ἐστὶ, πάνυ αὐτῆς ἐρῶ, καὶ, μὴ γινομένης, ἀλγῶ καὶ τρύχομαι. Τοιγαροῦν τὰς ἐγκλήσεις καὶ ἐπιτιμήσεις, ἃς ἔγραψα, ἀπὸ θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν· καὶ οὐκ ἀπὸ θλίψεως ἁπλῶς, ἀλλὰ καὶ *πολλῆς*· οὐδὲ διὰ δακρύων ἁπλῶς, ἀλλὰ *διὰ πολλῶν, καὶ συνοχῆς καρδίας*· τουτέστιν, ἀπέπνιγε τὴν καρδίαν μου ἡ ἀθυμία, συνέχουσα καὶ στενοχωροῦσα, καὶ διὰ τοῦτο ἔγραψα· *οὐχ ἵνα λυπηθῆτε*· (τοῦτο γὰρ καὶ ἄλλως ἀνόητον·) ἀλλ' ἵνα πνευματικῶς καὶ ἐπὶ διορθώσει λυπηθῆτε. Ἀλλὰ τοῦτο μὲν οὐ λέγει· θεραπεῦσαι δὲ αὐτοὺς θέλων, φησίν· *ἵνα τὴν ἀγάπην μου γνῶτε*· τὸ γὰρ ἐμὲ ἀδημονεῖν καὶ κατατρύχεσθαι, ἐφ' οἷς ὑμεῖς ἁμαρτάνετε, δεῖγμα μεγίστης ἀγάπης ἐστί. *Περισσοτέρως εἰς ὑμᾶς.*] Πλεῖον τῶν λοιπῶν μου μαθητῶν ἀγαπῶ ὑμᾶς· καὶ γὰρ πολλοὶ πιστοὶ ἦσαν ἐκ Κορίνθου καὶ δόκιμοι. *Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους.*] Βούλεται διὰ τούτων, ἀγάπην κυρωθῆναι εἰς τὸν πεπορνευκότα, περὶ οὗ ἔγραψεν ἐν τῇ πρώτῃ ἐπιστολῇ· καὶ γὰρ πάντες ἦσαν αὐτὸν ἀποστραφέντες τῇ κελεύσει τοῦ Παύλου ὡς ἐδελυκτόν. Καὶ ὅρα τί ποιεῖ. Κοινωνοὺς αὐτοὺς ποιεῖται τῆς λύπης, ὡς κοινῇ πάντων λυπηθέντων ἐπὶ τῷ γενομένῳ, ἵνα καὶ τῆς διδομένης συγγνώμης γένωνται κοινωνοί· καὶ φησιν· *Εἰ δέ τις λελύπηκε*, τὸν πεπορνευκότα λέγων, *οὐκ ἐμὲ λελύπηκε μόνον, ἀλλὰ καὶ ὑμᾶς πάντας ἐν μέρει*· τοῦτο γὰρ τὸ, *ἀπὸ μέρους* (1)· *Ἐν μέρει* δὲ εἶπον, φησὶν, *ἵνα μὴ ἐπιβαρῶ*, τουτέστιν,

(1) « Ἐκ μέρους· τουτέστιν, ὀλίγον τι ἐλύπησεν, ἵνα μὴ λέγω, ὅτι παντελῶς ἐλύπησεν ὑμᾶς, διὰ τὸ μὴ ἐπιβαρῆσαι αὐτόν· ἐπεὶ τῇγε ἀληθείᾳ καὶ ὑμᾶς ὁμοίως ἐμοὶ ἐλύπησεν· ἀλλ' ὅμως, ἵνα μὴ ἐπιβαρήσω αὐτὸν τὸν πεπορνευκότα, ἐκ μέρους φημὶ, ὑμᾶς λυπηθῆναι. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιπαροξύνω κατ' αὐτοῦ πάντας ὑμᾶς. Ἢ οὕτω μεθ' ὑπερβατοῦ· Λελύπηκεν ὑμᾶς ἐν μέρει· τοῦτο δὲ εἶπον, ἵνα μὴ ἐπιβαρήσω τὸν πεπορνευκότα, τῷ λέγειν τοσοῦτον λαὸν αὐτὸν λελυπηκέναι.—*Ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς.*] Μεῖζόν τι εἰπεῖν ἠβουλήθη, καὶ δεῖξαι πᾶν τὸ σῶμα τῆς ἐκκλησίας κοινωνῆσαν τῆς λύπης· ἀλλὰ τοὺς ἄλλους πιστοὺς καταλιπὼν, τῶν Κορινθίων ἐμνημόνευσε μόνον· τοῦτο γὰρ δηλοῖ τὸ, *ἀπὸ μέρους*· καὶ, *ἵνα μὴ ἐπιβαρῶ*. Εἶτα τὴν πατρικὴν φιλοστοργίαν γυμνοῖ (Θεοδωρήτου).—*Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη.*] Διὰ τοῦτο τὸ ὄνομα αὐτοῦ οὔτε ἄνω, οὔτε ὧδε τίθησιν, αὐτοῦ φειδόμενος, μήπως τῇ ὀνομασίᾳ αὐτοῦ πάλιν ἀναζέσῃ ὁ κατ' αὐτοῦ τῶν Κορινθίων θυμός· οὐδὲ μέμνηται οὐδαμοῦ τῆς ἁμαρτίας. *Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι.*] Μὴ μόνον, φησὶ, λύσατε τὴν ἐπιτίμησιν, ἀλλά τι καὶ πλέον αὐτῷ χαρίσασθε· καὶ *παρακαλέσατε* αὐτὸν, τουτέστιν, ἀνακτήσασθε, θεραπεύσατε, καὶ ἐν τῇ προτέρᾳ ἔχετε τάξει· ἐναντίον γὰρ ἡ παράκλησις τῆς ἐπιτιμήσεως. Ὅρα δὲ· ἵνα μὴ νομίσῃ ὁ πεπορνευκὼς, ὅτι ἀφείθη, ὡς ἱκανῶς ἐξομολογησάμενος, καὶ μετανοήσας ἀρκούντως, καὶ τοῦ λοιποῦ ῥᾳθυμότερος γένηται, δείκνυσιν, ὅτι οὐ τοσοῦτον ἀπὸ τῆς μετανοίας, ὅσον ἀπὸ τῆς αὐτῶν χάριτος, λαμβάνει τὴν ἄφεσιν. *Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.*] Εἰ καὶ μὴ ἄξιος, φησὶν, ἐστὶ λαβεῖν κατὰ ὀφειλὴν τὴν συγγνώμην, ὅμως χαρίσασθε αὐτῷ, *μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ*, τουτέστιν, ἵνα μὴ καταποθῇ ὥσπερ ὑπό θηρίου τινὸς, ἢ ὑπὸ χειμῶνος καὶ κλύδωνος, τῆς λύπης· καὶ ἢ εἰς ἀγχόνην ἥξῃ, ὡς ὁ Ἰούδας, τῇ ἀπογνώσει, ἢ ἀποσκιρτήσῃ, μὴ φέρων τὴν ἀπὸ τῆς ἀμέτρου ἐπιτιμήσεως ὀδύνην. *Ἢ, καταποθῇ* ὑπὸ τοῦ σατανᾶ· δηλοῖ δὲ αὐτοῦ ἄφθονον τὴν λύπην.

8 Διὸ παρακαλῶ ὑμᾶς, κυρῶσαι εἰς αὐτὸν ἀγάπην.
9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν
10 ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. Ὧ δέ τι χαρίζε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθε, καὶ ἐγώ· καὶ γὰρ ἐγὼ, εἴτι κεχάρισμαι, ᾧ
11 κεχάρισμαι, δι' ὑμᾶς, ἐν προσώπῳ Χριστοῦ· ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

Οὐκέτι ὡς διδάσκαλος κελεύει, ἀλλ' ὡς συνήγορος δικαζὰς παρακαλεῖ, *Κυρῶσαι*, τουτέστι, *βεβαιῶσαι, εἰς αὐτὸν ἀγάπην*, καὶ μὴ ἁπλῶς, ἀλλὰ παγίως. Μεγίστην δὲ τοῦτο δείκνυσι καὶ τὴν Κορινθίων ἀρετὴν, ὅτι οὕτω μετεβλήθησαν, ὥστε, ἐφ' ᾧ πρότερον ἐφυσιοῦντο· (καὶ ὑμεῖς γάρ, φησι, πεφυσιωμένοι ἐστέ (α)·) νῦν ἔχθραν ἄσπονδον ἔχειν. *Εἰς τοῦτο γὰρ ἔγραψα.*] Τουτέστι, διὰ τοῦτο ἔγραψα ὑμῖν ταῦτα, *ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν*, τὴν ἐν τῇ ὑπακοῇ δηλονότι, τουτέστι, τὴν ἀρετὴν τὴν ἐν τῇ ὑπακοῇ, εἰ ἄρα, ὥσπερ ἠκούσατέ μου καὶ ἀπεκόψατε ἑαυτοὺς ἀπ' αὐτοῦ, οὕτω μου ἀκούσεσθε καὶ εἰς τὸ δέξασθαι αὐτόν· τοῦτο γὰρ λέγει· *Εἰ εἰς πάντα ὑπήκοοί ἐστε·* καίτοι οὐ μόνον διὰ τὴν ἐκείνου σωτηρίαν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ, ἔγραψεν, ἀλλὰ καὶ προτρέψασθαι αὐτοὺς πρὸς τὸ πεισθῆναι βούλεται. *Ὧ δέ τι χαρίζεσθε, καὶ ἐγώ.*] Ὅρα· αὐτοὺς μὲν ἐν πρωτοτύπῳ τέταχεν, ἑαυτὸν δὲ ἐν παρεπομένῳ, λέγων, ὅτι ᾧ χαρίζεσθε ὑμεῖς, τούτῳ καὶ ἐγὼ χαρίζομαι. *Καὶ γὰρ ἐγὼ, εἴτι κεχάρισμαι, ᾧ κεχάρισμαι.*] Εἶτα, ἵνα μὴ, ἀκούσαντες, *ᾧ δέ τι χαρίζεσθε*, κύριοι νομίσωσιν εἶναι τοῦ ἀπολύειν, καὶ μὴ, καὶ διὰ τοῦτο ἀμελήσωσι τοῦ ἀπολῦσαι τὸν ἄνθρωπον, δείκνυσιν αὐτοῖς, ὅτι ἤδη αὐτὸς ἐχαρίσατο τῷ τοιούτῳ, ὥστε μηκέτι δύνασθαι αὐτοὺς ἀντιδιατάξεσθαι αὐτῷ. Ἵνα δὲ μὴ πληγῶσιν, ὡς παροφθέντες, φησί· *δι' ὑμᾶς* αὐτῷ κεχάρισμαι· ἤδειν γὰρ χαριζόμενος καὶ ὑμῖν ἐκ τούτου. Εἶτα, ἵνα μὴ νομισθῇ δι' ἀνθρώπους συγκεχωρηκέναι, ἐπάγει· *Ἐν προσώπῳ Χριστοῦ*· τουτέστι, κατὰ Χριστὸν τοῦτο ἐποίησα, ὡς καὶ ἐπ' ὄψεσι

(α) Α' Κορ. Ε, 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστοῦ ἔπραξα τὸ τοιοῦτο. Ἢ, Ἐν προσώπῳ Χριστοῦ, τουτέστιν, εἰς δόξαν Χριστοῦ, ἵνα αὐτοῦ τὸ ὄνομα καὶ τὸ πρόσωπον ἐπὶ φιλανθρωπίᾳ δοξασθῇ· καὶ γὰρ δόξα Χριστοῦ, τὸ τῶν μαθητῶν αὐτοῦ φιλάνθρωπον. Εἰ οὖν εἰς δόξαν Χριστοῦ γίνεται τὸ γινόμενον, πῶς δύνασθε ὑμεῖς μὴ συγγνῶναι καὶ μὴ δέξασθαι αὐτόν;—ΑΛΛΩΣ. Τὸ, Ἐν προσώπῳ Χριστοῦ, ἢ εἰς δόξαν Χριστοῦ, ἤ, ὡς τοῦ Χριστοῦ καὶ τοῦτο κελεύοντος, ὃ μάλιστα αὐτοὺς ἔπειθεν. —*Ἵνα μὴ πλεονεκτηθῶμεν.*] Τοῦτο δὲ λέγω, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ. Εἰ γὰρ εἰάθη οὕτω, καὶ ἐκ τῆς περισσοτέρας λύπης κατεπόθη, ἐμέλλομεν πλεονεκτεῖσθαι ὑπὸ τοῦ διαβόλου· τὸ μὴ αὐτοῦ γὰρ λαμβάνων, ἐμείου τὴν ποίμνην τοῦ Χριστοῦ, καὶ τοῦ σώματος ἡμῶν ἀφῃρεῖτο· πάντες γὰρ ἀλλήλων μέλη ἐστέ, φησιν. *Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.*] Ὅτι δηλαδὴ ποικίλα καὶ δολερὰ καὶ κακομήχανα. Οὐ γὰρ μόνον ἐκ τοῦ εἰς πορνείαν ἐμβάλλειν ὑποσκελίζει, ἀλλὰ καὶ ἐκ τῆς ἐπὶ τῇ μεταμελείᾳ λύπης δύναται εἰς ἀπόγνωσιν κρημνίσαι, ὅταν ἄμετρος ᾖ. Ὅταν οὖν καὶ ἐξ ὧν μεταμελόμεθα, καὶ ἐξ ὧν ἁμαρτάνομεν, ἀλώσιμοι αὐτῷ ἐσμὲν, πῶς οὐχὶ πλεονεκτούμεθα;

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς δι' αὐτοῦ θείας ὠφελείας τοῖς ἐπιτηδείοις, δι' ἧς καὶ συνίστασθαί φησιν.

12 Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν
13 με Τίτον, τὸν ἀδελφόν μου· ἀλλὰ ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς Μακεδονίαν.

[Εἶπεν ἀνωτέρω, ὅτι θλῖψις αὐτῷ ἐγένετο ἐν τῇ Ἀσίᾳ, καὶ ἔδειξε, πῶς ἀπηλλάγη ταύτης· νῦν πάλιν διδάσκει, ὅτι καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑτέρως ἐθλίβη, τῷ μὴ εὑρεῖν Τίτον. Ὅταν γὰρ ὁ παραμυθούμενος μὴ ᾖ, δεινότερος ὁ πειρασμός. Ὥστε τί μοι μέμφεσθε τῆς βραδύτητος, τοσαύταις ἀνάγκαις περιπεσόντι, οὐκ ἐώσαις ἡμᾶς, ὡς βουλόμεθα, ἀποδημεῖν (α);] *Εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.*] Οὐχ ἁπλῶς φησὶν ἐπιδημῆσαι τῇ Τρωάδι, ἀλλ' *εἰς τὸ εὐαγγέλιον*, τουτέστιν, ἐπὶ τὸ κηρύξαι αὐτό. *Καὶ θύρας μοι ἀνεῳγμένης.*] Θέλει εἰπεῖν, ὅτι πρὸς τοῖς πειρασμοῖς, καὶ ἡ ἀπουσία Τίτου αὐτὸν ἔθλιβε, δεικνὺς, ὅσον ἐστὶν ἀδελφοῦ στερεῖσθαι. Πλὴν οὐκ εἶπεν, *οὐκ ἐκήρυξα*, ἤγουν, τῆς σωτηρίας τῶν προσιόντων τῇ πίστει οὐκ ἐφρόντισα, ἀλλ', *οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου*, τουτέστιν, ἐλυπούμην καὶ ἠδημόνουν διὰ τὴν ἀπουσίαν τούτου· τὸ μέντοι κήρυγμα οὐ παρὰ τοῦτο ἐνεποδίζετο. Καὶ τοσαύτη ἦν, φησὶ, λύπη, ὅτι *καὶ θύρας μοι ἀνεῳγμένης*, τουτέστι, καὶ μαθητῶν εὐπορῶν, καὶ τοῦ λόγου τρέχοντος, ὅμως ἤλγουν ἐπὶ τῇ ἀπουσίᾳ Τίτου. Δείκνυσι δὲ διὰ τούτων, τοῦ Τίτου τὸ χρήσιμον, ὅτι χωρὶς ἐκείνου, καίτοι θύρας ἀνεῳγμένης, ὅμως οὐκ εἶχεν ἄνεσιν, διὰ τὸ μὴ παρεῖναι αὐτόν. Τοῦτο δὲ λέγει, καὶ τὸν Τίτον τοῖς Κορινθίοις συνιστῶν· (ἔμελλε γὰρ πάλιν ἀποστέλλειν αὐτὸν πρὸς αὐτούς·) καὶ τὴν οἰκείαν περὶ αὐτοὺς σπουδὴν ἐνδεικνύς· ὅτι καί πως οὕτω χρησιμεύοντος ἐν τῷ κηρύγματι καὶ ἐν πᾶσι τοῦ Τίτου, ὅμως αὐτὸς ἐκείνων τὸ συμφέρον προκρίνει· διὸ καὶ ἀπέστειλε, καὶ ἀποστελεῖ αὐτὸν, καίτοι πολλὰ χρῄζων αὐτοῦ τῆς παρουσίας. *Ἀλλὰ ἀποταξάμενος αὐτοῖς.*] Τὸ, *ἀποταξάμενος*, οὐκ ἔστι τὸ, Ἑλόμενος μὴ κηρύξαι αὐτοῖς, ἄπαγε! (οἷον γὰρ ἦν, εἰ διὰ τὴν ἀπουσίαν Τίτου ἐνεποδίσθη τὸ κήρυγμα;) ἀλλ' ἀντὶ τοῦ· Οὐ τοσοῦτον ἐπιμείνας πρὸς αὐτοὺς χρόνον, ὅσον ἤθελον ἐκεῖνοι. Τοῦτο μὲν ἴσως καὶ τοῦ πνεύματος ἐπιτρέψαντος, πλὴν ἐποίει τι καὶ ἡ ἀπουσία Τίτου. Ἴσως δὲ καὶ χρειώδης ἦν αὐτῷ τῷ κηρύγματι ὁ Τίτος.

(α) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

14 Τῷ δὲ θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς
ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ
15 φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ· ὅτι Χριστοῦ
εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν
16 τοῖς ἀπολλυμένοις· οἷς μὲν, ὀσμὴ θανάτου εἰς θά-
νατον· οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν. Καὶ πρὸς ταῦτα
17 τίς ἱκανός; Οὐ γὰρ ἐσμὲν, ὡς οἱ πολλοὶ (1), κα-
πηλεύοντες τὸν λόγον τοῦ θεοῦ· ἀλλ' ὡς ἐξ εἰλι-
κρινείας, ἀλλ' ὡς ἐκ θεοῦ, κατενώπιον τοῦ θεοῦ,
ἐν Χριστῷ λαλοῦμεν.

Εἶτα, ἐπειδὴ πολλὰς κατέλεξε λύπας, τὰς ἐν Ἀσίᾳ, τὰς ἐν Τρωάδι, τὴν δι' αὐτὸ τὸ μὴ ἐλθεῖν πρὸς αὐτούς· ἵνα μὴ νομίσωσι ταῦτα ὀλοφυρομένου εἶναι τὰ ῥήματα, ἐπάγει· *Τῷ δὲ θεῷ χάρις, τῷ θριαμβεύοντι ἡμᾶς·* τουτέστιν· Εὐχαριστοῦμεν τῷ Θεῷ, τῷ φανεροῦντι ἡμᾶς, καὶ περιφανεῖς καὶ καταδήλους ποιοῦντι, διὰ τοῦ *πάσχειν κακῶς·* φανεροῦντι δὲ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τῶν κατὰ τοῦ διαβόλου νικῶν καὶ τροπαίων· τοῦτο γὰρ ὁ θριαμβος βούλεται· ἐν γὰρ τῷ πάσχειν κακῶς αἱ κατὰ τοῦ διαβόλου νίκαι συνίστανται· ὅσον γάρ τις πλεῖον πάσχει, πλεῖον νικᾷ. *Ἐν τῷ Χριστῷ.*] Οἷον, διὰ τὸν Χριστὸν, καὶ διὰ τὸ κήρυγμα. *Καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι.*] Ἡ ὀσμὴ τῆς γνώσεως δύο δηλοῖ· ὅτι τε τὸ κήρυγμα οὐράνιόν ἐστι μύρον, καὶ ὅτι οὐκ ἀνακεκάλυπται πᾶσι καὶ πρόδηλόν ἐστιν· ἡ γὰρ παροῦσα γνῶσις οὐ σφόδρα σαφής· ὅπερ καὶ ἀλλαχοῦ φησίν· Ἄρτι βλέπομεν δι' ἐσόπτρου ἐν αἰνίγματι (α). Ὥσπερ οὖν ἡ ὀσμὴ δηλοῖ μὲν εἶναί που μύρον, τὴν δὲ οὐσίαν αὐτὴν οὐ δηλοῖ τοῦ πνέοντος, οὕτω καὶ ἡ διὰ τοῦ κηρύγματος γνῶσις δηλοῖ μὲν καὶ διδάσκει, εἶναι θεὸν, ὁποῖος δὲ τὴν οὐσίαν, οὐκέτι. *Φανεροῦντι δι' ἡμῶν.*] Θυμιατήριον γάρ, φησὶν, ἐσμὲν τοῦ μύρου τούτου καὶ οὐρανίου θυμιάματος, τὴν ὀσμὴν αὐτοῦ περιφέροντες πανταχοῦ. *Ὅτι Χριστοῦ εὐωδία*

(1) Παρ' ἄλλοις ἀναγινώσκεται, ὡς οἱ λοιποί. (α) Α' Κορ. ΙΓ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐσμέν.] Οὐ μόνον, φησίν, εὐωδίαν κηρύσσομεν, ἀλλὰ καὶ ἡμεῖς οἱ ἀπόστολοι εὐωδία ἐσμέν, Χριστῷ τῷ θεῷ οἷον ἀναφερομένη. Πῶς; Ἢ ἑαυτοὺς ἱερουργοῦντες, ἢ ἀπὸ τῶν ἔξωθεν καθ' ἡμέραν ἀποθνήσκοντες, καὶ εἰς ἱερεῖα λογιζόμενοι Χριστοῦ. *Ἐν τοῖς σῳζομένοις.*] Εὐωδία τοιγαροῦν ἐσμὲν, καὶ εὐωδίαν κηρύσσομεν, κἂν τις ἐκ τούτου σώζηται διὰ τὴν πίστιν, κἂν τις ἀπόλλυται δι' ἀπιστίαν. Ὥσπερ γὰρ ὁ ἥλιος καὶ τὸ μέλι, τοῖς ἀμβλυώττουσι καὶ τοῖς κακουμένοις, οὐ κατὰ τὴν οἰκείαν ὁρᾶται φύσιν· ἀλλ' οὐ παρὰ τοῦτο ἡ σκοτεινὸς ἐκεῖνος ἢ τὸ μέλι πικρόν· οὕτω καὶ τὸ κήρυγμα καὶ ἡμεῖς, κἂν ἀπόλλυνταί τινες τῇ ἀπιστίᾳ, οὐ παρὰ τοῦτο οὐκ ἔστι πνευματικὸν μύρον· ἀλλὰ καὶ κατὰ τοῦτό ἐστι θαυμάσαι, ὅτι τοὺς κακοὺς ἐλέγχει· ἐπεὶ καὶ τὸ μύρον τοὺς χοίρους πνίγειν λόγος, καὶ τὸ πῦρ τὰς ἀκάνθας ἀναλίσκει. Ἄν τε γὰρ σώζηταί τις, φησὶν, ἄν τε ἀπόλλυται, τὸ εὐαγγέλιον τὴν οἰκείαν ἀρετὴν μένει ἔχον· οὐ γὰρ αὐτοῦ ἔργον ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. *Οἷς μὲν, ὀσμὴ θανάτου, εἰς θάνατον.*] Οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν αὐτῶν κακίαν· ἐπεὶ καὶ ὁ Χριστὸς, λίθος ἦν προσκόμματος καὶ πέτρα σκανδάλου τοῖς ἀπολλυμένοις (α).—ΑΛΔΩΣ. Κατὰ τὴν προσοῦσαν ἑκάστῳ διάθεσιν, ἢ ζωοποιὸς ἐγίνετο, ἢ θανατηφόρος ἡ εὔπνοια· ὥσπερ τὸ αὐτὸ μύρον εἰ καθάρῳ καὶ περιστερᾷ προτεθείη, οὐ ταὐτὸν ἐφ' ἑκατέρων ἐργάζεται· ἀλλ' ἡ μὲν περιστερὰ, ῥωμαλεώτερα διὰ τῆς εὐπνοίας τοῦ μύρου γίνεται· ὁ δὲ κάνθαρος, φθείρεται· οὕτω καὶ ὁ Παῦλος, τὸ θεῖον ἐκεῖνο θυμίαμα, εἰ μέν τις ἦν περιστερὰ, κατὰ Τίτον ἢ Σιλουανὸν ἢ Τιμόθεον, συμμετεῖχεν αὐτῷ τῆς εὐωδίας τοῦ βίου, προκόπτων ἐν παντὶ καλῷ, τοῖς κατ' αὐτὸν ὑποδείγμασιν· εἰ δὲ Δημᾶς τις ἦν, ἢ Ἀλέξανδρος, ἢ Ἑρμογένης (β), οὐ φέροντες τὸ τῆς ἐγκρατείας θυμίαμα, κανθάρων δίκην ὑπὸ

(α) Ῥωμ. Θ', 33.

(β) Β' Τιμ. Δ', 10. Α' Τιμ. Α', 20. Β' Τιμ. Α', 14. Β' Τιμ. Α' 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς εὐωδίας ἐφυγαδεύοντο (Γρηγορίου Νύσσης).—*Καὶ πρὸς ταῦτα τίς ἱκανός;*] Ἆρα πρὸς τὴν τοσαύτην χάριν δοκεῖτε ὑμᾶς ἱκανοὺς εἶναι, ὡς εἶναι εὐωδίαν Χριστοῦ; Οὐμενοῦν· ἀλλὰ τὸ ὅλον τῆς χάριτός ἐστιν. *Οὐ γὰρ ἐσμὲν, ὡς οἱ πολλοί.*] Τοὺς ψευδαποστόλους ἐνταῦθα αἰνίττεται· οἳ τὴν τοῦ θεοῦ χάριν, οἰκεῖον ἔφασκον κατόρθωμα· καί φησιν, ὅτι διὰ τοῦτο εἶπον, *τίς ἱκανὸς*, καὶ τῷ θεῷ τὸ πᾶν ἀνατέθεικα· διότι οὐκ εἰμὶ, *ὡς οἱ πολλοὶ*, τουτέστιν, οἱ ψευδαπόστολοι, καπηλεύων καὶ νοθεύων τὴν δωρεὰν τοῦ θεοῦ· ὅταν γὰρ ὁ θεὸς δῶ δωρεὰν, λέγει δέ τις ἀπὸ οἰκείων πόνων αὐτὴν κεκτῆσθαι, νοθεύει τὴν χάριν τοῦ θεοῦ. Ἢ τοῦτό φησι· Διὰ τοῦτο τοῖς μὲν ἀπολλυμένοις, ὀσμὴ ἐσι θανάτου· τοῖς δὲ σωζομένοις, ὀσμὴ ζωῆς, ἐπειδὴ οὐ καπηλεύομεν τὸν λόγον, ὡς καί τινες συμμεταβάλλοντες αὐτὸν τοῖς καιροῖς καὶ τοῖς προσώποις, αἰσχροῦ κέρδους χάριν, ἀλλὰ τὴν ἀλήθειαν κηρύσσομεν· ἵνα καὶ οἱ ἄξιοι σωθῶσι, καὶ οἱ ἀνάξιοι τῇ οἰκείᾳ ἀπιστίᾳ ἀπόλωνται. *Καὶ γὰρ ἐξ εἰλικρινείας λαλοῦμεν, ἃ ἴδομεν καὶ ἠκούσαμεν παρὰ τοῦ Χριστοῦ. Ἀλλ' ὡς ἐκ θεοῦ.*] Ἀλλ' ὡς ἐκ θεοῦ λαβόντες καὶ μαθόντες, καὶ ὡς ἐνώπιον τοῦ θεοῦ λαλοῦντες, καὶ ὡς *ἐν Χριστῷ*, τουτέστι, διὰ Χριστοῦ κατηχούμενοι καὶ διδασκόμενοι, λαλοῦμεν. Βαβαὶ πόσην ἀλήθειαν τῷ κηρύγματι ἐμαρτύρησεν!

ΚΕΦ. ΙΙΙ, 1 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν;
εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν
2 πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν; Ἡ ἐπιστολὴ
ἡμῶν ὑμεῖς ἐστὲ, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις
ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάν-
3 των ἀνθρώπων· φανερούμενοι, ὅτι ἐστὲ ἐπιστολὴ
Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη
οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν
πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.

Ἀρχόμεθα *πάλιν ἑαυτοὺς συνιστάνειν;*] Ἐπειδὴ μεγάλα περὶ ἑαυτοῦ ἐφθέγξατο, ἴσως ἐρεῖ τις, φησὶν, ὅτι ταῦτα διεξερ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χόμεθα, βουλόμενοι ὑμῖν ἑαυτοὺς συνιστᾷν καὶ παρατίθεσθαι. Ταύτην οὖν τὴν ἀντίθεσιν λύει διὰ τῶν ἑξῆς. *Εἰ μὴ χρήζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν;*] Κατ' ἐρώτησιν ἀνάγνωθι· Ἆρα μὴ χρήζομεν ἢ ἀφ' ὑμῶν πρὸς ἑτέρους, ἢ ἀφ' ἑτέρων πρὸς ὑμᾶς *συστατικῶν*, τουτέστι, παραθετικῶν, *ἐπιστολῶν*; Διὰ τούτου δὲ τοὺς ψευδαποστόλους αἰνίττεται, οἳ, μὴ ἔχοντες ἐκ τῶν οἰκείων ἔργων γνωρίζεσθαι, συστατικὰς ἐπιστολὰς πλάττοντες, διεκόμιζον οἷς ἂν ἤθελον, διὰ τούτων συνιστώμενοι καὶ γνωριζόμενοι. *Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ.*] Ἀντὶ ἐπιστολῆς, φησί, δυναμένης ἡμᾶς παραθέσθαι, ὑμᾶς ἔχομεν, καὶ τὴν ὑμῶν κατὰ θεὸν εὐδοκίμησιν· δεῖγμα γὰρ ἀρετῆς διδασκάλου, ἡ τῶν μαθητῶν εὐδοκίμησις. Οἱ οὖν πρὸς ἄλλους ὑμᾶς ἔχοντες εἰς λόγον συστάσεως, οὐκ ἂν πρὸς ὑμᾶς συστάσεως ἐδεήθημεν. *Ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν.*] Ἐν νῷ γὰρ ὑμᾶς ἔχοντες, φησίν, ὡς καὶ ἐγγεγράφθαι ἡμῖν δοκεῖν διὰ τὸ ἀνεξάλειπτον, πανταχοῦ περιφέρομεν ὑμᾶς, καὶ ἐκ τῆς ὑμῶν ἀρετῆς ἔχομεν παρ' ἑτέροις σύστασιν· ὅπερ φησὶ καὶ ἐν τῇ πρώτῃ ἐπιστολῇ· *Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ* (α). *Γινωσκομένη καὶ ἀναγινωσκομένη.*] Τῷ πανταχόσε ὑμᾶς περιφέρειν τῇ μνήμῃ. Διὰ οὖν τῆς ἀναγνώσεως γινώσκεσθε· *ἀνάγνωσιν* δὲ καλεῖ, τὴν αὐτοῦ περὶ αὐτῶν ὁμιλίαν καὶ μνήμην. *Ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ.*] Πῶς; Τῷ τὸν νόμον αὐτοῦ καὶ τὰς ἐντολὰς γραμμάτων δίκην μένειν παρ' ὑμῖν, καὶ φυλάττεσθαι. *Διακονηθεῖσα ὑφ' ἡμῶν.*] Ἡμεῖς τῆς γνώσεως καὶ τοῦ κηρύγματος τούτου διάκονοι εἰς ὑμᾶς ἐγενόμεθα. Καὶ ὥσπερ Μωϋσῆς διάκονος τοῦ νόμου γέγονεν, οὕτω καὶ ἡμεῖς τῆς ὑμετέρας εἰς τὸ κήρυγμα πίστεως διάκονοι ἐγενόμεθα· καὶ ὥσπερ ἐκεῖνος τὰς πλάκας ἐλάξευσεν (β), οὕτω καὶ ἡμεῖς τὰς ὑμῶν καρδίας. Εἶτα ἐκ τούτου εἰς σύγκρισιν ἦλθε τοῦ παλαιοῦ νόμου καὶ τῆς νέας

(α) Α' Κορ. Θ', 2. (β) Ἐξοδ. ΚΔ', 12, ΛΔ', 18. ΛΔ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαθήκης, καί φησιν· ἐκεῖνος μὲν μέλανι, αὕτη δὲ πνεύματι ἐγγέγραπται· ἐκεῖνος, ἐν λίθοις, αὕτη δὲ, *ἐν σαρκίναις πλαξίν*, οἷον, ἐν καρδίαις· ὅσῳ δὲ τὸ πνεῦμα, τοῦ μέλανος, καὶ τοῦ λίθου, *ἡ καρδία διαφέρει*, τοσούτῳ, φησὶ, καὶ ἡ Νέα, τοῦ νόμου καὶ τῆς Παλαιᾶς.

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ
5 πρὸς τὸν θεόν· οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν, λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης
6 ἡμῶν ἐκ τοῦ θεοῦ· ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.

Εἶτα, ἐπειδὴ μετὰ τὸ δεῖξαι τὴν Νέαν μείζονα τοῦ νόμου καὶ τῆς Παλαιᾶς συνυπηκούετο, κατὰ τὸ ἀκόλουθον, καὶ τοῦ διακόνου τῆς παλαιᾶς Μωσέως μείζους εἶναι τοὺς διακόνους τῆς Νέας, τοὺς ἀποστόλους· (ἐφ' ὧν γὰρ τὰ πράγματα μείζονα, ἐπὶ τούτων καὶ οἱ διάκονοι·) ὅλον τῷ θεῷ ἀνατίθησι τὸ πρᾶγμα, καί φησι· *Πεποίθησιν δὲ τοιαύτην ἔχομεν.*] Ὑπερβατόν· *ὅτι ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ*, καὶ τὰ λοιπὰ διὰ μέσου. Θαῤῥοῦμεν, φησὶ, καὶ πεποίθαμεν εἰς τὸν θεὸν, διὰ Χριστοῦ τὸ θαῤῥεῖν ἔχοντες, ὅτι ἡμεῖς μὲν, οὐχ ἱκανοί ἐσμεν τοσαύτῃ διακονίᾳ ὑπηρετήσασθαι, ἀλλ' οὐδὲ ἐν νῷ λαβεῖν τοῦ πράγματος τὸ μέγεθος, ἢ ὅλως λογίσασθαί τι ἐν αὐτῷ· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν· *Οὐ γὰρ ἐσμὲν ἱκανοὶ λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν. Ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ.*] Ὅτι ὁ θεὸς ηὐδόκησεν, ἡμᾶς ἱκανοὺς γενέσθαι τῷ τηλικούτῳ πράγματι. *Οὐ γράμματος, ἀλλὰ πνεύματος.*] Ὁ γὰρ νόμος γράμματα ἔφερε· τὸ δὲ τοῦ Χριστοῦ κήρυγμα, πνεύματος ἐπιφοίτησιν. Ἦν μὲν γὰρ καὶ ὁ νόμος πνευματικὸς (α), τουτέστιν, ὑπὸ πνεύματος δοθείς, ἀλλ' οὐ πνεῦμα ἐχαρίζετο,

(α) Ῥωμ. Ζ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπερ ποιεῖ τὸ κήρυγμα· ὡς εἰ ἔλεγεν· Ἡμεῖς οὐ γράμματα ἐπιστεύθημεν, ὡς ὁ Μωσῆς, ἀλλὰ πνεύματος χορηγίαν· διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων ἐπιφοίτησις ἐγίνετο πνεύματος ἁγίου (α). *Τὸ γὰρ γράμμα ἀποκτείνει.*] Ὁ νόμος, φησίν, ἀποκτείνει· ἐάν γάρ λάβῃ τινὰ πλημμελοῦντα, ἀναιρεῖ αὐτόν (1)· παραβὰς γάρ τις, φησί, νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει (β). *Τὸ δὲ πνεῦμα ζωοποιεῖ.*] Νενεκρωμένους γὰρ ταῖς ἁμαρτίαις λαμβάνων, ἐν τῷ βαπτίσματι ζωοποιεῖ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς κατὰ πνεῦμα λειτουργίας, καὶ δόξης θειοτέρας τῆς κατὰ τὸν νόμον.

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντε-
τυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ
δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρό-
σωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐ-
8 τοῦ, τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ δια-
9 κονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; Εἰ γὰρ ἡ
διακονία τῆς κατακρίσεως, δόξα· πολλῷ μᾶλλον
10 περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. Καὶ
γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ
11 μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. Εἰ γὰρ τὸ
καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μέ-
νον, ἐν δόξῃ.

Διδάξας ἐν τοῖς ἄνω τὴν διαφορὰν τῆς Νέας ὡς πρὸς τὴν Παλαιὰν, τῷ ἐκείνην μὲν ἐν λίθοις καὶ ἐν μέλανι, ταύτην δὲ ἐν πνεύματι καὶ ἐν καρδίαις γεγράφθαι· καὶ ἀποκτείνειν μὲν ἐκείνην, ζωοποιεῖν δὲ ταύτην· νῦν θέλει δεῖξαι, ὅτι καὶ ἐν δόξῃ μείζων ἡ Νέα. Καὶ ἐπειδὴ ἡ Παλαιὰ αἰσθητὴν εἶχε δόξαν, τὴν

(α) Πραξ. Η, 17. Ἀριθ. ΙΕ, 32-36.

(1) Ὡς τὸν τὰ ξύλα ἐν σαββάτῳ συλλέξαντα.

(β) Εβρ. Ι, 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ προσώπου Μωσέως· ἡ δὲ Νέα, νοητὴν, ἣν οὐδεὶς αἰσθητῶς ὁρᾷ· ἀπὸ συλλογισμοῦ τὴν ὑπεροχὴν τῆς τοῦ εὐαγγελίου δόξης δείκνυσι. Καὶ ὅρα· εὐθέως *διακονίαν* αὐτὴν λέγει *θανάτου*, καὶ ἐν γράμμασι καὶ ἐν λίθοις ἐντετυπωμένην· ὡς εἰ ἔλεγεν· Οὐκ ἦν βοήθειά τις ἐκεῖ, ἡ ἄφεσις, ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἀλλὰ γράμματα μόνον, καὶ τιμωρία ἀνεξάλειπτος, ἅτε ἐν λίθοις ἐγκεκολαμμένη. *Διακονίαν* δὲ *θανάτου*, τὸν νόμον λέγει. Καὶ ὅρα· οὐκ εἶπε, ποινητικὸν εἶναι θανάτου· (ου γὰρ αὐτὸς ὤθει πρὸς ἁμαρτίαν ἡ θάνατον·) ἀλλὰ *διακονίαν*, διάκονον· διηκόνει γὰρ τῷ νομοθέτῃ, καὶ τοὺς ἀξίους θανάτου ὁ νόμος ἐθανάτου. Εἰ τοίνυν ὁ νόμος, τοιοῦτος ὢν, *ἐγενήθη ἐν δόξῃ*· πόσῳ μᾶλλον ἡ χάρις, ἡ ἀσυγκρίτως ὑπερέχουσα;—Τὴν διακονίαν τοῦ νόμου, *διακονίαν τοῦ θανάτου* προσηγόρευσεν, ἐπειδὴ τοὺς παραβαίνοντας ὁ νόμος ἐκόλαζεν. Εἰ τοίνυν, φησὶν, ἔνθα τιμωρία, καὶ θάνατος, καὶ γράμματα, λίθοις ἐγκεκολαμμένα, τοσαύτην ὁ ταῦτα κομίζων ἐν τῷ προσώπῳ δόξαν ἐδέξατο, ὡς μὴ φέρειν τοὺς ὁρῶντας τὴν αἴγλην τὴν ἐκεῖθεν ἐκπεμπομένην· πολλῷ μᾶλλον οἱ τῷ θείῳ διακονοῦντες πνεύματι, πλείονος ἀπολαύουσι δόξης (Θεοδωρήτου). —*Ὥστε μὴ δύνασθαι ἀτενίσαι.*] Ὑπαίρει τὴν τοῦ νόμου δόξαν, ἵνα πλέον αὐξήσῃ τὴν τῆς Νέας· ἢ ὅτι τοῦτο κατηγορία ἐστὶν Ἰουδαίων· οὕτω γὰρ, φησὶν, ἦσαν παχεῖς, ὡς μηδὲ τὴν αἰσθητὴν δόξαν ἱκανοὺς εἶναι ὁρᾷν. *Διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ.*] Ἄνω ἐπῆρας τὴν τοῦ νόμου δόξαν, νῦν ῥῆμα καθαιρεῖ αὐτὴν· οὐ γὰρ ὁ νόμος εἶχε τὴν δόξαν, ἀλλ' ὁ Μωσῆς. Καὶ ὁ Μωσῆς δὲ, οὐ μένουσαν εἶχε δόξαν, ἀλλὰ *καταργουμένην*, τουτέστι, παυομένην. Ἐπειδὴ γὰρ ἄνω ἐπῆρε τὰ κατὰ τὸν νόμον, νῦν αὐτὰ καθαιρεῖ, ἵνα συγκαθέλῃ τὰ Ἰουδαϊκά. *Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος;*] Ὥσπερ *διακονίαν θανάτου*, τὸν νόμον ἐκάλεσεν, οὕτω, κατὰ τὸ ἀκόλουθον, ὤφειλε τὴν Νέαν καλέσαι, διακονίαν ζωῆς· ἀλλὰ τοῦτο μὲν σιωπᾷ, τὸ μεῖζον δὲ λέγει· *διακονίαν* γὰρ αὐτὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεύματος καλεῖ, τοῦ καὶ τὴν ζωὴν ἐξουσίαν ἔχοντος παρέχειν. *Διακονίαν* δὲ *πνεύματος* αὐτὴν καλεῖ, διὰ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος, οἱονεὶ τὴν παρασκευαστικὴν τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως. *Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα.*] Ἀπὸ συλλογισμοῦ, τὸ εὔλογον ἔχοντος, τὴν σύγκρισιν ποιεῖται. Εἰ γὰρ δόξα, φησίν, ἐστὶν ἐν τῷ νόμῳ, καίτοι ὄντι διακόνῳ θανάτου καὶ κατακρίσεως· πολλῷ μᾶλλον, κατὰ τὸ ἀκόλουθον, οὐ μόνον ἐστὶν ἐν τῇ Νέᾳ δόξα, ἀλλὰ καὶ περισσεύει· καὶ γὰρ *περισσεύει*, φησίν, *ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ*. Τοῦ μὲν γὰρ νόμου, ἁμαρτωλοὺς λαμβάνοντος καὶ τιμωρουμένου, τὸ κήρυγμα, ἁμαρτωλοὺς λαμβάνον, ἐν τῷ βαπτίσματι οὐ μόνον ἀνευθύνους ἀφίησι· καίτοι ἦρκει καὶ τοῦτο· ἀλλὰ καὶ δικαιοῖ, καὶ ἁγιάζει, καὶ εἰς υἱοθεσίαν καλεῖ, καὶ τὰς μελλούσας ἐλπίδας ἐπαγγέλλεται. Ὅθεν καὶ *διακονίαν δικαιοσύνης* αὐτὴν καλεῖ, ὡς δικαιοῦσαν τοὺς ἁμαρτωλούς. *Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον.*] Καὶ τί, φησιν, ἀντιπαράθεσιν ποιῶ τῆς Νέας καὶ τῆς Παλαιᾶς; Τοσαύτη γὰρ τῆς Νέας ἡ ὑπεροχὴ καὶ ἡ δόξα, ὥστε ἐν συγκρίσεως μέρει· (τοῦτο γάρ ἐστιν ὃ λέγει, *ἐν τούτῳ τῷ μέρει*, τουτέστι, τῷ τῆς συγκρίσεως·) οὐδὲ δόξαν ἔχειν δόξει ἡ Παλαιὰ, καίτοι δεδοξασμένη οὖσα, ὡς πρὸς ἀντιπαράθεσιν τῆς δόξης τῆς Νέας. — Τοσαύτη γάρ ἐστι, φησὶν, ἡ τοῖς διακόνοις τῆς χάριτος προσεσομένη δόξα, ὅτι οὐδὲ δόξαν εἴποι τις ἂν εἰκότως τὴν Μωϋσῇ προσγενομένην, ἀποβλέπων εἰς τούτους. Ἐν νυκτὶ μὲν γὰρ τὸ λυχνιαῖον φῶς, φανώτατον εἶναι δοκεῖ, ἐν μεσημβρίᾳ δὲ μέσῃ, κρύπτεται, καὶ οὐδὲ φῶς εἶναι νομίζεται (Θεοδωρήτου.) — *Τὸ δεδοξασμένον.*] Οἷον, ὁ νόμος, ὁ δόξαν ἔχων διὰ τοῦ προσώπου Μωσέως. *Ἐν τούτῳ τῷ μέρει.*] Ἐν τῷ μέρει τῆς συγκρίσεως καὶ παραθέσεως, οὐδὲν ἐστιν ἡ δόξα τοῦ Μωϋσέως, εἰ καὶ δόξα. *Ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης.*] Ἣν ἔχει ἡ Νέα· τουτέστι διὰ τὴν ὑπερβάλλουσαν δόξαν τῆς Νέας. Εἶτα καὶ ἐκ τοῦ μονίμου δείκνυσι τὴν δια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοράν. *Εἰ γὰρ τὸ καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ.*] Τουτέσιν· Εἰ ὁ καταργεῖσθαι καὶ παύεσθαι μέλλων νόμος, *διὰ δόξης* ἐδόθη· πόσῳ μᾶλλον ἡ ἀεὶ οὖσα καὶ ἐσομένη Νέα ἔσται ἐν δόξῃ; — Τὸν νόμον ἐκάλεσε *καταργούμενον*, ὡς παυσάμενον τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ· *μένον* δὲ, τὸ τῆς χάριτος δῶρον, ὡς οὐ λῆψόμενον τέλος. Εἰ τοίνυν ἐκεῖνο, φησὶ, τετύχηκε δόξης, δῆλον ὅτι καὶ τοῦτο πολλαπλασίας τεύξεται (Θεοδωρήτου).

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ
13 χρώμεθα· καὶ οὐ, καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ (α), πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταρ-
14 γουμένου. (Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτό-
15 μενον, ὅτι ἐν Χριστῷ καταργεῖται· ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται·

Ἐπειδὴ τὸ ἀσθενὲς τῶν ἀκροατῶν οὐκ ἔβλεπε τὴν δόξαν τῆς Νέας· οὐ γὰρ ἦν αἰσθητή· ἀλλ' ὀλιγγία, εἰς τὸν μέλλοντα χρόνον αὐτοὺς παραπέμπει· διὸ καὶ ἐλπίδος μέμνηται. *Τοιαύτην*, φησὶν, *ἐλπίδα ἔχοντες.*] Τοιαύτην. Ποίαν; Ὅτι μειζόνων ἡμεῖς ἠξιώθημεν, ἢ ὁ πάλαι Ἰσραήλ. *Πολλῇ παῤῥησίᾳ χρώμεθα.*] Ἐπεὶ οὖν μειζόνων ἡμεῖς οἱ τῆς Νέας διάκονοι ἠξιώθημεν, μετὰ παῤῥησίας τὸ κήρυγμα κηρύσσομεν, οὐδὲν ἀποκρύπτοντες, οὐδὲ ὑποστελλόμενοι, οὐδὲ δεδοικότες, μὴ πλήξωμεν ὑμῶν τὴν συνείδησιν διὰ τὴν ἀτοπίαν τοῦ κηρύγματος, ὥσπερ ὁ Μωσῆς ἔπληττε τὰς τῶν Ἰουδαίων ὄψεις. Ὑμεῖς γὰρ ἰδεῖν τὸ ἐνὸν τῷ κηρύγματι κάλλος δύνασθε, καὶ οὐκ ἂν πληγείητε ὁρῶντες, οὐδὲ τὸν νοῦν οὐδὲ τὰς νοητὰς ὄψεις. *Καὶ οὐ, καθάπερ Μωϋσῆς.*] Διὰ τί δὲ, ὡς εἰ εἶπέ τις,

(α) Ἐξοδ. ΛΔ', 33. 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνακεκαλυμμένως κηρύσσετε; καὶ οὐ δίκην καλύμματος ἐπεσκιασμένως λαλεῖτε; Διὰ τί; Πρῶτον μὲν, διότι θαῤῥοῦμεν τῷ καθαρῷ τοῦ κηρύγματος· ἔπειτα δὲ, ὅτι ὑμεῖς καὶ ἰδεῖν δύνασθε τὸ ἐνὸν τῷ κηρύγματι κάλλος· οὐ γὰρ ἴσα Ἰουδαίοις ἀμβλυώττετε. Ὅσῳ γὰρ ἡ Νέα μείζων, τοσούτῳ καὶ τῶν μαθητευομένων τὸ διάφορον. *Πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραήλ.*] Ὥστε μὴ ἀτενίσαι δύνασθαι, φησὶν, εἰς τὸ πρόσωπον αὐτοῦ, τὸ καταργεῖσθαι καὶ παύεσθαι μέλλον ἀπὸ τῆς δόξης. Βουλόμενος δὲ δεῖξαι ὀλιγοχρόνιον τὴν δόξαν ἐκείνην, ὡς πρὸς σύγκρισιν τῆς ἀεὶ μενούσης ἐν τῇ Νέᾳ δόξης, φησὶν, *εἰς τὸ τέλος τοῦ καταργουμένου*, ὡς εἰ ἔλεγεν· Ὅταν οὐκ ἠδύναντο ἀτενίσαι τῇ δόξῃ οἱ Ἰσραηλῖται, λοιπὸν τέλος εἶχε καὶ ἐπαύσατο ἡ δόξα ἐκείνη· οὕτως ὀλιγοχρόνιος ἦν, ὡς ἅμα τῷ ἄρξασθαι καὶ παύσασθαι· ἀλλ᾽ οὐδὲ εἰς ἐκείνην, φησὶν, ἰδεῖν ἠδύναντο· οὕτως ἦσαν ἀσθενεῖς (1).—Ἐδόθη τοῖς ἐν παραδείσῳ ἐντολή· ἀλλ᾽ ἤργησε καὶ πέπαυται, καὶ οἱονεὶ κατήργηται· ἐδόθη τοῖς περὶ τὸν Νῶε· ἀλλὰ κἀκείνη ὡσαύτως ἤργησε καὶ κατέπαυσεν· ἐδόθη τοῖς περὶ τὸν Ἀβραάμ· ἀλλὰ καὶ τὰ πλεῖστα ταύτης κατήργησεν ὁ νόμος, μυρίαις προσθήκαις ἀλλοιώσας, καὶ τάξας ἕτερα· ἐδόθη διὰ Μωϋσέως ὁ νόμος· ἀλλὰ καταργεῖται καὶ παύεται καὶ οὗτος, οὐκ ἐφ᾽ ᾧ ἕτερον εἰσαχθῆναι, καὶ πάλιν κἀκεῖνον καταργηθῆναι, ἀλλ᾽ ἐφ᾽ ᾧ ἕτε-

---

(1) « Οἱ Ἰσραηλῖται, παχεῖς ὄντες, οὐκ ἠδύναντο ἰδεῖν, ὅτι τέλος ἔχει ὁ νόμος, καὶ ὅτι καταργηθήσεται· τὸ γὰρ κάλυμμα, τὴν παχεῖαν αὐτῶν διάνοιαν ὅπλισε, ὡς ἐξῆς μαθήσῃ. Τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι αὐτὸ τοῦτο τὸ μὴ δύνασθαι ἐκείνους ἀτενίσαι, ἐδείκνυε τὴν δόξαν τέλος ἔχουσαν· μὴ ὁρωμένη γὰρ, οὐδὲ δόξα ἦν· καὶ οὕτως ἐδηλοῦτο, ὅτι ὀλιγοχρόνιος ἔσται, ἐκ τοῦ μηδὲ δόξαν φαίνεσθαι.» Θεοφύλακτος.

« Δηλοῖ δὲ ὁ λόγος, ὡς τὴν Ἰουδαίων ἀπιστίαν ὁ θειότατος Μωϋσῆς προθεσπίζων, ἐπετίθει τῷ προσώπῳ τὸ κάλυμμα, διδάσκων, ὡς τοῦ νόμου τὸ τέλος ἰδεῖν οὐ δυνήσονται. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι (Ῥωμ. Ι', 4.). Τοῦτο γὰρ ἔφη, Πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου· καταργούμενον γὰρ ἔφη τὸν νόμον, τουτέστι, παυόμενον· τέλος δὲ τοῦ καταργουμένου, τὸν ὑπὸ τὸν νόμον κηρυττόμενον, τουτέστι, τὸν Χριστόν.» Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρον εἰσαχθῆναι, τὸν εὐαγγελικόν, καὶ εἰς τὸν αἰῶνα διαμένειν. Πάντες μὲν οὖν οἱ ἔμπροσθεν, κατηργήθησαν, ἀλλὰ τέλος τοῦ καταργουμένου, ὁ διὰ Μωσέως νόμος· ἐπειδὴ μετ' αὐτὸν οὐκέτι ἕτερος καταργεῖται. Εἰ δὲ ὁ νόμος τέλος τοῦ καταργουμένου, καὶ τὸ εἰσάγον αὐτὸν πρόσωπον δῆλον ὅτι τέλος τοῦ καταργουμένου, ἤτοι ὁ Μωϋσῆς· ὥσπερ καὶ τὸ εὐαγγέλιον, καὶ ὁ τοῦ εὐαγγελίου δοτὴρ, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος βασιλεύει καὶ κυριεύει (Φωτίου). — *Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν.*] Τουτέστιν, ἐπωρώθη αὐτῶν ὁ νοῦς, καὶ τοσοῦτον, ὥστε οὐ μόνον τότε τὴν Μωσέως δόξαν ἰδεῖν οὐκ ἴσχυον, ἀλλ' οὐδὲ νῦν τὰ ἐν τῷ νόμῳ ἰδεῖν ἰσχύουσιν, ὡς χρή. *Ἄχρι γὰρ τῆς σήμερόν*, φησι, τὸ αὐτὸ παρ' αὐτοῖς κάλυμμα ἔχει ἡ ἀνάγνωσις τοῦ νόμου. Ὥσπερ γὰρ κεκαλυμμένης τῆς ἀναγνώσεως, οὐ δύνανται ἰδεῖν τὰ ἐν αὐτῇ, οὐδὲ γνῶναι, ὅτι ἐν Χριστῷ καταργεῖται καὶ παύεται ὁ νόμος. Ποῦ δὲ, εἴποις τις, τοῦτο ἔχει ὁ νόμος, ὅτι ἐν Χριστῷ καὶ διὰ Ἰησοῦ καταργηθήσεται; Καὶ αὐτὸς μὲν ὁ νόμος φησὶν· εἰπὼν γὰρ, ὅτι «*Ἀναστήσει ὑμῖν προφήτην,*» ἐπήγαγεν, «*Αὐτοῦ ἀκούσεσθε*» πανοτιοῦν λέγοντος (α), κἂν ὑπεναντίον εἴπῃ τοῦ νόμου, περὶ Χριστοῦ λέγων· αὐτὸς δὲ [ὁ Χριστὸς] καὶ τὰ σάββατα ἔλυσε, θεραπεύων ἐν αὐτοῖς (β), καὶ ἐπιδιετάσσετό τινα, ὡς τό· Ἠκούσατε ὅτι ἐρρήθη τοῖς ἀρχαίοις τόδε· ἐγὼ δὲ λέγω ὑμῖν· καὶ τὸ μὴ ἀπολύειν γυναῖκα διὰ μῖσος μόνον· καὶ ἄλλα πολλά (γ). Ἔπειτα δὲ, ὅτι ἐντειλάμενος αὐτοῖς ὁ θεὸς, ἐν τῷ ναῷ μόνῳ θύειν, καὶ ἐν τούτῳ περικλείσας τὰς θυσίας, εἶτα καθελὼν αὐτὸν, οὐκ εὐδηλον, ὅτι καταργήσει τὰς θυσίας καὶ πάσας τὰς νομικὰς ἱερουργίας; Ὥσε καὶ αἰσθητῶς καὶ νοητῶς ὁ νόμος τὴν ἑαυτοῦ κατάργησιν περιεῖχε. *Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται.*] Μὴ ἀνακαλυπτόμενον *εἰς τὸ γνῶναι*

(α) Δευτ. ΙΗ', 15. (β) Ἰωαν. Ε', 18.
(γ) Ματθ. Ε', 27, καὶ ἑξῆς. ΙΘ', 3—9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοὺς, ὅτι ἐν *Χριστῷ καταργεῖται* ὁ νόμος· ὁ γὰρ Χριστὸς καταργεῖ τὸ κάλυμμα· αὐτὸς γὰρ, ὢν ἡ ἀλήθεια, παύει τὴν σκιὰν καὶ τὴν διπλόην τοῦ νόμου. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ ρλὰ τῆς ἑρμηνείας τοῦ Λουκᾶ. *Κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.*] Εἶτα, ἐπειδὴ ἀνωτέρω εἶπεν, ὅτι κάλυμμα κεῖται ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς, ἵνα μή τις νομίσῃ, τῆς ἀσαφείας τοῦ νόμου εἶναι τὸ αἴτιον, ὡς μὴ νοουμένου, σαφέστερον αὐτὸ λέγει, δεικνὺς αὐτῶν, καὶ οὐ τοῦ νόμου, τὸ ἁμάρτημα. *Κάλυμμα γάρ*, φησιν, *ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται*· διὸ οὐ δύνανται γνῶναι τὴν διάνοιαν τοῦ νόμου· εἰ γὰρ ἔγνωσαν, ἀπέστησαν ἂν ἀπ' αὐτοῦ, καὶ τῷ Χριστῷ ἐπίστευσαν· τοῦτο γὰρ ὁ νόμος βούλεται.

16 Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται
17 τὸ κάλλυμα. Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ
28 τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.) Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

Καὶ γὰρ καὶ ὁ Μωϋσῆς, πρὸς μὲν Ἰουδαίους λαλῶν, εἶχε τὸ κάλυμμα· πρὸς τὸν θεὸν δὲ εἰσιὼν, περιῃρεῖτο τὸ κάλυμμα. Τύπος οὖν ἦν αὐτῶν ὁ Μωσῆς· καὶ γὰρ καὶ αὐτοὶ, ἡνίκα μὲν ἐμφιλοχωροῦσι τῷ νόμῳ, ἔχουσι τὸ κάλυμμα, ὅπερ αὐτοὺς αὐτὸν τὸν νόμον ἰδεῖν οὐκ ἐᾷ· ὅταν δὲ ἐπιστρέψωσι πρὸς Κύριον, περιαιρεῖται αὐτῶν τὸ κάλυμμα· τότε δὲ ἐπιστρέφουσιν, εἰ, ἀφέντες τὸν νόμον, πιστεύσωσι Χριστῷ, καὶ τὴν ἀπὸ τοῦ Πνεύματος λάβωσι χάριν ἐν τῷ βαπτίσματι· *Κύριον* γὰρ ἐνταῦθα τὸ Πνεῦμα φησίν. *Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι.*] Εἶτα, ἵνα μή τις τῶν ἀσθενεστέρων ἀκροατῶν, ἀκούσας, ὅτι ὁ Μωσῆς, πρὸς Κύριον ἐπισρέφων, περιῃρεῖτο τὸ κάλυμμα, εἴπῃ· Ἐγὼ πρὸς τὸ Πνεῦμα ἐπιστρέψαι ὑπὸ σοῦ προτρεπόμενος, ὦ Παῦλε, οὐ πρὸς τὸν Κύριον ἐπιστρέφω; ἐπάγει· *Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι.* Μὴ φοβοῦ, φησί· καὶ πρὸς τὸ Πνεῦμα ἐπιστρέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φων, πρὸς Κύριον ἐπιστρέφεις· Κύριος γὰρ τὸ Πνεῦμα, καὶ ὁμόθρονον, καὶ ὁμοπροσκύνητον, καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ. *Οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.*] Ὡς πρὸς τὸν νόμον, τοῦτο· ἐκεῖ γὰρ ζυγὸς ἦν καὶ δουλεία· ἐν δὲ τῇ πίστει Χριστοῦ, ἐλευθερία (1). *Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ*, καὶ ἑξῆς.] *Ἡμεῖς δὲ πάντες* τοσοῦτόν ἐσμέν, φησιν, ἐλευθερίας καὶ εὐγενείας ἐντὸς, ὥστε *πάντες ἡμεῖς* οἱ πιστοὶ, οὐχ ὥσπερ ἐκεῖ εἷς, ὁ Μωσῆς, *ἀνακεκαλυμμένῳ προσώπῳ*· (οὐδὲ γὰρ ἔνι παρὰ τοῖς πιστοῖς κάλυμμα·) *τὴν δόξαν τοῦ Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα ἀναμορφούμεθα*, τουτέστι, τὴν αὐτὴν δόξαν μεταλαμβάνομεν, οἷον κάτοπτρον ὄντες, καὶ δεχόμενοι τὴν λαμπρότητα, καὶ αὖθις ἀντιστίλβοντες. Καθάπερ γὰρ ἄργυρος, ἄντικρυς ἡλίου κείμενος, ἀντιπέμπει καὶ αὐτὸς ἀκτῖνας τινὰς τῇ προσβολῇ τοῦ ἡλίου, οὕτω καὶ ἡμεῖς, ἐν τῷ βαπτίσματι καθαιρόμενοι διὰ τοῦ πνεύματος, καὶ ταῖς ἐκείνου ἀκτῖσι καταυγαζόμενοι, αἴγλην τινὰ νοητὴν ἀντιπέμπομεν. Βούλεται δὲ καὶ αὐτοὺς εἰς τάξιν ἀγαγεῖν τῶν ἀποστόλων· καὶ διὰ τοῦτο εἶπε τὸ, *ἡμεῖς πάντες τὴν δόξαν Κυρίου κατοπτριζόμενοι*, οἷον, ἐλλαμπόμενοι πνεύματι. *Τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν.*] Εἰς τὴν αὐτήν, φησι, λαμπηδόνα μεταβαλλόμεθα, ἀπὸ δόξης τῆς τοῦ πνεύματος, εἰς δόξαν τὴν ἡμετέραν ἐρχομένης τῆς μεταμορφώσεως· καὶ εἰς τοιαύτην δόξαν φθάνομεν, εἰς οἵαν εἰκὸς φθάσαι τὸν ἀπὸ τοῦ παρακλήτου καταυγαζόμενον, καὶ εἰκόνα ἀμυδρὰν τῆς αὐτοῦ δόξης ἐνσημαινόμενον. Τί εἴποιεν πρὸς ταῦτα οἱ Πνευματομάχοι;

(α) « Ἐν τῷ νόμῳ ζυγὸς ἦν καὶ δουλεία· ἐν δὲ τῷ τοῦ πνεύματος νόμῳ καὶ τῷ εὐαγγελίῳ, ἐλευθερία, ὥστε ἀκωλύτως καὶ ἐλευθέρως βλέπειν τὴν δόξαν τοῦ Κυρίου. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ θείας δόξης καὶ τοῦ ἀκολούθου βίου, ὅτι τοῖς ἁγίοις γινώσκεται.

ΚΕΦ. IV, 1 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, 2 καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν· ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ θεοῦ.

Διὰ τοῦτο.] Τὸ ὑπερβατόν· *Διὰ τοῦτο οὐκ ἐκκακοῦμεν*, Διὰ τοῦτο. Ποῖον; Ὅτι τοιούτων, φησίν, ἠξιώθημεν. *Ἔχοντες τὴν διακονίαν ταύτην.*] Ἐπειδὴ πολλὰ καὶ μεγάλα περὶ τῶν ἀποστόλων εἰρήκει, λέγων, Τὴν δόξαν Κυρίου κατοπτριζόμεθα καὶ μεταμορφούμεθα· (εἰ γὰρ καὶ ἐκοινοποίησε τὸν λόγον τῷ εἰπεῖν, *Ἡμεῖς δὲ πάντες*, πλὴν εἰς τοὺς ἀποστόλους πρωτοτύπως εἴρητο τὰ εἰρημένα·) λοιπὸν κατάγει τὸν περὶ αὐτῶν λόγον· *ἔχοντες* γάρ, φησι, *τὴν διακονίαν*· τουτέστιν· Ἡμεῖς πλέον οὐδέν, ἀλλ' ἢ διάκονοι ἐσμὲν τοῦ κηρύγματος. Εἶτα λέγει, *Καθὼς ἠλεήθημεν*, δεικνὺς, ὅτι καὶ αὐτοῦ τοῦ γενέσθαι διάκονοι οὐκ ἦμεν ἄξιοι, ἀλλὰ καὶ τοῦτο κατ' ἔλεον θεοῦ ἔσχομεν. *Οὐκ ἐκκακοῦμεν.*] *Διὰ τοῦτο οὐκ ἐκκακοῦμεν*· τουτέστι, διότι τοιούτων ἠξιώθημεν, οὐκ ἀπαγορεύομεν πρὸς τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς καὶ τοὺς κινδύνους· ἐπειδὴ ἅπαξ ἐλεηθέντες, ἐτάχθημεν διακονεῖν. *Ἀλλ' ἀπειπάμεθα.*] Πρὸς μὲν τὰς θλίψεις οὐκ ἀπαγορεύομεν· *ἀλλ' ἀπειπάμεθα* καὶ ἀπεκρουσάμεθα *τὰ κρυπτὰ τῆς αἰσχύνης*, τουτέστι, τὸ τοιαῦτα ποιεῖν ἐν κρυφῇ, ἃ φανερούμενα αἰσχύνην φέρει. Αἰνίττεται δὲ τοὺς ψευδαποστόλους, οἳ ἐν σχήματι εὐλαβείας ἦσαν, καὶ ἐν κρυφῇ πονηροί. Πῶς δὲ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχύνης; Ἀπανούργως, φησὶ, καὶ ἁπλάστως ζῶντες· ὁ δὲ οὕτως ἀναστρεφόμενος, ἀπεῖπε τὸ πράττειν τι τῶν κατεγνωσμένων.—*Τὰ κρυπτὰ τῆς αἰσχύνης.*] Τὰ κρυπτὰ, φησὶ, τῆς αἰσχύνης ἀπειπάμεθα· οἷον, οὐδὲν οὐδ' ἐν κρυφῇ αἰσχύνης ἄξιον διαπραττόμεθα· ἀλλὰ μὴ ἐκκακοῦντες ἐν ταῖς θλίψεσιν, ὡς καὶ ὑμεῖς ὁρᾶτε, οὐδὲ κατὰ λογισμόν τι διανοούμεθα αἰσχύνης ἄξιον, οἷον, οὐκ ὀλιγωρίαν, οὐκ ἀμφιβολίαν, οὐ δισταγμὸν, οὐκ ἀχαριστίαν, οὐκ ἄλλό τι κατὰ διάνοιαν ἀναδεχόμεθα· ἀλλ' ὥσπερ ἐν τῷ φανερῷ οὐκ ἐκκακοῦμεν, οὕτως οὐδ' ἐν τῷ κρυπτῷ αἰσχύνης ἄξιόν τι λογιζόμεθα· ἀλλὰ πάντα τὰ τῆς αἰσχύνης κρυπτὰ ἀπειπάμεθα. Εἶτα, *Μὴ περιπατοῦντες ἐν πανουργίᾳ, καὶ ἐξῆς.*] Πανουργίας μὲν γὰρ καὶ δόλου ἐξὶ τὸ, ἄλλα μὲν ἐπιδείκνυσθαι, ἄλλα δὲ διαλογίζεσθαι.—*Μηδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ.*] Καὶ οὐ μόνον, φησὶ, βίον καὶ πολιτείαν ἀπάνουργον ἐπιτηδεύομεν· ἀλλ' οὐδὲ δολοῦμεν τὸν λόγον τοῦ θεοῦ καὶ τὸ κήρυγμα, ἢ χρηματιζόμενοι ἐξ αὐτοῦ, ἢ τοῖς καιροῖς καὶ τοῖς προσώποις συμμεταβαλλόμενοι· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο διδάσκοντες, ὅπερ οἱ ψευδαπόστολοι ἐποίουν. *Ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας.*] Οὐδέν, φησὶ, κρύφιον παρ' ἡμῖν· οὐδὲ ἄλλο μὲν κρύπτομεν, ἄλλο δὲ λαλοῦμεν· ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶμεν καὶ παρατιθέμεθα ἑαυτοὺς, οἷοι ἐσμὲν, πάσῃ συνειδήσει ἀνθρώπων. Οἱ γὰρ ψευδαπόστολοι, οὐ τῇ φανερώσει τῆς ἀληθείας, ἀλλὰ τῷ ὑποδῦναι πρόσωπον ἀληθείας, συνίστων ἑαυτούς· οὐδ' ἐνώπιον τοῦ θεοῦ, ἀλλ' εἰς ἀρέσκειαν μόνον τῶν ἀπατωμένων. *Πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων.*] Πάσῃ, φησὶ, συνειδήσει ἀνθρώπων, ἀπίζων τε καὶ πιζῶν, ἑαυτοὺς συνιστῶμεν, ἐξ ὧν ἀναστρεφόμεθα. Εἶτα, ἐπειδὴ ἔνι λαθεῖν τοὺς ἀνθρώπους καὶ ἀπατῆσαι, τὸν θεὸν ἔφορον ἐφίστησι τῇ ἑαυτοῦ πολιτείᾳ. *Ἔνώπιον* γάρ, φησὶ, *τοῦ θεοῦ*· ὃν οἱ ψευδαπόστολοι μάρτυρα ἔχειν οὐκ ἂν δέξαιντο.

3 Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον· ἐν οἷς ὁ
θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν
ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν
τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν
5 εἰκὼν τοῦ θεοῦ. Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ
Χριστὸν Ἰησοῦν Κύριον· ἑαυτοὺς δὲ, δούλους
ὑμῶν διὰ Ἰησοῦν.

Ἐπειδὴ εἶπε, πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων ἑαυτοὺς συνίστασθαι διὰ τῆς ἀληθοῦς φανερώσεως, τουτέστι, τοῦ κηρύγματος· ἀντέκειτο δὲ αὐτῷ τὸ μὴ πᾶσιν εἶναι φανερὸν τὸ κήρυγμα· (καὶ δῆλον ἐξ ὧν οὐκ ἐπίστευσαν·) φησίν· *Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον.*] Οὐχ ἡμῶν, φησὶ, τὸ ἔγκλημα, ἢ τῆς ἀσαφείας τοῦ εὐαγγελίου, ἀλλὰ τῆς ἐκείνων ἀπωλείας καὶ τυφλώσεως. *Ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου.*] Τῶν ἔξω τῆς ἀγέλης τοῦ Χριστοῦ, οἱ μὲν τὴν ἀρχὴν ἠπίστησαν τῷ λόγῳ τοῦ κηρύγματος· οἱ δὲ, ἐπίστευσαν μὲν, διὰ δὲ τὸ μὴ ἔχειν βάθος γῆς, πάλιν ἀπεφοίτησαν τῆς πίστεως, οὓς ἅπαντας *ἀπολλυμένους* ὁ Παῦλος καλεῖ. Νῦν δὲ τέως ὁ λόγος αὐτῷ περὶ τῶν τὴν ἀρχὴν αὐτῷ ἀπιστησάντων· τούτοις γὰρ παντελῶς κεκάλυπται τὸ εὐαγγέλιον· καί φησιν, *ἐν οἷς*, ἀπολλυμένοις ἀνθρώποις, τῶν παντελῶς ἀπιστησάντων ἐτυφλώθη τὰ νοήματα, εἰς τὸ μηδὲ τὴν αὐγὴν δέξασθαι τῆς πίστεως. *Θεὸν* δὲ *τοῦ αἰῶνος τούτου*, Μανιχαῖοι μὲν καὶ Μαρκιωνισταὶ φασὶ τὸν πονηρὸν λέγειν θεόν· δύο γὰρ παρ' αὐτοῖς θεοί· ἡμεῖς δὲ τὸν ἐπὶ πάντων φαμέν. Ἀλλ' ὥσπερ Θεὸς εἴρηται οὐρανοῦ καὶ γῆς· καὶ οὐκ ἔστι τούτου μόνου θεός· καὶ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· καὶ οὐ παρὰ τοῦτο τῶν λοιπῶν οὐκ ἔστι θεός· οὕτω μοι νόει καὶ τὸ, *Θεὸς τοῦ αἰῶνος τούτου*· οὐ γὰρ τοῦτο δείκνυσιν αὐτὸν τούτου μόνον ὄντα τοῦ αἰῶνος θεόν. Ἢ οὕτω, ματὰ ὑπερβατοῦ ἀναγνωστέον, *Τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ θεὸς τὰ νοήματα*· ὁ γὰρ μέλλων οὐκ ἔχει ἀπί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στους, ἀλλ' ὁ παρὼν μόνος· ὧδε γὰρ ἀπιστοῦσι· τότε δὲ πᾶν γόνυ κλινεῖ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται Χριστῷ (α), ὅταν ἔλθῃ ἐν τῇ πατρῴᾳ δόξῃ. Κύριλλος δὲ ἐν τῷ κατὰ Ἰουλιανοῦ πρώτῳ βιβλίῳ λέγει *Θεὸν τοῦ αἰῶνος τούτου*, τὸν νομισθέντα τοῖς ἀπίστοις θεὸν, ἤγουν, τὸν σατανᾶν· τούτῳ γὰρ ἐλάτρευον. *Ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων.*] Οὐ τοῦτο αὐτὸς ποιῶν, ἄπαγε! ἀλλὰ γενέσθαι συγχωρήσας, διὰ τὸ αὐτεξούσιον· ὡς καὶ ἀλλαχοῦ φησί· *Παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας* (β), τὸ συνεχώρησε, λέγων· ἐπειδὴ γὰρ ἀπεφοίτησαν τοῦ Χριστοῦ, εἴασεν αὐτοὺς, ἐγκατέλιπε· βουλομένων γὰρ, οὐκ ἀναγκαζομένων ἡ σωτηρία· μὴ ὅτι καὶ προσεβλάπτοντο ἀπίστως διακείμενοι, καταυγαζόμενοι τῷ φωτὶ τοῦ Χριστοῦ, ὥσπερ καὶ ὄψις σαθρὰ ἐξ ἡλιακῆς ἀκτῖνος. *Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς.*] Ὅρα δὲ, ὅτι οὐκ εἶπεν, ὅτι Ἐτύφλωσεν εἰς τὸ μὴ πιστεῦσαι, ἀλλ', εἰς τὸ μὴ καταυγάσαι, δεικνὺς αὐτοὺς πρῶτον ἀπιστήσαντας, εἶτα ἀναξίους γενομένους τοῦ φωτισμοῦ. Καὶ γὰρ καὶ αὐτὸς ὁ Κύριός φησι, μὴ ῥίπτειν ἔμπροσθεν τῶν χοίρων τοὺς μαργαρίτας (γ). Καλῶς δὲ τὸ, *αὐγάσαι*, κεῖται· ἀμυδρὰν γὰρ ἀπόῤῥοιαν τῆς ἀληθινῆς γνώσεως ἔχομεν νῦν, καὶ ὥσπερ ἀπὸ ἡλίου παμφαοῦς αὐγὴν ἀμυδράν. Τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, λέγων· Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι (δ)· ὃ καὶ ἔμπροσθεν εἶπεν, ἀῤῥαβῶνα πνεύματος, καὶ ὀσμὴν γνώσεως (ε), δεικνὺς, ὅτι τὸ πλέον ἐκεῖ μένει. *Τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ.*] Δόξα γὰρ Χριστοῦ τὸ εὐαγγέλιον· δοξαστὸς μὲν γὰρ ὁ Χριστὸς διὰ μυρία, ἐξ ὧν ἐδημιούργησεν, ἐξ ὧν συνέχει τὰ δημιουργηθέντα, ἐξ ὧν τὰ πάντα ζωογονεῖ· μάλιστα δὲ ἐκ τοῦ σταυροῦ, οὗ κῆρυξ τὸ εὐαγγέλιον. Ὡς ἐν παραδρομῇ λέγει, τί ἐστι τὸ τοῦ εὐαγγελίου συνεσκιασμένον τοῖς ἀπίστοις· ὅτι θεός ἐστιν ὁ σταυρωθείς. *Ὃς ἐστὶν εἰκὼν τοῦ θεοῦ.*] Εἰκὼν γάρ ἐστι τοῦ

(α) Φιλιπ. Β', 10. 11. (β) Ῥωμ. Α', 28. (γ) Ματθ. Ζ', 6.
(δ) Α' ΙΓ', 12. (ε) Β' Κορ. Α', 22. Β', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατρὸς ἀπαράλλακτος. Ὅτι γὰρ εἰκόνα οἶδεν ὁ ἀπόστολος τὸ κατὰ πᾶν ἴσον καὶ ὅμοιον, ὅρα τί φησιν ἀλλαχοῦ· Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων (α). *Εἰκόνα δὲ θεοῦ* τὸν Χριστὸν, ὡς θεὸν ἐκ θεοῦ, προσηγόρευσεν· ἐν αὐτῷ γὰρ δείκνυσι τὸν πατέρα· διό φησιν· Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα (β). *Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν.*] Ἄνω εἶπε· *Μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ.* Πῶς; Ἐπεὶ οὐχ ἑαυτοὺς κηρύσσομεν, φησὶν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· *Ἑαυτοὺς δὲ, δούλους ὑμῶν διὰ αὐτόν.* Τοῦτο δὲ λέγων, τοὺς διδασκάλους αὐτῶν αἰνίττεται, περὶ ὧν ἔγραφε λέγειν αὐτούς· Ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ, Ἀπολλώ· ἐγὼ δὲ, Κηφᾶ (γ)· οἳ καὶ κατεκυρίευον αὐτῶν.

6 Ὅτι ὁ θεὸς, ὁ εἰπὼν, ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.

Διὰ τί λέγεις σαυτὸν δοῦλον ἡμῶν; Διὰ τί; Διότι περιλήσθε παρὰ τοῦ θεοῦ μου. Αὐτὸς γὰρ, ὁ ἐν ἀρχῇ τῆς κτίσεως εἰπὼν, ἐκ σκότους λάμψαι φῶς, *ὃς ἔλαμψε*, τουτέστιν· Οὗτος ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν· ἔλαμψε δὲ, φωτίζων ἡμᾶς, καὶ ἀποκαλύπτων τὴν ἰδίαν γνῶσιν καὶ δόξαν. *Ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.*] Τουτέστι· Διὰ τοῦ προσώπου τοῦ Χριστοῦ· διὰ γὰρ τοῦ υἱοῦ ἡμῖν ἡ ἀληθὴς γνῶσις τοῦ πατρὸς, καθὼς αὐτὸς λέγει ἐν εὐαγγελίοις πρὸς τὸν πατέρα· Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· καὶ· Ἐδόξασά σε ἐπὶ τῆς γῆς (δ)· καὶ ἐφανερώθη ἡμῖν διὰ Ἰησοῦ, ὅτι ἐστὶ πατὴρ, καὶ ὅτι οὐ διὰ κνίσσης καὶ αἱματοχυσίας προσκυνεῖσθαι βούλεται· καὶ ὅτι ἐν τριάδι ὁμοουσίῳ καὶ ἰσοδυνάμῳ θρησκεύεται θεός. *Πρὸς φωτισμὸν τῆς γνώσεως.*] Ὅρα τῆς ἁγίας Τριάδος τὸ ἀπαράλλακτον

(α) Ἑβρ. Ι', 1. (β) Ἰωάν. ΙΔ', 9. (γ) Α' Κορ. Α', 12.
(δ) Ἰωάν. ΙΖ', 4. 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὁμότιμον πῶς ὁ Παῦλος δηλοῖ, φῶς, καὶ, φῶς, καὶ, φῶς, καλέσας τὴν ἁγίαν Τριάδα. Ἄνω μὲν περὶ τοῦ Πνεύματος λέγων, *τὴν δόξαν*, φησὶν, οἷον, *τὸ φῶς, Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα.* Πάλιν περὶ τοῦ Υἱοῦ· *Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ.* Νῦν περὶ τοῦ Πατρός φησι· *Πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ* (1).

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τῆς κατὰ σῶμα ἀσθενείας καὶ τῆς τοῦ σώματος ἀποθέσεως καὶ ἐπαναλήψεως.

7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις
σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ,
8 καὶ μὴ ἐξ ἡμῶν· ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ
στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπο-
9 ρούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι·
10 καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· πάντοτε
τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι πε-
ριφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώμα-
τι ἡμῶν φανερωθῇ.

Ἀκόλουθα τῶν ἄνω καὶ τὰ νῦν. Ὅτι ἡμεῖς, φησὶν, οἱ ἀπόστολοι, διάκονοι τοῦ κηρύγματός ἐσμεν, ἀνάξιοι τῆς τοσαύτης αὐτοῦ δόξης ὑπάρχοντες, καὶ ὥσπερ χρυσὸν ἐν ὀστρακίνοις φέ-

(1) «Διὰ τί, φησίν, οὐχ ἑαυτοὺς κηρύττομεν; Διότι ὁ θεὸς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν· καὶ ὥσπερ εἰς τὸ πρόσωπον τοῦ Μωσέως πάλαι, οὕτω νῦν εἰς ἡμᾶς. Οὐχ ὥσπερ δὲ ἐπὶ τῆς πρώτης κτίσεως, Εἶπε, καὶ ἐγένετο φῶς ἐκ σκότους, οὕτω καὶ νῦν, εἶπε, καὶ ἐγένετο φῶς· ἀλλ αὐτὸς ἡμῖν γέγονε φῶς· αὐτὸς γὰρ ἔλαμψεν ἡμῖν ἐν προσώπῳ Χριστοῦ, τουτέστι, διὰ τοῦ Χριστοῦ· διὰ γὰρ τοῦ Χριστοῦ λάμπει ἐν ἡμῖν ὁ πατὴρ, καὶ χαρίζεται τὸν φωτισμὸν τῆς γνώσεως, οὐ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ τῆς δόξης.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροντες σκεύεσι (1). *Καὶ μὴ ἐξ ἡμῶν.*] Ἵνα μηδεὶς, φησιν, ἑαυτῷ ἀποδῷ, ὡς ἀξίῳ, ὃ ἐδέξατο, ἀλλὰ τὸ πᾶν εἴη τῆς τοῦ Θεοῦ δυνάμεως, τοῦ ἱκανώσαντος τὰ ὀστράκινα σκεύη εἰς χρυσίου ὑποδοχήν. *Ἐν παντὶ θλιβόμενοι.*] Καὶ τοσοῦτον, φησὶ, τὸ πᾶν τῆς δυνάμεως ἐστὶ τοῦ Θεοῦ, ὅτι, καίτοι ὀστράκινοι ὄντες, καὶ ἐν τοσούτοις περιστρεφόμενοι πειρασμοῖς, οὐ θραυόμεθα, καὶ ἀπόλλυμεν τὸν ἐν ἡμῖν θησαυρόν. Θλιβόμεθα γὰρ *ἐν παντὶ* καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, ἐν φίλοις, ἐν ἐχθροῖς· *ἀλλ' οὐ στενοχωρούμεθα·* τὸ δὲ μὴ στενοχωρεῖσθαι τὸν θλιβόμενον, Θεοῦ χάριτός ἐστιν. *Ἀπορούμενοι.*] *Ἀπορούμενοι*, φησὶ, τί χρὴ ποιεῖν πρὸς τὸν ἐκ πάντων πόλεμον καὶ διωγμόν· ἀλλ' οὐκ ἐπὶ τοσοῦτον, ὥστε ἡμᾶς καὶ *ἐξαπορηθῆναι*, τουτέστι, πεσεῖν καὶ ἡττηθῆναι.—Τὸ, *Ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι* ἀντὶ τοῦ, Ἐν ἀπόροις πράγμασι, πόρους εὑρίσκομεν σωτηρίας (Θεοδωρήτου).— *Διωκόμενοι.*] Διώκουσι μὲν ἡμᾶς οἱ ἄνθρωποι· ἀλλ' οὐκ ἐγκαταλιμπάνει ὁ θεός· οὐ γὰρ πρὸς ἧτταν ἡμῶν, ἀλλὰ πρὸς πάλην καὶ γυμνασίαν ἡ συγχώρησις τούτων. *Καταβαλλόμενοι.*] Καὶ ὅσον μέν, φησι, πρὸς τὸ μέγεθος τῶν πειρασμῶν, ἤδη καταβληθέντες· ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι οὐκ ἀπολλύμενοι. *Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου ἐν τῷ σώματι περιφέροντες.*] Τὴν νέκρωσιν, φησὶ, τοῦ Κυρίου καὶ ἡμεῖς πανταχοῦ περιφέρομεν, τῷ καθ' ἡμέραν ἀποθνήσκειν πανταχοῦ· Καθ' ἡμέραν γὰρ, φησὶν, ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν (α). *Ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ.*] Ἵνα, φησὶ, καὶ ἡ ἀνάστασις τοῦ Κυρίου διάδηλος γένηται διὰ τοῦ σώματος ἡμῶν· ὁ γὰρ τῇ ἀναστάσει τοῦ Κυρίου ἀπιστῶν, ἡμᾶς ὁρῶν καθ' ἡμέραν ἀποθνήσκοντας, καθ' ἡμέραν δὲ ζῶντας, οὐκ ἂν ἔτι εὐλόγως ἀπιστήσῃ.

(1) «Ἐπειδὴ μεγάλα ἦν τὰ περὶ τῶν κηρύκων τῆς καινῆς Διαθήκης εἰρημένα, ἐωρῶντο δὲ οὗτοι παγχάλεπα ὑπομένοντες, ἀναγκαίως ἐδίδαξεν, ὅτι καὶ ταῦτα τοῦ θεοῦ κηρύττει τὴν δύναμιν. Καὶ θησαυρῷ μὲν ἀπεικάζει τὴν δεδομένην τοῦ πνεύματος χάριν· ὀστράκῳ δὲ, τὴν φύσιν τοῦ σώματος. Τεκμήριον δὲ τῆς τοῦ θεοῦ δυνάμεως μέγιστον, τὸ πληγὰς τοῦτο μυρίας δεχόμενον μὴ ἀπολέσαι τὸν θησαυρόν.» Θεοδώρητος. (α) Α' Κορ. ΙΕ, 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδι-
δόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ
12 φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν
θάνατος, ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωή, ἐν ὑμῖν.
13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ
τὸ γεγραμμένον· « Ἐπίστευσα, διὸ ἐλάλησα (α)·»
καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν·

Πάλιν περὶ τοῦ αὐτοῦ λέγει. Διὰ τοῦτο γάρ, φησι, συγχωρούμεθα ὑπὸ τοῦ θεοῦ, παραδίδοσθαι εἰς θάνατον, ἵνα φανερωθῇ, ὅτι ἀνέστη Χριστός· ὁ γὰρ ἡμᾶς ἐγείρων καθ' ἡμέραν, καὶ ἑαυτὸν δῆλον ὅτι ἤγειρεν. Ἢ οὕτω· Διὰ τοῦτο ἑαυτοὺς εἰς θάνατον παραδίδομεν, ἵνα ἡ ζωὴ τοῦ Κυρίου φανερωθῇ, καὶ ἐνεργήσῃ ἐν ἡμῖν. Πότε; Δῆλον ὅτι ἐν τῷ μέλλοντι αἰῶνι. Ὡς εἰ ἔλεγεν· Ἡμεῖς τοίνυν διὰ τὸν Χριστὸν παραδίδομεν ἑαυτοὺς εἰς θάνατον, ἵνα ὁ Χριστὸς τότε ἀπὸ τοῦ νοητοῦ θανάτου, τοῦ τῆς κατακρίσεως, ῥύσηται ἡμᾶς, καὶ εἰς ζωὴν ἀγάγῃ τὴν νοητήν (1). *Ὥστε ὁ μὲν θάνατος.*] Ὡς ἐκ τοῦ ἀκολούθου φησὶ, τοῦτο γίνεσθαι, τὸν μὲν θάνατον ἐν ἡμῖν ἐνεργεῖν καὶ ἐνεργὸν ὑπάρχειν, τὴν δὲ ζωὴν, ἐν ὑμῖν· ὡς εἰ ἔλεγεν· Ἡμεῖς ἀποθνήσκομεν διὰ τὸ κήρυγμα, ἵνα ὑμεῖς ζήσητε δι' αὐτοῦ τὴν ἀγήρω ἐκείνην καὶ αἰώνιον ζωὴν, πιστεύοντες εἰς Χριστόν.— Τὰ πάθη καὶ αἱ θλίψεις, καὶ αἱ θανατηφόροι συμφοραὶ, ταῦτα νῦν ἐνεργεῖται ἐν ἡμῖν, φησίν· ἡ δὲ πίστις καὶ ἡ εὐσέβεια, (ἥτις ἐστὶν ἡ ἀληθινὴ ζωὴ,) ἐν ὑμῖν. *Ζωὴ* δέ ἐστιν ἡ εὐσέβεια· ὅτι τὴν ἀγείρω καὶ ἄλυπον καὶ ἀΐδιον ἐν οὐρανοῖς προξενεῖ ζωήν (2).— *Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως.*] Τὸ αὐτὸ πνεῦμα τῷ Δαυΐδ, φησιν, ἔχοντες, τὰ αὐτὰ

(α) Ψαλμ. ΡΙΕ', 1.

(1) « Ὥσπερ ἡμεῖς τὸν θάνατον τοῦ Χριστοῦ ὑπομένομεν νῦν, καὶ ζῶντες αἰρούμεθα δι' αὐτὸν θανεῖν· οὕτω καὶ αὐτὸς αἱρήσεται ἀποθανόντας ζωογονῆσαι τότε· ὅπερ καὶ ἀλλαχοῦ φησιν· Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν (Β', Τιμ. Β' 11).» Θεοφύλακτος.

(2) « Θάνατον ἐνταῦθα τοὺς πειρασμοὺς φησὶ, τοῦτο λέγων· Ὅτι ἡμεῖς μὲν ἐν κινδύνοις ἐσμέν· ὑμεῖς δὲ τὴν ἐκ τῶν κινδύνων καρποῦσθε ζωὴν, ἅτε τοῦ εὐαγγελίου κηρυττομένου ὑμῖν, δι' οὗ τὴν αἰώνιον ζῆτε ζωήν.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ καὶ φθεγγόμεθα, τὸ· *Ἐπίστευσα, διὸ ἐλάλησα*. Ἄνω γὰρ, ἀπὸ λογισμῶν παραστήσας τὴν ἀνάστασιν, νῦν ἐκ πίστεως αὐτὴν εἰσφέρει (1).

14 Εἰδότες, ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν (α), καὶ
ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ (β), καὶ παραστήσει σὺν
15 ὑμῖν. Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεο-
νάσασα, διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισ-
16 σεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ. Διὸ οὐκ ἐκκακοῦμεν·
ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ'
ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

Λαλοῦμεν δὲ τοῦτο, εἰδότες, ὅτι ὁ τὸν Κύριον ἐγείρας πατὴρ, καὶ ἡμᾶς ἐγερεῖ. Πόθεν τοῦτο εἰδότες; Ἐκ τῆς πίστεως δηλονότι. *Καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ*.] Αὐτὸς γὰρ ἥξει ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν σάλπιγγι (γ), καὶ ἐγερεῖ τοὺς νεκροὺς, καὶ παραστήσει τῷ οἰκείῳ βήματι. *Τὰ γὰρ πάντα δι' ὑμᾶς*.] Ἐνταῦθα παιδαγωγεῖ αὐτοὺς, ὑπὲρ τῆς ἀναστάσεως καὶ τῶν λοιπῶν ἀγαθῶν χάριν εἰδέναι ἀνθρώπων μὲν μηδενὶ, θεῷ δὲ μόνῳ· οἱ γὰρ ψευδαπόστολοι, ἑαυτοῖς τὴν χάριν ἀνετίθεσαν, ὡς διὰ τῶν οἰκείων πρὸς θεὸν παρακλήσεων δωρουμένου ταῦτα τοῦ Θεοῦ. *Τὰ γὰρ πάντα*, τουτέστι, τὰ ἀγαθὰ, *δι' ὑμᾶς*, οὐ διὰ τόνδε, καὶ τόνδε, ἀλλὰ διὰ τὸ κοινῇ συμφέρον. Τοῦτο δέ, φησι, γέγονεν, *ἵνα ἡ χάρις τοῦ θεοῦ πλεονάσῃ*, πολλοῖς παρεχομένη· ταύτης δὲ πλεοναζούσης, καὶ ἡ εἰς αὐτὸν εὐχαριστία συμπλεονασθήσεται, διὰ πολλῶν προσώπων προσαγομένη εἰς δόξαν θεοῦ. *Διὸ οὐκ ἐκκακοῦμεν*.]

---

(1) « Πειρασμῶν ἐμνημόνευσε καὶ θανάτων ἀνωτέρω· εἶτα, ὅτι καὶ ἐκ τούτων ῥύεται ἡμᾶς, φησὶν, ὁ Ἰησοῦς· καὶ προσέθηκε λογισμὸν, ὅτι διὰ τοῦτο ῥύεται, ἵνα πιστώσηται τὴν αὐτοῦ ἀνάστασιν. Νῦν οὖν, φησὶν, ὅτι καὶ πίστει δεῖ τοῦτο πεπληροφορῆσθαι, καὶ οὐ μόνον λογισμοῖς· καί φησιν, ὅτι, ὥσπερ ὁ Δαυὶδ ἐν πειρασμοῖς ὢν, καὶ ὑπὸ θεοῦ μόνου ῥυσθεὶς, ἔφη· *Ἐπίστευσα, διὸ ἐλάλησα*· οὕτω καὶ ἡμεῖς, τὸ αὐτὸ πνεῦμα ἔχοντες τῆς πίστεως, ὅπερ κἀκεῖνος εἶχε, πιστεύομεν, καὶ διὰ τοῦτο καὶ λαλοῦμεν· ὅτι, ὥσπερ Ἰησοῦς ἀνέστη, οὕτω καὶ ἡμεῖς νῦν τε τῶν κινδύνων περιεσόμεθα, καὶ αὖ συναναστησόμεθα.» Θεοφύλακτος. (α) Πραξ. Γ', 15. Π', 30. Ῥωμ. Δ', 24. Ί, 9. Α' Κορ. Ϛ', 14.
(β) Ῥωμ. Η', 11. Ἰωαν. Ε', 21. (γ) Α' Θεσσαλ. Δ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ οὖν ἴσμεν πάντα τὰ εἰς ἡμᾶς γινόμενα, εἰς εὐχαριστίαν θεοῦ τελευτᾷν, *οὐκ ἐκκακοῦμεν*, οὐδὲ ἀπαγορεύομεν πρὸς τοὺς πειρασμούς. *Ἀλλ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος.*] *Ἔξω μὲν ἄνθρωπον*, τὸ σῶμα καλεῖ, ὅπερ φθείρεται, μαστιζόμενον, διωκόμενον, καὶ δεσμούμενον· *ἔσω δὲ ἄνθρωπον*, τὴν ψυχὴν, ἥτις ἀναθάλλει, φησὶ, καθ' ἑκάστην ἡμέραν τῇ ἐλπίδι καὶ τῇ χαρᾷ, καὶ τῷ εἰδέναι, ὅτι ὑπὲρ θεοῦ πάσχει.

17 Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κα-
18 τεργάζεται ἡμῖν· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

Ὁρα τροπὴν, εἰς τὸ κατατολμᾷν τῶν πειρασμῶν καὶ θαρρεῖν αὐτοῖς. *Τὸ γὰρ παραυτίκα*, φησὶ, τουτέστι, τὸ ὀλιγοχρόνιον, τὸ βραχὺ εἰς τὸ παυθῆναι, τῆς θλίψεως· καὶ οὐκ ἠρκέσθη, εἰπὼν, τὸ *παραυτίκα*, ἀλλὰ καὶ *ἐλαφρόν* φησιν· *αἰώνιον βάρος δόξης κατεργάζεται*· καὶ οὐχ ἁπλῶς, ἀλλὰ *καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν* τοῦτο ποιοῦν. Καὶ ὅρα τῆς ἀντιμισθίας τὸ πλεονάζον! Τῷ γὰρ παραυτίκα, τὸ αἰώνιον ἀντιμετρήσει, τῷ ἐλαφρῷ, τὸ βαρὺ, τῇ θλίψει, τὴν δόξαν. Καὶ οὐδὲ ἄχρι τούτων οἱ πλεονασμοὶ τῶν ἀντιδόσεων· ἀλλὰ καὶ, *καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν* (1). *Μὴ σκοπούντων ἡμῶν.*] Ἐπειδὴ βαρεῖαν οὖσαν τὴν θλῖψιν, εἶπεν ἐλαφρὰν, ἐπεξηγεῖται, πῶς ἐστὶν ἐλαφρὰ ἡ νυνὶ θλῖψις. Ἐάν, φησι, μὴ σκοπῶμεν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· ἐὰν γὰρ τὰ ἐκεῖ τοῖς νῦν ἀντιστήσῃς, ἐλαφρὰ τὰ νῦν φανεῖται· πρόσκαιρα γάρ ἐστιν, ἐκεῖνα δὲ αἰώνια.

ΚΕΦ. V, 1 Οἴδαμεν γὰρ, ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ

(1) « Ἑρμηνεύει, πῶς ἀνακαινοῦται ὁ ἔσω ἄνθρωπος, καί φησιν, ὅτι ἐνθυμούμενος, ὅτι ἡ μὲν θλῖψις παραυτίκα ἐστὶ, τουτέστι, πρόσκαιρος, καὶ ἐλαφρὰ, διὰ τοῦτο αὐτὸ ὅτι πρόσκαιρος· ἡ δὲ δόξα, καὶ αἰώνιός ἐστι, καὶ βάρος ἔχει, τουτέστι, μέγεθος ὑπερβολικῶς ὑπερβολικόν· τοῦτο γὰρ λέγει διὰ τοῦ, καθ' ὑπερβολὴν εἰς ὑπερβολήν. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐ-
2 ρανοῖς. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητή-
ριον ἡμῶν, τὸ ἐξ οὐρανοῦ, ἐπενδύσασθαι ἐπιποθοῦν-
3 τες. Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.
4 Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρού-
μενοι· ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπεν-
δύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

Ἐπειδὴ τὸν περὶ ἀναστάσεως γυμνάζειν μέλλει λόγον, πρὸς ὃν οἱ Κορίνθιοι ἀσθενέστερον διέκειντο, προκατασύρει αὐτοὺς διὰ τοῦ, *οἴδαμεν*, ὡς καὶ αὐτῶν ἐπισταμένων, καὶ οὐκ ἀμφιβαλλόντων περὶ τὴν ἀνάστασιν. — ΑΛΛΟ. Ἐπειδὴ εἶπεν ἀνωτέρω; ὅτι ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται, ἐδόκει δὲ καινόν τι λέγειν, νῦν τὸ πλέον λέγει, ὅτι καὶ ἡ παντελὴς τοῦ σώματος ἡμῶν φθορὰ, ἡ διὰ τοῦ θανάτου, ὠφέλιμος· ἀπὸ γὰρ φθαρτοῦ ἄφθαρτον αὐτὸ λαμβάνομεν. Ὅρα δὲ, τῇ παραθέσει πόσον ἔδειξε τὸ διάφορον· τοῦτο γὰρ ἐπίγειον, ἐκεῖνο οὐράνιον, τουτέστιν, ἐξ οὐρανοῦ τὴν ἀφθαρσίαν λαμβάνον· τοῦτο οἰκία σκήνους, ὅπερ τὸ εὐδιάλυτον δηλοῖ, ἐκεῖνο αἰώνιον. Εἶτα λέγει ἐκεῖνο καὶ *ἀχειροποίητον*, οὐχ ὅτι δηλονότι τοῦτο τὸ παρὸν σῶμα χειροποίητόν ἐστιν, ἀλλὰ τὰ ἐγκώμια αὔξει ἐκείνου. —*Ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ.*] *Ἐπίγειον οἰκίαν* τοῦ *σκήνους*, τὸ σῶμα ἐκάλεσε· διὰ δὲ τοῦ *σκῆνος* αὐτὸ καλέσαι, τὸ πρόσκαιρον ἐδήλωσε· τοιοῦτον γὰρ ἡ σκηνή· εἰδὲ καὶ πολλάκις *σκηναὶ* καλοῦνται καὶ αἱ τῶν δικαίων ἀναπαύσεις, ἀλλὰ μετὰ προσθήκης· οἷον, αἰώνιοι σκηναί. Ὅρα δὲ, πῶς πρὸς τὴν ἐπίγειον ἀντέθεικε τὴν οὐράνιον· πρὸς τὸ σκῆνος, τὴν αἰώνιον. Αὔξων δὲ τὸ ἐγκώμιον τῆς μελλούσης δόξης τοῦ σώματος ἡμῶν, καὶ *ἀχειροποίητον* προσέθηκεν· οὐχ ὡς πρὸς ἀντιδιαστολὴν τούτου τοῦ σώματος· οὐδὲ γὰρ χειροποίητόν ἐστι τοῦτο (Θεοφυλάκτου). Ἡ, *Ἐπίγειος* μὲν *οἰκία*, ἡ ἐνταῦθα βραχύβιος ζωή· *σκῆνος* δὲ, τὸ σῶμα· ἄλλο γὰρ οἰκία, καὶ ἄλλο τὸ σκῆνος, οὗ ἐστὶν ἡ οἰκία, καὶ ἄλλο ἡμεῖς, ὧν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστι τὸ σκῆνος ἴδιον. Ἐὰν οὖν, φησὶν, *ἡ οἰκία τοῦ σκήνους ἡμῶν καταλυθῇ*, τουτέστιν, ἡ ἐνταῦθα βραχύβιος ἡμῶν ζωὴ, ἔξομεν *οἰκίαν ἀχειροποίητον*, τουτέστι, ζωὴν αἰώνιον, ἐν τοῖς οὐρανοῖς, οὐ προσδεομένην τῆς ἡμετέρας ἐργασίας καὶ τῶν ἡμετέρων χειρῶν πρὸς σύστασιν. Καλῶς δὲ ὡς πρὸς ἀντιδιαστολὴν τῆς παρούσης ζωῆς, τὴν μέλλουσαν *ἀχειροποίητον* εἶπεν· ἡ γὰρ παροῦσα, ὡς ἀπὸ τῶν χειρῶν ἔχουσα τὴν σύστασιν· (ἄρτος γὰρ, καὶ ποτὸν, καὶ ἔνδυμα, ἐξ ὧν καὶ ἡ ζωὴ ἡμῶν, διὰ χειρῶν γίνονται·) χειροποίητος ἂν ῥηθείη. Οὕτως ὁ ἅγιος Μεθόδιος ἐν τῷ Περὶ ἀναςάσεως λόγῳ. — ΑΛΛΩΣ. *Ἐπίγειον οἰκίαν*, τὴν κατὰ τὸν παρόντα βίον λέγει διαγωγήν· *σκῆνος* δὲ, τὸ σῶμα. Ἐὰν τοίνυν λάβῃ τέλος τὰ παρόντα, τὴν ἀχειροποίητον ἔχομεν οἰκίαν, τὴν αἰώνιον καὶ οὐράνιον.—*Οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν.*] Οἷον, τὴν ἀνανέωσιν, τὴν ἔγερσιν. *Ἐν τοῖς οὐρανοῖς.*] Οἷον, ἐν τοῖς οὐρανοῖς κατασκευασθεῖσαν, ἄφθαρτον, τουτέστι, διὰ χάριτος οὐρανίου. *Καὶ γὰρ ἐν τούτῳ.*] Ἀντὶ τοῦ, Διὰ τοῦτο. *Στενάζομεν.*] Ὑμεῖς, φησὶ, στενάζετε, ὡς εἰκὸς, φθειρομένου τοῦ σώματος ὑμῶν ἐν ταῖς θλίψεσιν· ἡμεῖς δὲ, οἷς ἐναργὴς ἡ πίστις τῆς ἀναστάσεως, στενάζομεν, ὅτι μὴ παντελῶς φθείρεται. Διὰ τί; Ὅτι ἐπιποθοῦμεν τὸ *ἐξ οὐρανοῦ οἰκητήριον ἡμῶν*, ἤτοι τὸ ἄφθαρτον ἡμῶν σῶμα, *ἐπενδύσασθαι*. Καλῶς δὲ τὸ, *ἐπενδύσασθαι*· τὸ γὰρ θνητὸν τοῦτο σῶμα, ἐπενδύεται τὴν ἀφθαρσίαν. *Τὸ οἰκητήριον ἡμῶν.*] Ποῖον *οἰκητήριον*; Τὸ σῶμα τὸ ἄφθαρτον. *Ἐξ οὐρανοῦ* δέ φησιν αὐτὸ, οὐχ ὅτι ἄνωθεν κάτεισιν, ἀλλ' ὅτι ἐκεῖθεν ἔχει ἐκπεμπομένην τὴν τῆς ἀφθαρσίας χάριν. Οὐκ εἶπε δὲ, σκῆνος, ἀλλ', *οἰκητήριον*, τὴν εἰς αὐτὸ ἀσφαλῆ μονὴν καὶ οἴκησιν δηλῶν.— ΑΛΛΟ. *Οἰκητήριον* ἐνταῦθα, τὴν ἀφθαρσίαν ἐκάλεσεν· *ἐξ οὐρανοῦ* δὲ αὐτὴν εἴρηκεν· ἐπειδὴ ἐκεῖθεν ἡμῖν ἡ δωρεὰ καταπέμπεται· οὐκ εἶπε δὲ ἐνδύσασθαι, ἀλλ', *ἐπενδύσασθαι*· ἐπειδὴ οὐχ ἕτερον ἐνδυόμεθα σῶμα, ἀλλὰ τὸ φθαρτὸν τοῦτο τὴν ἀφθαρσίαν ἐπενδύεται (Θεοδωρήτου).—*Εἴγε καὶ ἐνδυσάμενοι*,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ γυμνοὶ εὑρεθησόμεθα.] Τουτέστι· Κἂν ἀποθώμεθα τὸ σῶμα, οὐ χωρὶς σώματος ἐκεῖ παραστησόμεθα, ἀλλὰ μετ' αὐτοῦ, ἀφθάρτου γενομένου. Τινὲς δέ φασιν, ὅτι, ἵνα μὴ διὰ τὴν ἀφθαρσίαν τοῦ σώματος πάντες θαῤῥῶσι, φησὶν, *Εἴγε καὶ ἐνδυσάμενοι*, τουτέστι, τὴν ἀφθαρσίαν, καὶ σῶμα ἄφθαρτον λαβόντες, *οὐ γυμνοὶ εὑρεθησόμεθα* δόξης καὶ ἀσφαλείας, ὡς τὴν ἐκ τῆς ἁμαρτίας ἀσχημοσύνην ἔχοντες· ἡ μὲν γὰρ ἀνάστασις κοινὴ πάντων· ἡ δὲ δόξα, οὔ. Ἢ, ἵνα μὴ ἐκ τῆς ἀναστάσεως μόνης, καὶ ἐκ τῆς τοῦ σώματος ἐναλλαγῆς νομίσωσι τὸ πᾶν κατορθοῦσθαι, ἐπάγει· Εἴγε καὶ ἄφθαρτον αὐτὸ ἐνδυσάμενοι, οὐ γυμνοὶ δόξης καὶ τιμῆς εὑρεθησόμεθα· ἡ γὰρ ἀφθαρσία, τοῖς μὲν, εἰς ἀγαθὸν, τοῖς δὲ, εἰς κακὸν ἔσται, διαιωνίζειν ποιοῦσα, καὶ τὰς τιμὰς, καὶ τὰς τιμωρίας. *Οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν.*] Στενάζομεν, φησὶν, οὐκ ἀπαλλαγῆναι τοῦ σώματος ἐφιέμενοι, ἀλλὰ τῶν παθῶν αὐτοῦ ἐλεύθεροι γενέσθαι ποθοῦντες· οὐ γὰρ ἀπενδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι τὴν ἀφθαρσίαν ὀρεγόμεθα. *Βαρούμενοι.*] Ἐπειδὴ ἀντέκειτο αὐτῷ ἡ κοινὴ τῶν ἀνθρώπων δόξα, Τί, φησι, στενάζεις, ἵνα ἀποθῇ τὸ σῶμα; καίτοι πάντες ἄνθρωποι στενάζουσιν, ἵνα μὴ ἀποθάνωσιν· Οὐδὲ ἡμεῖς, φησὶ, στενάζομεν, ἵνα ἀποθώμεθα τὸ σῶμα, καὶ ἐκδυσώμεθα· ἀλλ' ἵνα ἐπενδυσώμεθα τὴν ἀφθαρσίαν. Οὐ γὰρ ἐπειδή, φησι, σῶμά ἐστι, βαρούμεθα· ἀλλ' ἐπειδὴ θνητὸν καὶ φθαρτόν. *Ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι.*] *Τὸ, ἐφ' ᾧ*, ἀντὶ τοῦ, ἐπειδή. *Ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.*] Ἐπενδύσασθαι, φησι, τὴν ἀφθαρσίαν σπεύδομεν· *ἵνα καταποθῇ*, τουτέστιν, ἀναλωθῇ καὶ δαπανηθῇ, *τὸ φθαρτὸν*, ἤτοι, ἡ φθορὰ, ὑπὸ τῆς ζωῆς.

5 Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, θεὸς,
6 ὁ καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος. Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες, ὅτι, ἐνδημοῦντες
7 ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου· (διὰ
8 πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους·) θαῤῥοῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεν δὲ, καὶ εὐδοκοῦμεν μᾶλλον, ἐκδημῆσαι ἐκ τοῦ
9 σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον· διὸ καὶ
φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες,
εὐάρεστοι αὐτῷ εἶναι.

Τίς ταύτην τὴν ἐναλλαγήν, φησι, τοῦ σώματος ποιήσει; Τίς; Ὁ εἰς τοῦτο αὐτὸ ἐξ ἀρχῆς *κατεργασάμενος ἡμᾶς, θεὸς*, ἵνα ὦμεν ἄφθαρτοι καὶ ἀθάνατοι. Δείκνυσι δὲ οὕτως οὐ νεωτέραν τὴν ἐπὶ τούτῳ δόκησιν· ἀλλ' ἐπὶ ἀθανασίᾳ μὲν ἡμᾶς διαπεπλάσθαι· ἐπεὶ δὲ φθόνῳ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν (α), ἄλλην πάλιν ἐξεῦρεν ὁδὸν ἡμῖν ἀθανασίας ὁ θεός. *Ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος.*] Αὐτός, φησι, τὴν ἐπὶ ἀφθαρσίᾳ ἐναλλαγὴν ποιήσει· τοῦτο γὰρ προσυπακουστέον ἔξωθεν. Καὶ ὅτι, φησὶν, ἐπὶ τῷ γενέσθαι ἡμᾶς ἀθανάτους κατειργάσατο, δῆλον ἐξ ὧν ἔδωκε τὸ πνεῦμα· οὐκ ἂν γὰρ ἔδωκεν αὐτὸ τοῖς μὴ τοῦτο μέλλουσι γίνεσθαι. Συνεχῶς δὲ τὸν *ἀρραβῶνα τοῦ πνεύματος* λέγει, ὀφειλέτην αὐτὸν ποιῶν τοῦ δοῦναι καὶ τὸ τέλειον (ι). *Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες, ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι.*] Καλῶς τὸ, *ἐνδημοῦντες*, ὡς ἐν ἀλλοτρίᾳ ὄντες· πάροικοι γάρ ἐσμεν καὶ παρεπίδημοι (β). Τοῦτο δὲ θέλει εἰπεῖν· Θαῤῥούντως εἰδότες, ὅτι τὸ τῇ σωματικῇ προσμένειν ζωῇ, διατειχίζει ἡμᾶς τῆς μετὰ Χριστοῦ διαγωγῆς, βουλόμεθα μᾶλλον ἐκδημῆσαι μὲν τοῦ σώματος, σὺν Χριστῷ δὲ εἶναι. *Διὰ πίστεως γὰρ περιπατοῦμεν.*] Ἵνα δὲ μή τις εἴπῃ· Τί οὖν; ὄντες ἐν σώματι, ἀλλότριοι ἐσμεν τοῦ Χριστοῦ; ἐπάγει· *Διὰ πίστεως γὰρ περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους*· ὡς εἰ εἶπε· Διὰ τοῦτο εἶπον, *Ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου*· ἐπειδὴ διὰ πίστεως αὐτὸν νῦν ὁρῶμεν· δι' αὐτῆς

(α) Σοφ. Σολομ. Β', 23.—25.

(ι) « Διὰ τοῦ βαπτίσματος πνεῦμα ἡμῖν δοὺς, τὸν ἀρραβῶνα τῆς ἀφθαρσίας ἔδωκε· καὶ γὰρ ἤγιασε καὶ ψυχὴν καὶ σῶμα, καὶ θειότερα ἀμφότερα πεποίηκε, τῆς ἁμαρτίας ἀπαλλάξας, ἐξ ἧς ὁ θάνατος. Ὥστε, ἐπεὶ πνεῦμα δέδωκε, πρόδηλον ὅτι τῆς ἁμαρτίας ἀπήλλαξεν· ἁμαρτίας δὲ ἀπαλλάξας, καὶ τὴν φθορὰν κατήργησεν· ἐξ ἁμαρτίας γὰρ ἡ φθορά. Οὕτως οὖν ἀρραβὼν τῆς μελλούσης ἀθανασίας τὸ πνεῦμα. » Θεοφύλακτος.

(β) Ψαλμ. ΑΗ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ περιπατοῦμεν, καὶ οἱονεὶ ὁδηγούμεθα εἰς τὴν αὐτοῦ γνῶσιν· τότε δὲ *διὰ εἴδους*, τουτέστιν, αὐτοψεί· ὃ καὶ ἀλλαχοῦ φησί· *Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι· τότε δὲ πρόσωπον πρὸς πρόσωπον* (α). *Θαῤῥοῦμεν δέ.*] Τὸ, Δὲ, παρέλκεται. *Καὶ εὐδοκοῦμεν μᾶλλον, ἐκδημῆσαι ἐκ τοῦ σώματος.*] Ἐπεὶ οὖν ἴσμεν, τί ποιεῖ τὴν πρὸς τὸν Κύριον ἐνδημίαν, θαῤῥούντως εὐδοκοῦμεν ἀποδημῆσαι ἐκ τοῦ σώματος, ἤτοι, ἐκδύσασθαι τὸ σῶμα τοῦτο, καὶ μετὰ Κυρίου γενέσθαι, καὶ τοῦτό, φησιν, ἐπιποθοῦμεν· *Διὸ καὶ φιλοτιμούμεθα.*] Τὸ, *φιλοτιμούμεθα*, ἢ σπουδάζομεν, ἢ καυχώμεθα, νόει. *Εὐάρεστοι αὐτῷ εἶναι.*] Ἵνα γὰρ μὴ νομίσωσιν, ἀποχρῆν αὐτοῖς πρὸς σωτηρίαν τὴν πρὸς τὸν Χριστὸν ἐνδημίαν, τὸ *εὐάρεστοι αὐτῷ εἶναι* ἐπάγει. Τοῦτο γὰρ ἡ μακαρίαν τὴν πρὸς αὐτὸν ἐνδημίαν ποιεῖ, ἢ τρισαθλίαν, ἐὰν μὴ ὦμεν αὐτῷ εὐάρεστοι.

10 Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν
τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος
τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν,
11 εἴτε κακόν. Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου,
ἀνθρώπους πείθομεν, θεῷ δὲ πεφανερώμεθα· ἐλ-
πίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

Λοιπὸν καὶ ἀπὸ τῶν σκυθρωποτέρων ποιεῖ. Πλὴν ὅτι ἀναμνήσας τοῦ φοβεροῦ βήματος, οὐ μόνον τὰ σκυθρωπὰ, ἀλλὰ καὶ τὰ χρηστότερα τῶν ἐκεῖ λέγει. *Ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος.*] Τὰ διὰ τοῦ σώματος αὐτῷ πεπολιτευμένα καὶ πεπραγμένα φησί· κομίσηται δὲ *πρὸς ἃ ἔπραξεν*, εἴτε ἀγαθὰ, εἴτε κακά. Ἐπειδὴ γὰρ πρός τε τὰ καλὰ καὶ μὴ τοιαῦτα τὸ σῶμα ὑπηρέτησε τῇ ψυχῇ, καὶ τὰς ἀμοιβὰς μετ' αὐτῆς ἀπολαμβάνει. Καὶ τοῦτο τῶν λεγόντων, ἄλλο σῶμα τότε ἐγείρεσθαι, ἐμφράττει τὰ στόματα· οὐ γὰρ ἂν, ἄλλου σώματος ἁμαρτήσαντος, ἄλλο ἐτιμωρεῖτο, οὐδὲ ἄλλου κατορ-

(α) Α' Κορ. ΙΓ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θώσαντος, ἄλλο ἐστεφανοῦτο. *Πρὸς ἃ ἔπραξεν.*] Οὐδὲ γὰρ γυμνὴ ἡ ψυχὴ, ἀλλὰ διὰ τοῦ σώματος νομίζεται ταῦτα· τουτέστι, *πρὸς ἃ ἔπραξε*, συμπάσχουσα καὶ συνδοξαζομένη τῷ συζύγῳ σώματι. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ. *Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου.*] Εἰδότες, φησὶ, τὸ δικαστήριον ἐκεῖνο τὸ φοβερὸν, καὶ τὴν κατ' ἀξίαν ἀπόδοσιν. *Ἀνθρώπους πείθομεν.*] Πάντα πράττομεν, ἵνα μή τινα ὑμῶν σκανδαλίσωμεν· τοῦτο γάρ ἐστι τὸ, *ἀνθρώπους πείθομεν*, ἀντὶ τοῦ, τὰ σκάνδαλα θεραπεύομεν. Οὐ γὰρ τὸ πράξαι τι τῶν φαύλων μόνον κατακρίνει, ἀλλὰ καὶ τὸ νομίζεσθαι πράττειν κολάζει, καὶ ἐὰν, δυνάμενοι τὴν τοιαύτην ὑποψίαν λῦσαι, καταφρονήσωμεν, κατακρινόμεθα.—ΑΛΛΩΣ. Συμβουλῆς καὶ παραινέσεως τὸ, *πείθομεν*· διὸ καὶ διὰ μακροῦ τοῦ ω γραπτέον.—*Θεῷ δὲ πεφανερώμεθα.*] Τῷ μέντοι Θεῷ φανεροὶ ἐσμὲν, κἀκεῖνος οἶδε, πῶς διάγομεν· καὶ οὐδὲν δεῖ τὸν εἰδότα Θεὸν, πείθειν, ὡς δῆθεν σκανδαλιζόμενον. *Ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.*] Ἐλπίζω δέ, φησιν, ὅτι καὶ ὑμᾶς οὐ σκανδαλίσομεν, ἀλλ' οἷοι ἐσμὲν, τοιοῦτοι ἐσμέν καὶ ἐν τῇ γνώσει ὑμῶν· τοῦτο γὰρ τὸ, *καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν.*

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἑαυτοῦ φιλοθεότητος καὶ φιλαδελφίας τῆς κατὰ Χριστόν.

12 Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν· ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους,
13 καὶ οὐ καρδίᾳ. Εἴτε γὰρ ἐξέστημεν, θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.

Συνεχῶς ἀποτρίβεται τὴν τοῦ δοκεῖν καυχᾶσθαι ὑπόνοιαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φησιν, ὅτι εἰς τούτους τοὺς λόγους ἤλθομεν, οὐχ ἑαυτοὺς *συνιστῶντες*, τουτέστιν, ἐπαίροντες, ἢ ἐγκωμιάζοντες, ἀλλ' ὑμῖν παρέχοντες ἀφορμὴν τοῦ καυχᾶσθαι καὶ καλλωπίζεσθαι ὑπὲρ ἡμῶν πρὸς τοὺς ψευδαποστόλους, οἳ διασύρουσιν ἡμᾶς. Ἵνα ὑμεῖς ἔχητε ὑπὲρ ἡμῶν καυχᾶσθαι, εἰς τούτους ἦλθόν, φησι, τοὺς λόγους. *Ἵνα ἔχητε.*] Προσυπακούεται ἔξωθεν τὸ, τί ἀπολογεῖσθαι, τί λέγειν, τί καυχᾶσθαι. *Πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους.*] Περὶ τῶν ψευδαποστόλων φησίν· οἵτινες πάντα πρὸς ἀνθρωπαρέσκειαν καὶ φιλοτιμίαν ἐποίουν· καὶ προσωπεῖον μὲν εἶχον εὐλαβείας καὶ σεμνότητος, ἔργων δὲ ἀγαθῶν ἐτύγχανον ἔρημοι ὄντες· τοῦτο γάρ ἐστι τὸ, *καὶ οὐ καρδίᾳ*, διὰ τὸ μὴ ἔχειν τι ἔνδον ἀγαθόν. *Εἴτε γὰρ ἐξέστημεν.*] Ἄν τε, φησὶ, μέγα φθεγγώμεθα· τοῦτο γὰρ τὸ, *ἐξέστημεν*· (μαινομένων γὰρ τὸ μεγάλα φθέγγεσθαι καὶ ὑπέρογκα·) διὰ τὸν θεὸν τοῦτο ποιοῦμεν. Πῶς; Ἵνα μὴ ὑμεῖς, νομίζοντες ἡμᾶς εὐτελεῖς, καταφρονῆτε τοῦ ὑφ' ὑμῶν κηρύγματος, καὶ ἀπόλλυσθε· ἄν τε μέτριόν τι καὶ ταπεινὸν εἴπωμεν, δι' ὑμᾶς τοῦτο ποιοῦμεν, ἵνα ταπεινοφρονεῖν ὑμᾶς διδάξωμεν. Ἢ οὕτως· Εἰ μέντις ἡμᾶς μαίνεσθαι νομίζει, παρὰ θεοῦ τὸν μισθὸν ἐκδεχόμεθα, δι' ὃν τοιοῦτοι νομιζόμεθα· εἰ δὲ νήφειν ἡγεῖται, αὐτὸς τῆς ἐκ τοῦ νήφειν ἡμᾶς ὠφελείας ἀπολαυέτω. Ἢ καὶ οὕτως· Εἰ μαινόμεθα, διὰ τὸν θεὸν μαινόμεθα· διὰ γὰρ τὴν ὑμῶν σωτηρίαν, ἧς κήδεται ὁ θεός, τοιαῦτα φθεγγόμεθα· ἵνα γνόντες, τίνες ἐσμὲν, σωθῆτε, πιστεύσαντες τοῖς παρ' ἡμῶν κηρυσσομένοις· εἰ δὲ σωφρονοῦμεν, πεισθῆτε. —ΑΛΛΩΣ. Τὸ, *Εἴτε ἐξέστημεν*, καὶ ἑξῆς, καλῶς ἐπήνεγκε τοῖς προειρημένοις. Εἶπε γάρ· *Ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι· οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν·* οὐ γὰρ δεόμεθα πρὸς ὑμᾶς συστάσεως. Ἄν τε γὰρ ἐξεστηκότας τις ἡμᾶς ἐρῇ, θεῷ ἐστι τοῦτο ἀνακείμενον, καὶ τῆς ἐκεῖθεν κρίσεως δεόμενον, οὐχ ὑμῶν· 8 καὶ ἀλλαχοῦ ἔλεγεν· Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν (α). *Εἴτε οὖν*, φησὶν, *ἐξέστημεν*, θεῷ ἡ τοιαύτη κρίσις ἀνάκειται, οὐχ ὑμῖν· εἴτέ τινι ὅλως δοκοῦμεν σωφρονεῖν, ὑμῖν μᾶλλον ὑπὲρ τοὺς ἄλλους πάντας νομιστέον ἡμᾶς σωφρονεῖν· *ἡ γὰρ σφραγὶς τῆς ἐμῆς* ἀποστολῆς, φησὶν ἀλλαχοῦ, *ὑμεῖς ἐστὲ ἐν Κυρίῳ* (β). Δεῖ οὖν ὑμᾶς, οὕτω περὶ ἡμῶν φρονεῖν καὶ λογίζεσθαι· οὐ μόνον δέ· ἀλλὰ καὶ πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, τὰ αὐτὰ ὑπὲρ ἡμῶν καὶ λέγειν καὶ διατείνεσθαι (Φωτίου).

14 Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ, συνέχει ἡμᾶς, κρί-
15 ναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ
16 τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.

Η *ἀγάπη τοῦ Χριστοῦ*, φησὶ, *συνέχει*, καὶ συνωθεῖ ἡμᾶς, καὶ ῥαθυμεῖν οὐκ ἐᾷ πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους. Διό, φησὶ, καὶ τοιαῦτα φθεγγόμεθα, ἵνα ὑμεῖς σωθῆτε, ἀξιοπίστους ἡμᾶς νομίσαντες· πείθειν γὰρ οἶδε μαθητὰς ὁ ἐνάρετος διδάσκαλος. *Κρίναντας τοῦτο.*] Συνέχει ἡμᾶς, φησὶ, καὶ συνωθεῖ ἡ ἀγάπη τοῦ Χριστοῦ· ἐπειδὴ κεκρίκαμεν εἶναι τοῦτο ἀληθές. Ποῖον; *Ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν*· ἐπειδὴ οἱ πάντες ἄνθρωποι ἦσαν ἀποθανόντες· διό *καὶ ὑπὲρ πάντων ἀπέθανεν*· *ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν.* Εἰ οὖν οὐ δεῖ ἡμᾶς ἑαυτοῖς ζῆν, εἰκότως σπουδάζομεν καὶ ἡμεῖς τοῦτο ποιεῖν· εἰκότως δ' ἂν καὶ ὑμεῖς τῶν ἐπιόντων καταφρονήσητε πειρασμῶν. *Ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι.*] Ἐπεὶ οὖν ἐζώωσεν ἡμᾶς, οὐκ ὀφείλομεν λοιπὸν ἑαυτοῖς ζῆν, ἀλλ' ἐκείνῳ, δι' ὃν ζῶμεν· ὃς οὐ μόνον ἀπέθανεν ὑπὲρ

(α) Α'. Κορ. Δ', 3. 4. (β) Α'. Κορ. Θ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῶν, ἀλλὰ καὶ ἠγέρθη, τὴν ἀπαρχὴν ἡμῶν, τουτέστι, τὸ αὐτοῦ σῶμα, εἰς τὸν οὐρανὸν ἀναγαγών, ἵνα καὶ ἡμᾶς πάντως ἀναγάγῃ. Τρεῖς ἄρα εἰσὶν αἱ ὀφειλόμεναι ἀφορμαὶ, δι' ἃς δεῖ σπουδάζειν ἡμᾶς, πάντα διὰ τὸν Κύριον ποιεῖν· μία, ὅτι αὐτὸς ὑπὲρ ἡμῶν ἀπέθανε· δευτέρα, ὅτι ἡμᾶς ἐζώωσε· τρίτη, ὅτι τὴν ἀπαρχὴν ἡμῶν, τουτέστι, τὴν ἰδίαν σάρκα, ἀνέστησε δι' ἡμᾶς, καὶ εἰς οὐρανοὺς ἀνήγαγεν, ἵνα καὶ ἡμᾶς πάντως ἀναγάγῃ, ὅπου ἡ ἀπαρχὴ ἡμῶν τυγχάνει. Ὅρα, ποῦ ἀνήγαγε τὸν λόγον! Τίς γὰρ ὅλως ἦν χρεία ἐνανθρωπήσεως καὶ σαρκώσεως τῷ θεῷ Λόγῳ, εἰ μὴ ἐκ τούτου ᾠκονομεῖτο ἡ ἡμῶν ἀνάπλασις καὶ ἀνάστασις; *Οὐδένα οἴδαμεν κατὰ σάρκα.*] Οἷον, ζῶντα. Ἐπεὶ οὖν πάντες ἀπέθανον τῇ ἁμαρτίᾳ, καὶ ζῶσι διὰ τὸν Χριστὸν, εἰκότως *οὐδένα οἴδαμέν*, φησι, τῶν πιστῶν *κατὰ σάρκα* ζῶντα, τουτέστι, κατὰ τὴν πάλαι πολιτείαν, τὴν ἐν ἁμαρτίαις· τὸ γὰρ τοιοῦτον, θάνατός ἐστι, καὶ οὐ ζωή· ἀλλὰ νῦν οἱ ὄντως ζῶντες, κατὰ πνεῦμα ζῶσιν· ἀνεγεννήθησαν γὰρ ἐν τῷ βαπτίσματι· διὸ καὶ νέαν ἔχουσι ζωὴν, καὶ οὐ παλαιάν. *Εἰδὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν.*] Καὶ τοσοῦτον, φησὶν, οὐδεὶς ἔτι κατὰ σάρκα ζῇ· (ἐκείνη γὰρ οὐκ ἔστι ζωὴ, ἀλλὰ θάνατος·) ὅτι καὶ ὁ Χριστὸς, ἵνα δείξῃ, ὅτι τὸ κατὰ σάρκα ζῆν ἐκβέβληται, καὶ νῦν κατὰ πνεῦμα ζῶμεν, καὶ αὐτὸς τοῦ κατὰ σάρκα ζῆν ἐπαύσατο. Πῶς; Οὐ τὸ σῶμα ἀφεὶς, ἄπαγε! (μετ' αὐτοῦ γὰρ ὡς ἰδίου ἥξει κριτὴς ἁπάντων·) ἀλλὰ τῶν φυσικῶν ἀπαλλαγεὶς παθῶν, οἷον, πείνης, καὶ δίψης, καὶ ὕπνου, καὶ κόπου· νῦν γὰρ ἀπαθὲς καὶ ἀκήρατον ἔχει τὸ σῶμα. — *Εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν.*] Ὥσπερ ἡμῶν τὸ κατὰ σάρκα, ἐστὶ τὸ ἐν ἁμαρτίαις εἶναι, καὶ τὸ ἔξω τούτων εἶναι, οὐ κατὰ σάρκα· οὕτω καὶ τοῦ Χριστοῦ τὸ κατὰ σάρκα, τὸ εἶκειν τοῖς φυσικοῖς πάθεσι· τὸ μὴ εἶκειν δὲ αὐτοῖς, οὐ κατὰ σάρκα. Ἀλλ' ὥσπερ, φησὶν, ἐκεῖνος ἀπηλλάγη, οὕτω καὶ ἡμεῖς. Οὕτως ὁ Κλήμης ἐν τετάρτῳ τῶν Ὑποτυπώσεων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα
18 παρῆλθεν, ἰδοὺ, γέγονε καινὰ τὰ πάντα. Τὰ δὲ
πάντα ἐκ τοῦ θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς
ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν
19 διακονίαν τῆς καταλλαγῆς· ὡς ὅτι θεὸς ἦν ἐν
Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζό-
μενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμε-
νος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

Εἴτις ἐν *Χριστῷ* ζῇ, φησὶ, τουτέστιν, ἐν τῇ πίστει αὐτοῦ, *καινὴ κτίσις* ἐστίν· εἰς καινὴν γὰρ ἦλθε καὶ νέαν ζωήν· (καὶ γὰρ ἄνωθεν ἐγεννήθημεν διὰ τοῦ πνεύματος·) τοῦ ζῆν οὐ τὴν ἐν ἁμαρτίαις ζωὴν, ἀλλὰ τὴν ἐν πνεύματι. *Τὰ ἀρχαῖα παρῆλθεν.*] Ποῖα ἀρχαῖα; Ἤτοι τὰ ἁμαρτήματά φησι καὶ τὰς ἀσεβείας, ἢ τὰ Ἰουδαϊκὰ πάντα.—ΑΛΛΩΣ. Πῶς δὲ τὰ ἀρχαῖα παρῆλθε; Ψυχὴ καὶ σῶμα ἡμῖν καινόν· ἐκαθάρθη γὰρ τῷ βαπτίσματι· ἀντὶ τῆς παλαιᾶς διαθήκης, διαθήκη καινή· ἀντὶ τῆς ἐπιγείου Ἱερουσαλὴμ, ὁ οὐρανός· ἀντὶ ναοῦ αἰσθητοῦ, ναὸς πνευματικός· ἀντὶ πλακῶν λιθίνων, σάρκιναι πλάκες· ἀντὶ περιτομῆς, βάπτισμα· ἀντὶ μάννα, σῶμα δεσποτικόν· ἀντὶ τοῦ ἐκ πέτρας ὕδατος, αἷμα δεσποτικόν· ἀντὶ τῆς ῥάβδου Μωσέως, ὁ σταυρός· ἀντὶ γῆς ἐπαγγελίας, βασιλεία οὐρανῶν· ἀντὶ μυρίων τῶν κατὰ τὸν νόμον ἱερέων, εἷς ἀρχιερεὺς ὁ Χριστός· ἀντὶ ἀμώμου προβάτου, ὁ υἱὸς τοῦ θεοῦ· ἀντὶ ψιλοῦ ὀνόματος υἱοθεσίας, ἀληθὴς υἱοθεσία· ἡ γὰρ καινὴ κτίσις, καὶ ὡς πρὸς τὴν ἐν ἁμαρτίαις ζωὴν εἴρηται, καὶ ὡς πρὸς τὰ κατὰ νόμον ἤθη καὶ ἐπιτάγματα.—*Τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ.*] Ταῦτα δὲ πάντα, φησὶν, ἐκ θεοῦ ἡμῖν δεδώρηται, τοῦ διὰ τῆς μεσιτείας τοῦ υἱοῦ αὐτοῦ ἀποκαταλλάξαντος ἡμᾶς ἑαυτῷ. Οὐ γὰρ ἡμεῖς αὐτῷ προσεδράμομεν, ἀλλ' αὐτὸς ἡμᾶς ἐκάλεσε διὰ τῆς σφαγῆς τοῦ υἱοῦ αὐτοῦ. *Καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.*] Ὦ βάθος φιλανθρωπίας! Οὐ γὰρ, ἐπειδὴ πρέσβυν ἐπὶ καταλλαγὴν ἔπεμψεν ὁ πατὴρ τὸν υἱὸν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸς δὲ ἐσφάγη, λοιπὸν ἠμέλησε τῶν ἀνθρώπων, ἀλλὰ, καὶ τοῦ υἱοῦ ἀποθανόντος, ἡμῖν, φησι, τοῖς ἀποστόλοις τὴν διακονίαν τῆς καταλλαγῆς πάλιν ἐπίστευσεν, ἵνα περιερχόμενοι πρεσβεύωμεν πρὸς τοὺς ἀποστάτας τοῦ θεοῦ, καὶ προσάγωμεν αὐτοὺς αὐτῷ. *Ὡς ὅτι θεὸς ἦν ἐν Χριστῷ.*] Καὶ γάρ, φησι, τὸ πρῶτον, οἷον, πρὸ τοῦ σταυροῦ, θεὸς ἦν, τουτέστιν ὁ πατὴρ, διὰ μέσου Χριστοῦ, ὡς μεσίτου, καταλλάσσων ἑαυτῷ τὸν κόσμον. *Μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν.*] Οὕτω γὰρ, καὶ οὐκ ἄλλως ἐνῆν τὴν καταλλαγὴν γενέσθαι, τῷ πρῶτον ἀφεῖναι τὰ πλημμελήματα· ὡς, εἴγε δίκην ἀπήτησε τῶν ἁμαρτιῶν, οὐκ ἄν τις, φησὶ, περιελείφθη ὃς καταλλαγείη (1). *Καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.*] Ὁ πατὴρ οὖν ἦν, καὶ πρὸ τοῦ σταυροῦ, διὰ τοῦ υἱοῦ αὐτοῦ καταλλάσσων ἑαυτῷ τὸν κόσμον, ὁ καὶ νῦν θέμενος ἐν ἡμῖν τὸν λόγον καὶ τὴν διακονίαν τῆς καταλλαγῆς. Ἐπειδὴ γάρ, φησιν, ὁ υἱὸς αὐτοῦ ἐσταυρώθη, ἡμᾶς εἴασε παρακαλοῦντας πρὸς καταλλαγὴν τοὺς ἐπὶ γῆς. Εἶδες μέγεθος ἀφάτου ἀγαθότητος; Οὐδὲν οὖν, φησὶ, φορτικὸν ὑμῖν ἤλθομεν ποιῆσαι, ἀλλὰ φίλους ποιῆσαι ὑμᾶς πρὸς τὸν θεόν.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, κα-
21 ταλλάγητε τῷ θεῷ. Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

Ὦ ποῦ ἐξῆρε τὸ πρᾶγμα! *Ὑπὲρ Χριστοῦ*, φησὶ, *πρεσβεύομεν.*] *Ὑπὲρ Χριστοῦ*, τουτέστιν, ἀντὶ τοῦ Χριστοῦ· τὸ γὰρ αὐτοῦ ἔργον ἡμεῖς ἀνεδεξάμεθα νῦν. Ἀντὶ τοῦ Χριστοῦ οὖν ἡμεῖς

(1) « Εἶπεν ἄνω, ὅτι αὐτὸς κατήλλαξεν ἡμᾶς ἑαυτῷ. Ἵνα οὖν μήτις εἴπῃ· Καὶ μὴν τὸν υἱὸν ἔπεμψε· νῦν φησὶν, ὅτι τὸν υἱὸν μὲν ἔπεμψε· πλὴν οὐχ ὁ υἱὸς μόνος παρεκάλει, ἀλλὰ καὶ ὁ πατὴρ ἦν καταλλάσσων αὐτῷ τὸν κόσμον διὰ Χριστοῦ· τοῦτο γὰρ τὸ, ἐν Χριστῷ· καὶ τοσαύτην τοῖς ἀνθρώποις ἀγαθότητα ἐπιδεικνύμενος, ὥστε οὐ μόνον οὐκ ἐκόλασεν, ἀλλὰ καὶ κατηλλάγη· καὶ οὐ μόνον ἀφῆκεν, ἀλλ' οὐδὲ ἐλογίσατο τὰς ἁμαρτίας· καὶ γὰρ δὴ, εἰ ἠθέλησε λόγους ἀπαιτῆσαι, πάντως ἂν ἀπώλοντο. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρεσβεύομεν, ὡς τοῦ πατρὸς παρακαλοῦντος δι' ἡμῶν. Οὔτε γὰρ διὰ τοῦ Χριστοῦ μόνον παρεκάλει ἡμᾶς ὁ πατήρ· ἀλλὰ καὶ νῦν, τούτου σταυρωθέντος, δι' ἡμῶν παρακαλεῖ, ἵνα καταλλαγῆτε. *Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ θεῷ.*] Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύοντες, ὑπὲρ Χριστοῦ καὶ παρακαλοῦμεν, *καταλλάγητε τῷ θεῷ*. Οὐκ εἶπε δὲ, Καταλλάξατε ἑαυτοῖς τὸν θεὸν, ἀλλ', Ὑμεῖς καταλλάγητε αὐτῷ· ὑμεῖς γὰρ ἐστὲ οἱ ἐχθροὶ, καὶ οἱ μισοῦντες· ὑμεῖς οὖν καταλλάγητε αὐτῷ, φιλιώθητε. *Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν.*] Ὅρα τὸ ἔντεχνον καὶ σοφὸν αὐτοῦ! Λοιπὸν ὡς πρεσβευτὴς καὶ αἰτίαν, δι' ἣς ἂν πεισθεῖεν, λέγει. Ἵνα γάρ, φησι, μηδὲν εἴπω τῶν πρώτων, ὅτι ὑβρίσατε, ὅτι ἠτιμάσατε εὐεργέτην, ὅτι δίκας οὐκ ἀπήτησεν, ὅτι μᾶλλον αὐτὸς πρῶτος καταλλαγῆναι εἵλετο, κἂν δι' ὃ ἐποίησε νῦν οὐ δίκαιοι καταλλαγῆναι ὑπάρχετε; Ποῖον τοῦτο; *Ὅτι τὸν μὴ γνόντα ἁμαρτίαν*, τουτέστι, τὸν αὐτοδικαιοσύνην ὄντα καὶ ἁγιασμὸν (α), τὸν υἱὸν αὐτοῦ, ὁ πατὴρ *ἁμαρτίαν* ἐποίησε, τουτέστιν, ὡς ἁμαρτωλόν τινα καὶ κατάδικον εἶασε σταυρωθῆναι (1). Οὐκ εἶπε δὲ, ὅτι ἁμαρτωλὸν ἐποίησεν, ἀλλ', *ἁμαρτίαν*, ὅπερ μεῖζόν ἐστιν. Ἀπέθανε δὲ ὁ Χριστὸς οὐκ εἰκῇ, οὐδ' οὐδὲν ὠφελῶν ἡμᾶς, ἀλλ' ἵνα ἡμᾶς δικαίους ἀπεργάσηται.— Ἄλλοι οὕτως ἡρμήνευσαν. *Ἁμαρτία* λέγεται, τὸ ὑπὲρ ἁμαρτιῶν προσφερόμενον θῦμα, ὡς καὶ ὁ προφήτης λέγει· « Ἁμαρτίας λαοῦ μου φάγονται (6)»· τουτέστι, τὰ ὑπὲρ ἁμαρτιῶν θύματα. Θῦμα οὖν ὑπὲρ ἁμαρτιῶν ἐποίησεν ὁ πατὴρ τὸν υἱόν.— *Ἁμαρτίαν ἐποίησε*, τουτέστιν, ὡς ἁμαρτωλὸν κατακριθῆναι εὐδόκησεν. *Ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.*] Οὐκ εἶπε δὲ, Ἵνα δίκαιοι γενώμεθα, ἀλλὰ, *δικαιοσύνη*, ὅπερ μεῖζον ἦν· *καὶ θεοῦ δικαιοσύνη*· θεοῦ

(α) Α' Κορ. Α', 30. (1) « Ἐπικατάρατος γὰρ ὁ κρεμάμενος ἐπὶ ξύλου (Δευτερ. ΚΑ', 23)· καί· Μετὰ ἀνόμων ἐλογίσθη (Ἡσ. ΝΓ'. 12.).» Θεοφύλακτος.
(6) Ὡσηέ Δ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ δικαιοσύνη, τὸ μὴ ἐξ ἔργων, ἀλλὰ διὰ συγχωρήσεως δικαιωθῆναι ἐν αὐτῷ, τουτέστι, δι' αὐτοῦ (1).

ΚΕΦ. VI, 1 Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ
2 εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς· (λέγει γάρ· «Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι (α).» Ἰδοὺ, νῦν καιρὸς εὐ-
3 πρόσδεκτος· ἰδοὺ, νῦν ἡμέρα σωτηρίας·) μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία·

Ταῦτα μέν, φησιν, ὁ Θεὸς διὰ τοῦ υἱοῦ αὐτοῦ πεποίηκεν· ἡμεῖς δὲ καὶ συνεργοῦντες καὶ παρακαλοῦντες διατελοῦμεν, παρακαλοῦντες μὲν ὑμᾶς, συνεργοῦντες δὲ τῷ Θεῷ· ὃ καὶ ἀλλαχοῦ φησί· *Θεοῦ συνεργοί ἐσμεν* (β)· συνεργοῦμεν δὲ τῷ Θεῷ, εἰς τὸ πληρῶσαι τὸ αὐτοῦ θέλημα, τουτέστι, τὸ σῶσαι ὑμᾶς· τοῦτο γὰρ αὐτῷ σπουδή, τὸ σωθῆναι ὑμᾶς· *Μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς.*] Παρακαλοῦμεν δὲ ἡμεῖς οἱ ἀπόστολοι, ἵνα τὴν εὐεργεσίαν τοῦ Θεοῦ δέξησθε, καὶ μὴ ἀποκρούσησθε αὐτὴν, μηδὲ εἰς κενὸν καὶ ἀνωφελὲς τὴν χάριν γενέσθαι καὶ δεχθῆναι· τὸ γὰρ, καταλλαγέντας τῷ Θεῷ διὰ τῆς πίστεως, ἐπιμένειν τῷ προτέρῳ βίῳ, οὐδὲν ἕτερόν ἐστιν, ἢ εἰς κενὸν καὶ μάτην γενέσθαι τὴν χάριν τοῦ Θεοῦ, καὶ οὐδὲν ὠφεληθῆναι τοὺς δεξαμένους αὐτήν. Εἰ γὰρ αὐτὸς μὲν ἁμαρτίας συνεχώρησεν, ἡμεῖς δὲ πάλιν τούτων πληρούμεθα, τί τὸ κέρδος; *Νῦν καιρὸς εὐπρόσδεκτος.*] Καὶ ποῖος ἐστὶν ὁ εὐπρόσδεκτος καιρός; Ὁ τῆς δωρεᾶς, ὁ τῆς χάριτος. Ὁ νῦν, φησὶν, ὑπάρχων καιρὸς, ἐν ᾧ ἁμαρτημάτων μὲν ἄφεσις πρόκειται, ἡ δὲ δικαιοσύνη δωρεὰν δίδοται. Ἐπεὶ οὖν ὁ καιρὸς τῆς χάριτος ἐστὶν ὁ δεκτὸς καιρὸς, εἰκότως φησὶν, *Ἐπήκουσά σου* ἐν τούτῳ,

(1) «Ἵνα τί γένηται; Ἵνα ἡμεῖς δικαιωθῶμεν· οὐκ ἐξ ἔργων νόμου, ἀλλ' ἐκ τῆς χάριτος τοῦ Θεοῦ· τοῦτο γάρ ἐστιν ἡ τοῦ Θεοῦ δικαιοσύνη, ὅταν τις χάριτι δικαιωθῇ· ὅταν μηδεμία κλὶς εὑρεθῇ· Διὰ τοῦτο γὰρ οὐδὲ εἶπεν, Ἵνα γενώμεθα δίκαιοι, ἀλλὰ, δικαιοσύνη θεοῦ, τὴν ὑπερβολὴν τῆς χάριτος δηλῶν.» Θεοφύλακτος.

(α) Ἰσ. ΜΘ', 8. (β) Β' Κορ. Γ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐβοήθησά σοι, καὶ ἔσωσά σε· ὡς, εἴγε ἔλθοι ὁ τῆς κρίσεως καιρὸς, οὔτε εἰσακούσεται, οὔτε βοηθήσει, οὔτε σώσει. Ὁ οὖν ἐν καιρῷ τῆς χάριτος ἐπιτηδεύων πολιτείαν χρηστὴν, εὐχερῶς ἐπιτεύξεται τῶν βραβείων, καὶ ἀκουσθήσεται ὑπὸ τοῦ Θεοῦ· ἐπειδὴ καὶ τοὺς μυρίᾳ πλημμελήσαντας δέχεται, ἀφεὶς αὐτοῖς τὰ ἁμαρτήματα αὐτῶν. *Μηδεμίαν ἐν μηδενί.*] Τὸ νόημα οὕτω συνείρεται· Συνεργοῦντες δὲ καὶ παρακαλοῦντες διατελοῦμεν, μηδεμίαν μηδενὶ διδόντες προσκοπήν. Ὅρα δὲ ἐν τάξει διηγήσεως συμβουλήν· ὡς εἰ ἔλεγεν· Οὕτω διὰ πάντων ἀπευθύνω μου τὸν βίον καὶ τὴν πολιτείαν, ὥστε οὐ λέγω, ὅτι κατηγορίας, ἀλλ' οὐδὲ μέμψεως ψιλῆς ἢ σκανδάλου χώραν δίδωμί τινι. *Ἵνα μὴ μωμηθῇ ἡ διακονία.*] Ἵνα μή τις, φησὶν, ἐπιλάβηται τῆς διακονίας ἡμῶν καὶ τοῦ ἔργου· αὐτῶν γὰρ σφαλλομένων, εἰκότως ἡ μέμψις εἰς τὸ κήρυγμα ἀνέτρεχε· τοῦτο γὰρ *διακονίαν* αὐτοῦ καλεῖ. Τοῦτο δὲ εἰπὼν, μονονουχὶ λέγει αὐτοῖς, ὅτι δεῖ ἡμᾶς ὀρθοῦ ἐπιμελεῖσθαι βίου, ἵνα μὴ εἰς τὴν πίστιν ἡ μέμψις ἀναδράμῃ· ἀπὸ γὰρ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς (α).

4 Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις,
5 ἐν στενοχωρίαις· ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις·
6 ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ·
7 ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ· διὰ τῶν ὅπλων
8 τῆς δικαιοσύνης, τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας·
9 ὡς πλάνοι, καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ, ἰδοὺ, ζῶμεν·
10 ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ, πολλοὺς δὲ

(α) Ματθ. Ζ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Οὐ μόνον, φησὶν, ἐσπουδάσαμεν, κατηγοριῶν καὶ μέμψεων εἶναι καθαροὶ, ἀλλὰ καὶ ἐν παντὶ συνεστήσαμεν καὶ ἀπεδείξαμεν ἑαυτοὺς ὡς θεοῦ διακόνους. Πῶς δ' ἂν εἴη τοῦτο; καὶ πῶς τις ἀποδείκνυσιν ἑαυτὸν θεοῦ διάκονον, ἢ δι' ὧν πολιτεύεται καὶ βιοῖ; Ὅρα δέ· οὐκ εἶπε, φαινόμενοι, ἀλλὰ, *συνιστῶντες*, ὅ ἐστιν, ἀποδεικνύντες· τοῦτο δὲ, τὴν δι' ἔργων καὶ ἀληθείας ἀπόδειξιν ἔχει. *Ἐν ὑπομονῇ πολλῇ.*] Πάντα γενναίως φέροντες τὰ ῥηθησόμενα. Διὸ οὐ μόνον, *ἐν ὑπομονῇ*, φησὶν, ἀλλὰ καὶ, *πολλῇ*. Καὶ λοιπὸν καταλέγει, ἐν τίσιν ὄντες καὶ γενναίως διαγενόμενοι, συνεστήσαντο ἑαυτοὺς ὡς θεοῦ διακόνους. *Ἐν θλίψεσιν, ἐν ἀνάγκαις.*] Ἐπίτασιν θλίψεως δηλοῦσιν αἱ ἀνάγκαι· ὅταν δηλαδὴ ἄφυκτα ᾖ τὰ κακὰ, καὶ ὥσπερ ἀνάγκη τις ἐπίκειται τῶν δεινῶν δυσδιεξόδευτος. *Ἐν στενοχωρίαις.*] Ταῖς ἀπὸ τοῦ λιμοῦ καὶ ταῖς τῶν ἄλλων ἀναγκαίων· ἢ καὶ ἁπλῶς ταῖς τῶν πειρασμῶν. *Ἐν πληγαῖς, ἐν φυλακαῖς.*] Τούτων καὶ ἕκαστον αὐτὸ καθ' ἑαυτὸ ἀφόρητόν ἐστιν· ὅταν δὲ καὶ ἀμφότερα ὁμοῦ, θέα τὸν ἀγῶνα! *Ἐν ἀκαταστασίαις.*] Τουτέστιν, ἐν διωγμοῖς, ὅταν, ἐλαυνόμενός τις ἐκ τόπου εἰς τόπον, μὴ ἔχῃ, οὐδὲ ὅπου στῇ. *Ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις.*] Τὰ μὲν εἰρημένα παρὰ τῶν πολεμίων ἐπήγετο αὐτῷ· λοιπὸν καὶ τὰ παρ' ἑαυτοῦ εἰσενεχθέντα λέγει, ὡς μὴ ἀρκούντων ἐκείνων. *Κόπους* δέ φησι, καὶ τὰς ἐκ τῶν χειρῶν ἐργασίας, καὶ τὰς διὰ τὸ κήρυγμα συντριβάς. *Ἐν ἀγνότητι.*] *Ἁγνότητα* ἐνταῦθα φησὶν ἢ τὴν σωφροσύνην, ἢ τὴν ἐν πᾶσι καθαρότητα, καὶ τὸ ἀδωροδόκητον, καὶ τὸ ἀδάπανον εὐαγγέλιον. *Ἐν γνώσει.*] Ἐν σοφίᾳ θεοῦ, τῇ ὄντως γνώσει· οὐ, καθάπερ οἱ ψευδαπόστολοι, τῇ ἀνθρωπίνῃ σοφίᾳ κομπάζοντες.—ΑΛΛΟ. *Ἁγνότητα* λέγει, τὴν τῶν χρημάτων ὑπεροψίαν· οὐδὲ γὰρ τὰς ἀναγκαίας χρείας παρὰ Κορινθίων ἐδέξατο· *γνῶσιν* δὲ, ὡς οἶμαι, τὴν διδασκαλίαν καλεῖ· ἐπί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πονος γὰρ καὶ αὕτη (Θεοδωρήτου).—*Ἐν μακροθυμίᾳ, ἐν χρηστότητι.*] Ἀδαμαντίνης δεῖται ψυχῆς, τὸ, πάντοθεν νυσσόμενον καὶ παροξυνόμενον, μὴ μόνον μακροθυμεῖν, ἀλλὰ καὶ χρηστεύεσθαι· ὑβριζόμενοι γάρ, φησιν, εὐλογοῦμεν (α). *Ἐν πνεύματι ἁγίῳ.*] Εἶτα δείκνυσι, καὶ πόθεν τοιοῦτος γέγονεν· ἐν Πνεύματι ἁγίῳ φησι· τότε δὲ τὴν τοῦ πνεύματος τέθεικε βοήθειαν, ὅταν τὰ παρ' ἑαυτοῦ ἐπιδείξατο. *Ἐν ἀγάπῃ ἀνυποκρίτῳ.*] Τοῦτο τὸ πάντων αἴτιον τῶν ἀγαθῶν· τοῦτο τοιοῦτον αὐτὸν εἰργάσατο· τοῦτο καὶ τὸ πνεῦμα παρ' αὐτῷ μένειν ἐποίησεν. *Ἐν λόγῳ ἀληθείας.*] Ὅπερ ἀλλαχοῦ φησίν· *Οὐ δολοῦντες τὸν λόγον τοῦ θεοῦ* (β). Εἶτα καὶ, *ἐν δυνάμει θεοῦ.*] Οὐδέν, φησιν, ἡμέτερον· ἀλλὰ πάντα ταῦτα ἐν δυνάμει θεοῦ πεπράγαμεν· πάντα γὰρ τῷ θεῷ ἀνατίθησι. *Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης, τῶν δεξιῶν καὶ ἀριστερῶν.*] Εἰ βούλεσθε μαθεῖν, φησὶ, πόθεν ταῦτα κατωρθώσαμεν, ἀκούσατε· *Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης, τῶν δεξιῶν καὶ ἀριστερῶν·* ἅ τινα, εἰ καὶ δοκεῖ εἶναι ἐναντία πρὸς ἑαυτὰ, πλὴν ὅπλα δικαιοσύνης εἰσί. *Δεξιὰ* δὲ λέγει, τὰ οἷον ἐπιδέξια δοκοῦντα, τουτέστι, τὰς παρ' ἀνθρώπων τιμὰς καὶ δόξας, αἷς οὐκ ἐφυσήθημέν, φησιν, οὐδὲ ἐπήρθημεν πρὸς δόξαν κενήν· διὰ τοῦτο γὰρ ὅπλα δικαιοσύνης γέγονεν· *ἀριστερὰ* δὲ, τὰ τούτοις ἐναντία· οἷον τοὺς πειρασμοὺς, τοὺς διωγμοὺς, τὰς ὕβρεις, οἷς οὐ κατεπέσαμεν, φησὶν, οὐδὲ ἡττήθημεν· ὡς εἰ ἔλεγεν· Ἀεὶ οἱ αὐτοὶ ἐμείναμεν, μήτε τοῖς καλοῖς ἐπαιρόμενοι, μήτε τοῖς κακοῖς μαλακιζόμενοι. — ΑΛΛΩΣ. *Ἀριστερὰ* καλεῖ, τὰ δοκοῦντα εἶναι λυπηρά· καίτοι ταῦτά ἐστι τὰ τὸν μισθὸν ἔχοντα. Τίνος οὖν ἕνεκεν οὕτως αὐτὰ καλεῖ; ἢ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν, ἢ ἐπειδὴ ἐκέλευσεν ὁ θεὸς, εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν (γ). (Χρυσοστόμου).—*Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας.*] Εἶτα λέγει τὰ ἀριστερὰ καὶ δεξιά. Καὶ ὅρα· τὰς παρὰ τῶν

(α) Α' Κορ. Δ', 12. (β) Β' Κορ. Δ', 2. (γ) Ματθ. ς', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώπων αὐτῶν προσαγομένας τιμὰς, εἰς οἰκεῖον τέθεικε κατόρθωμα· οἷδε γὰρ ὂν μέγα τὸ μὴ ἁλῶναι τύφῳ διὰ τὰς τιμάς. *Ὡς πλάνοι, καὶ ἀληθεῖς.*] Τοῦτό ἐστιν, ὃ εἶπε, *Διὰ δυσφημίας καὶ εὐφημίας. Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι.*] Τοῖς μὲν γὰρ, γνώριμοί τε ἦσαν καὶ περισπούδαστοι· οἱ δὲ, οὐδὲ εἰδέναι αὐτοὺς ἠξίουν. Τοῦτο δὲ ταὐτόν ἐστι τῷ, *Διὰ δόξης καὶ ἀτιμίας. Ὡς ἀποθνήσκοντες.*] Κατὰ τὴν σφοδρότητα καὶ τὴν σπουδὴν τῶν πολεμούντων ἡμῖν. *Καὶ, ἰδοὺ, ζῶμεν.*] Κατὰ τὴν δύναμιν τοῦ θεοῦ. *Ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι.*] Ταῦτα δέ, φησι, συνεχώρει ὁ θεὸς, παιδεύων μέν, οὐ μὴν ἄχρι θανάτου ἐγκαταλιμπάνων. Τοῦτο δὲ ἀπὸ τοῦ Δαυΐδ· ἐκεῖνος γὰρ, Παιδεύων, φησὶν, ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με (α). *Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες.*] Παρὰ μὲν τοῖς ἔξωθεν, ἐξ ὧν πάσχομεν, ἀθυμεῖν νομιζόμεθα· ἡμεῖς δὲ ἀεὶ, καὶ ἐφ' ἑκάστῳ ἀδιαλείπτως χαίρομεν. Ὅρα τὴν ἁγίαν ψυχήν! Οὐ μόνον ἔφερε τοὺς πειρασμοὺς γενναίως, ἀλλὰ καὶ ἔχαιρεν ἐπ' αὐτοῖς, εἰδὼς, ὅτι διὰ τὸν Χριστὸν ἔπασχεν. *Ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες.*] Διετελέσαμεν ὡς πτωχοὶ, πολλοὺς δὲ ἐπλουτίσαμεν, ἢ πνευματικῷ πλούτῳ ἢ καὶ σαρκικῷ· ἔχων γὰρ τὰς ἁπάντων οἰκίας ἀνεῳγμένας αὐτῷ, πλουσιώτατος ἦν, καὶ ἄλλοις παρέχειν καὶ τρέφειν δυνάμενος· δῆλοι δὲ τοῦτο καὶ διὰ τοῦ ἑξῆς· *Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.*] Οὐδὲν γὰρ ἔχων, τὰ πάντων εἶχε· τῇ γὰρ οἰκουμένῃ ἐπέταττεν. Εἰ δυνατὸν γάρ, φησι, καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι (β)· πῶς οὖν χρημάτων ἂν ἐφείσαντο οἱ τοιοῦτοι πρὸς τοῦτον; Ἕνι δὲ καὶ περὶ πνευματικῶν ταῦτα νοῆσαι· ὁ γὰρ ἀποῤῥήτων ἀκούων ῥημάτων, πῶς οὐχὶ πάντων πλουσιώτερος ἦν;

11 Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ

(α) Ψαλμ. ΡΙΖ', 18 (β) Γαλατ. Δ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 καρδία ἡμῶν πεπλάτυνται. Οὐ στενοχωρεῖσθε ἐν
ἡμῖν· στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.
13 Τὴν δὲ αὐτὴν ἀντιμισθίαν, (ὡς τέκνοις λέγω,) πλα-
14 τύνθητε καὶ ὑμεῖς. Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπί-
στοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς
15 δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις
Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπί-
16 στου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων;

Τὰ τῶν ἰδίων ἀγώνων διελθών, εἰς τὸν περὶ πολιτείας ἔρχεται λόγον. Πρότερον δὲ πεῖσαι θέλει, ὅτι ἀγαπῶν αὐτούς, ἔλαττον ἀγαπᾶται· καί φησι· *Τὸ στόμα ἡμῶν ἀνέῳγεν.*] Οἷον, Οὐ δυνάμεθα σιγᾷν πρὸς ὑμᾶς· ἀλλ' ἀεὶ ὑμῖν διαλέγεσθαι θέλομεν· ὅπερ ἀγαπώντων ἴδιον, καὶ ἄνευ ὑποστολῆς λαλούντων· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, *ἀνέῳγε τὸ στόμα.* Οὕτω δὲ λέγει· ἐπειδὴ μέλλει αὐτοῖς ἐπιτιμᾶν, δεικνύων, ὅτι τοῦτο μάλιστα ἀγάπη, ἡ παῤῥησία.—ΑΛΛΩΣ. *Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς,* ἀντὶ τοῦ, Εὐπορίαν ἡμῖν παρεσχήκατε τοῦ ἀναίγειν πρὸς ὑμᾶς τὸ στόμα. Ὅταν γὰρ ὁ μέν τις ἀγαπᾷ διαπύρως, οἱ δὲ οὐκ ἀνταγαπῶσιν ὁμοίως, πολλῶν δικαιωμάτων εὐπορίαν παρέχουσι πρὸς αὐτοὺς τῷ ἀγαπῶντι. *Ἀνέῳγε,* φησί· τῷ γὰρ πλήθει καὶ τῇ ἰσχύι τῶν δικαιωμάτων, καὶ ἡμῶν σιγᾷν ἐθελόντων, αὐτὸ ὅμως ὑπ' αὐτῶν, ἔνδοθεν ἀναβλυζόντων καὶ ὑπερπηδώντων, ἀνέῳγε, καὶ ἀναπετάννυσι τὰ χείλη πρὸς τὸ λέγειν. Καὶ λοιπὸν ἄρχεται τῶν δικαιωμάτων· Ὑπεραγαπῶμεν, φησί, καὶ ἐγκαρδίους ἔχομεν, καὶ πλατυνόμεθα, καὶ χαίρομεν ἔχοντες, καὶ αὐτοὶ τῆς ἀγάπης ἠρξάμεθα· ὑμεῖς δὲ ὡς στενοχωρούμενοι. Ἐὰν δέξησθε ἡμᾶς ἐν τοῖς σπλάγχνοις ὑμῶν, οὐκ ἔχετε ἡμᾶς ἐν αὐτοῖς, ἀλλ' οὐδ' ὡς ἀντιμισθίαν πληροῦντες πρὸς τοὺς κατάρξαντας ἡμᾶς τῆς ἀγάπης στοργὴν ἐπιδείκνυσθε, ἀλλὰ καὶ, τὸ βαρύτερον, μᾶλλον τὴν τῶν ἀπίστων ἢ τὴν ἡμῶν ἀγάπην, τῶν ὑπεραγαπώντων ὑμᾶς, προκρίνετε. Ἐγὼ δὲ λέγω ὑμῖν, ὡς τέκνοις· Κἂν ὡς ἀντιμισθίαν καὶ ἀντάμειψιν πληροῦντες,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλατύνθητε καὶ αὐτοὶ, καὶ δέξασθε ἡμᾶς, ὡς ἡμεῖς ὑμᾶς ἐν τοῖς σπλάγχνοις ἡμῶν· καὶ ἀγαπήσατε, τῆς τῶν ἀπίστων σοργῆς ἑαυτοὺς ἐξαιροῦντες καὶ διατειχίζοντες, καθὼς κατὰ φύσιν διέστηκε καὶ διατετείχισται ἀλλήλων ἡ πίστις καὶ ἀπιστία, ἡ δικαιοσύνη καὶ ἀδικία, τὸ φῶς ἀπὸ τοῦ σκότους, ὁ Χριστὸς ἀπὸ τοῦ Ἀντιχρίστου, αὐτὸς ὁ πιστὸς ἀπὸ τοῦ ἀπίστου, ὁ ναὸς τοῦ θεοῦ καὶ ὁ ναὸς τῶν εἰδώλων. Εἰ οὖν τῆς δικαιοσύνης ἐστὲ, τοῦ φωτὸς, τοῦ Χριστοῦ, πιστοὶ, ναὸς θεοῦ, διάστητε καὶ χωρίσθητε ἀπὸ τοῦ σκότους, ἀπὸ τῆς ἀδικίας, ἀπὸ τοῦ Ἀντιχρίστου· τῶν γὰρ ἀπίστων ἐστὶ ταῦτα, καὶ τῶν κατασκευασάντων ἑαυτοὺς ναοὺς εἰδώλων, ὧν δεῖ ὑμᾶς κεχωρίσθαι καὶ ἀφωρισμένους εἶναι. Τότε γὰρ καὶ ὁ Κύριος εἰσδέξεται ὑμᾶς, καὶ ἐνοικήσει ἐν ὑμῖν, καὶ ἐμπεριπατήσει, πάσας κατευθύνων τὰς τρίβους καὶ τὰ διαβήματα. (Φωτίου). Ἢ καὶ οὕτω· *Τὸ στόμα ἡμῶν ἀνέῳγεν*, ἀντὶ τοῦ, Ἕτοιμοι ἐσμεν, καὶ παρεσκευάσμεθα εἰς τὸ πάντα διδάσκειν ὑμᾶς μετὰ ἁπλότητος καὶ πλάτους καρδίας· διὸ καὶ ὑμεῖς προθύμως εἰσδέχεσθε.— *Ἡ καρδία ἡμῶν πεπλάτυνται.*] Καθάπερ γὰρ τὸ θερμὸν εὐρύνειν εἴωθεν, οὕτω καὶ ἡ ἀγάπη· θερμὸν γάρ τι χρῆμα ἡ ἀγάπη· ὡς εἶπεν· Οὐ μόνον στόματι, ἀλλὰ καὶ καρδίᾳ φιλῶ, πάντας ἔνδον ἔχων (1)· διὸ φησὶν· *Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν*, τοῦ πόθου εὐρύνοντος αὐτοῦ τὴν ψυχήν.—Ἡ καρδία ἡμῶν πεπλάτυνται εἰς τὸ πάντα διδάξαι ὑμᾶς· *ὑμεῖς δὲ στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν*, τουτέστιν, ἐν τῇ πρὸς θεὸν ἀγάπῃ, ἣ ἀγαπᾶν με ὀφείλετε. Οὕτως ὁ Κλήμης ἐν Δ΄ τῶν Ὑποτυπώσεων.—*Στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.*] Ἐγὼ μέν, φησιν, οὐ στενοχωροῦμαι, πάντας ὑμᾶς ἔνδον ἔχων· ὑμεῖς δὲ ἐν τῷ ἔχειν με ἐν τοῖς σπλάγχνοις ὑμῶν, στενοχωρεῖσθε· οὐ γὰρ ὁμοίως με ἀγαπᾶτε. Ὑμεῖς ἀγαπᾶτε μέν με, καὶ ἔχετέ με ἐν τοῖς

(1) « Ἡ γὰρ θέρμη τῆς ἀγάπης καὶ τὸ στόμα μου ἀνοίγει, καὶ τὴν καρδίαν μου ἐπλάτυνε, καὶ εὐρεῖαν ἐποίησεν, ὥστε πάντας ὑμᾶς χωρεῖν. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπλάγχνοις ὑμῶν, πλὴν *στενοχωρεῖσθε*, ἤτοι, ἐστενοχωρημένως καὶ οὐ πλατέως ἔχετέ με. Φησὶ γὰρ κάτω· Εἰ καὶ, περισσότερον ἀγαπῶν, ἧττον *ἀγαπῶμαι* (α). *Τὴν δὲ αὐτὴν ἀντιμισθίαν.*] Τουτέστι, τὴν αὐτὴν ἀμοιβὴν καὶ ἰσότητα τῆς φιλίας εἰσενέγκατε ὡς τέκνα, καὶ πλατύνθητε καὶ ὑμεῖς, ὡς κἀγώ· καὶ γὰρ αἰσχρὸν, ἐμοῦ πάντας ὑμᾶς ἔνδον δεξαμένου, ὑμᾶς πάντας ἕνα μὴ δέξασθαι.—ΑΛΛΩΣ. *Τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς τέκνοις λέγω.*] Κατ' ἔλλειψιν εἴρηται· λείπει γὰρ ἢ τὸ, *ἐπιδείξασθε*, ἢ τὸ, *εἰσενέγκατε*. Δύναται δὲ ἐκληφθῆναι καὶ χωρὶς ἐλλείψεως, ἵνα ᾖ παρέλκον τὸ, Δέ. Πολλὴ δέ ἐστι παρὰ τῷ θεσπεσίῳ Παύλῳ ἡ παρολκὴ τῶν συνδέσμων, ὥσπερ καὶ ἡ ἔλλειψις. Εἴη δ' ἂν κατὰ παρολκὴν τοῦ συνδέσμου τὸ ῥητὸν ἐκλαμβανόμενον, τοιαύτην διάνοιαν παριστῶν· Στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν, καὶ τότε εἰς τί; εἰς τὴν αὐτὴν ἀντιμισθίαν. Ἄδικον δὲ τὸ εἰς τὴν αὐτὴν ἀντιμισθίαν στενοχωρεῖσθαι· διὸ *ὡς τέκνοις λέγω*· ἔτι γὰρ ὡς τέκνων τὴν ἀγάπην ἐπιζητῶ· *πλατύνθητε καὶ ὑμεῖς* εἰς τὴν αὐτὴν ἀντιμισθίαν, καὶ ἀγαπήσατε ἡμᾶς, ὡς καὶ ἡμεῖς ὑμᾶς. (Φωτίου). —*Ὡς τέκνοις λέγω.*] Εἶτα δείκνυσι καὶ ὀφειλομένην τὴν ἀγάπην· ὀφείλει γὰρ τοῦτο τὰ τέκνα τοῖς πατράσι. *Μὴ γίνεσθε ἑτεροζυγοῦντες.*] Εἶτα, ἵνα μὴ νομίσωσι, δι' ἑαυτὸν χρῄζειν τῆς ἀγάπης αὐτῶν, δείκνυσι διὰ τὸ αὐτῶν συμφέρον ἐπιζητεῖν ἀγαπᾶσθαι· φησὶ γάρ· Τοῦτο ἐστὶ τὸ ἀγαπᾶν με, τὸ μὴ συναναμίγνυσθαι ὑμᾶς τοῖς ἀπίστοις, καὶ ἐπικλίνειν πρὸς τὸ μέρος αὐτῶν, καὶ διαφθείρεσθαι ὑπ' αὐτῶν. Ἀπὸ μεταφορᾶς δὲ τῶν πλαστίγγων τοῦ ζυγοῦ τὸ, *ἑτεροζυγοῦντες* (1). *Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ;*] Ἀντὶ τῶν προσώπων, αὐτὰ τέθεικε τὰ πράγματα. Τίς, φησὶ, κοινωνία ὑμῖν

(α) Β΄ Κορ. ΙΒ΄, 15. (1) «Οὐκ εἶπε δὲ· Μὴ συναναμίγνυσθε, ἀλλὰ, Μὴ γίνεσθε ἑτεροζυγοῦντες, τουτέστι, Μὴ ἀδικεῖτε τὸ δίκαιον, ἐπικλινόμενοι καὶ προσκείμενοι, οἷς οὐ θέμις· τὸ γὰρ ἑτεροζυγεῖν ἐπὶ ζυγοῦ ἀδίκου λέγεται, ὅταν ἡ μία πλάστιγξ ἁρπ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τοῖς ἀπίστοις; ὥσπερ οὐδὲ δικαιοσύνη καὶ ἀνομία τι κοινόν, οὔτε *φωτὶ πρὸς σκότος*, οὔτε *Χριστῷ πρὸς Βελίαρ*, τουτέστι, τὸν ἀποστάτην καὶ σατανᾶν· τὸ γὰρ *Βελίαρ* τῇ Ἑβραίων φωνῇ, τὸν ἀποστάτην δηλοῖ. *Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ;*] Πᾶσι τρόποις ἀπεῖρξαι τῶν ἀπίστων αὐτοὺς ἐθέλων, οὐκ εἶπε, δικαίοις καὶ ἀνόμοις, ἀλλ' ὃ μεῖζον ἦν· οὐκ εἶπε, τοῖς τοῦ φωτὸς καὶ σκότους ἐργάταις, ἀλλ' ὃ πλέον ἦν· οὐκ εἶπε, τοῖς διακόνοις τοῦ Χριστοῦ καὶ τοῖς τοῦ σατανᾶ, ἀλλ' ὃ φοβερώτερον ἦν. Εἶτα, ἵνα μὴ δόξῃ πραγμάτων ψιλῶν ποιεῖσθαι συγκρίσεις, ἦλθεν ἐπ' αὐτὰ τὰ πρόσωπα. *Ἢ τίς, φησί, μερὶς πιστῷ μετὰ ἀπίστου; Ἢ οὕτως· Ὥσπερ τοῖς ἄνω εἰρημένοις οὐδὲν κοινὸν πρὸς ἑαυτὰ, οὕτως οὐδὲ τῷ πιστῷ μετὰ ἀπίστου. Τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων;*] Τουτέστι, τίς ὁμοίωσις. Οἱ μὲν ἄπιστοι, φησὶ, ναοὶ εἰδώλων εἰσὶν, ἢ καὶ εἴδωλα· *ὑμεῖς δὲ, ναὸς θεοῦ*, οὐχ οἷον αὐτοὶ μυθεύονται, ἀλλὰ ζῶντος. Τίς οὖν ὑμῖν κἀκείνοις κοινωνία;

16 Ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστὲ ζῶντος, καθὼς εἶπεν ὁ
θεός· « Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω·
καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.
17 Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει
Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέ-
18 ξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς
ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος
παντοκράτωρ (α). »

Ἵνα μὴ δόξῃ κολακεύειν, ἀπὸ τῆς Γραφῆς δείκνυσιν, ὅτι εἰσὶ ναὸς θεοῦ. Τὸ μὲν, *ἐνοικήσω*, ὡς ἐν ναοῖς· τὸ δὲ, *ἐμπεριπατήσω*, ἐνδεικνῦντός ἐστι τὴν πρὸς ἡμᾶς σχέσιν (1). *Ἐξέλθετε ἐκ μέσου αὐτῶν.*] Τῶν ἀπίστων δηλαδὴ, τῶν ἀκαθάρτων. Τὸ

(α) Λευῖτ. Κς', 12. Ἰσ. ΝΒ', 11. Ἰερ. ΛΑ', 1. (1) « Τὸ μὲν ἐνοικῆσαι ἐν ἡμῖν τὸν θεὸν προξενεῖ ἡ τοῦ προτέρου βίου καθαρότης· τὸ δὲ καὶ ἐμπεριπατήσαι, ἡ μετὰ ταῦτα σπουδή. Καθαρῷ γὰρ ὄντι τῷ ἀνθρώπῳ ἐνοικεῖ ὁ θεός· εἶτα, καὶ πρὸς ἕτερα πάλιν ἔργα κινουμένῳ, ἐμπεριπατεῖν λέγεται· ἵνα δὴ ὁ θεὸς αὐτοῦ γένηται θεὸς, εἰς τὴν τάξιν τῶν πατριαρχῶν ἀναβαίνοντος. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ, *ἀφορίσθητε*, οἱονεὶ, μονώθητε, ὅσον ἦκεν εἰς ἐκείνους. *Καὶ ἀκαθάρτου μὴ ἅπτεσθε.*] Οὐκ εἶπε, Μὴ πράττετέ τι ἀκάθαρτον, ἀλλὰ, πλείονα ἀκρίβειαν ζητῶν, *Μὴ ἅπτεσθε*, φησὶ τουτέστι, Μηδὲ ἅπτεσθε, μηδὲ ἐγγὺς γίνεσθε. *Κἀγὼ εἰσδέξομαι ὑμᾶς.*] Ἂν γὰρ ἐκείνων, φησὶν, ἐξέλθητε, μονὴν ἕξετε παρ' ἐμοί (1). *Καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱούς.*] Προαναφωνεῖ ὁ προφήτης τὴν νῦν διὰ τῆς πίστεως καὶ τοῦ λουτροῦ δωρηθεῖσαν ὑμῖν ἀναγέννησιν καὶ υἱοθεσίαν.

ΚΕΦ. VII, 1 Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ.

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας.] Ποίας; Τὸ ναοὺς εἶναι θεοῦ· τὸ ἔχειν αὐτὸν ἐνοικοῦντα καὶ ἐμπεριπατοῦντα· τὸ υἱοὺς εἶναι θεοῦ καὶ λαόν. *Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ.*] Τὰ μὲν γὰρ τῶν ἁμαρτημάτων μολύνει τὸ σῶμα, οἷον πορνεία, μοιχεία· τὰ δὲ, τὸ πνεῦμα, τουτέστι τὴν ψυχὴν, οἷον ἀκάθαρτοι λογισμοὶ, μνησικακίαι, λοιδορίαι.— ΚΑΙ ΑΛΛΩΣ. Πνεῦμα ἐνταῦθα, τὴν ψυχὴν καλεῖ· *μολυσμὸν δὲ πνεύματος*, τὴν τῶν εἰδώλων κοινωνίαν· *μολυσμὸν δὲ σαρκὸς*, τὴν ἐν πράξει ἁμαρτίαν (Θεοδωρήτου).— *Ἐπιτελοῦντες ἁγιωσύνην.*] Καὶ οὐκ ἀρκεῖ, φησὶν, ἀκαθαρσιῶν καὶ μολυσμῶν ἀπέχεσθαι, ἀλλὰ δεῖ καὶ πρᾶξαί τι χρηστόν. Διό φησιν, *ἐπιτελοῦντες ἁγιωσύνην*, τουτέστι, πράττοντες· ἡ δὲ *ἁγιωσύνη*, σωφροσύνη τε νοεῖται, καὶ καθαρότης παντὸς πάθους. Εἶτα φησὶν, *ἐν φόβῳ θεοῦ.*] Τοῦτο δὲ προσέθηκεν, ἢ διότι ἔνι καὶ πρὸς ἀνθρωπαρέσκειαν καὶ ὑπόκρισιν καὶ κενοδοξίαν πράττειν τι τῶν ἐπαινετῶν· ἢ ὅτι διὰ φόβον θεοῦ· τῷ γὰρ τοῦ θεοῦ φόβῳ ἁλωτὴ γίνεται ἡ ἁγιωσύνη.

(1) « Ἐξέλθετε οὖν ἐκ μέσου τῶν ἀπίστων, καὶ *ἀφορίσθητε*, τουτέστι, μονώθητε καὶ καθαρίσθητε, καὶ τότε εἰσδέξομαι ὑμᾶς. Ὅταν γὰρ ἀπαλλαγῆς τῶν πονηρῶν, τότε ἑνωθήσῃ θεῷ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἀποδοχῆς τῆς Κορινθίων ὑπακοῆς καὶ ἀγάπης εὐφραινούσης αὐτόν.

2 Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθεί-
3 ραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. Οὐ πρὸς κατά-κρισιν λέγω· προείρηκα γὰρ, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστὲ εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

Πάλιν τὸν περὶ ἀγάπης κινεῖ λόγον· ἐπειδὴ γὰρ ἔπληξεν αὐτοὺς, εἰπὼν, ὅτι αὐτοῦ μὲν ἀποφοιτῶσι, κολλῶνται δὲ ἀπίστοις καὶ ἀκαθάρτοις, νῦν θεραπεύει αὐτοὺς, καί φησι· *Χωρήσατε ἡμᾶς.*] Τουτέστι, Δέξασθε ἡμᾶς, καὶ τὰ ἡμῶν ῥήματα· νῦν γὰρ οἷον ἐκβεβλήμεθα τῶν διανοιῶν ὑμῶν. Εἶτα καὶ τοὺς ψευδαποστόλους αἰνιττόμενος, φησιν· *Οὐδένα ἠδικήσαμεν·* οἷον, ἐν χρήμασιν· *οὐδένα ἐφθείραμεν·* τουτέστιν, ἠπατήσαμεν, διεφθείραμεν ἐν δόγμασιν ἀσεβέσιν· *οὐδένα ἐπλεονεκτήσαμεν·* τουτέστιν, οὐκ ἐπλεονεκτήσαμεν, χρηματισάμενοι διὰ τὸν λόγον καὶ τὸ κήρυγμα. Ἢ τὸ, *Χωρήσατε ἡμᾶς*, ἀντὶ τοῦ, Εἰσδέξασθε ἡμᾶς εἰς τὰς ψυχὰς ὑμῶν. *Οὐ πρὸς κατάκρισιν λέγω.*] Οὐκ ἐπὶ τῷ κατακρῖναι, φησὶν, ὑμᾶς λέγω ταῦτα. Πόθεν δῆλον; Ἐκ τῆς ἀγάπης· *προείρηκα γὰρ*, φησὶν, *ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστέ.* Ἔπει δὲ ἕνι καὶ ἀγαπᾷν, καὶ ἐν καρδίᾳ εἶναι τινὸς, μὴ μὴν οὕτως, ὥστε καὶ θέλειν συγκινδυνεύειν, φησὶν, εἰς *τὸ συναποθανεῖν καὶ συζῆν.* Καὶ ποῖον εἶδος φιλίας τὸ *συζῆν*; Ναί, φησιν· εἰσὶ γάρ τινες, οἳ τοῖς φίλοις, κακῶς μὲν πράττουσι, συναλγοῦσιν· εὐημεροῦσι δὲ, φθονοῦσιν· ἀλλ' οὐχ ἡμεῖς οὕτως.

4 Πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύ-
χησις ὑπὲρ ὑμῶν· πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

Εἶτα καὶ ἄλλως τὸ βαρὺ τῆς ἐπιπλήξεως λεαίνει. Οὐ κατα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρίνων ὑμᾶς, φησὶ, ταῦτα λέγω· ἀλλ' ὅτι *πολλή μοι παῤῥησία πρὸς ὑμᾶς*· ὅπερ καὶ τοῦτο εἶδος ἀγάπης. — ΑΛΛΩΣ. Εἰ ἐν ταῖς καρδίαις ἡμᾶς ἔχεις, εἰ οὕτως ἀγαπᾷς, ὡς καὶ συναποθνήσκειν καὶ συζῆν, διὰ τί ἐλέγχεις καὶ ἐπιπλήττεις; Διὰ αὐτὸ τοῦτο, φησὶν· ἐκ γὰρ τοῦ ὑπεραγαπᾶν, πολλὴν ἔχω τὴν πρὸς ὑμᾶς παῤῥησίαν, καὶ οὐδὲν ὑφορῶμαι σκάνδαλον, μήπως τραχύνω, μήπως εἰς ἀγανάκτησιν περιστήσω, μήπως εἰς ἀπόγνωσιν, ἢ, τοὐναντίον, εἰς περιφρόνησιν ἀπενέγκω· ὁ γὰρ ἀληθῶς ἀγαπῶν, πάσης ὑποψίας πονηρᾶς περὶ τοὺς ἀγαπωμένους ἀπήλλακται, καὶ λοιπὸν θαῤῥούντως ἅπαντα καὶ ποιεῖ καὶ λέγει. Ἢ καὶ οὕτω· Πόθεν δῆλον, ὅτι οὐ πρὸς κατάκρισιν εἶπον; Διότι ἐν ταῖς καρδίαις ἡμῶν ἔχομεν ὑμᾶς, καὶ ἐξῆς. Τοῦτο δὲ πόθεν δῆλον; Ἐκ τοῦ θαῤῥεῖν ὑμῖν, καὶ παῤῥησιάζεσθαι πρὸς ὑμᾶς. Ἀλλὰ καὶ τοῦτο πόθεν δῆλον; Καυχῶμαι, φησὶν, ἐν ὑμῖν· τοῦτο γὰρ ἄλλοθεν οὐ γίνεται, ἢ ἐκ τοῦ λίαν πεποιθέναι καὶ θαῤῥεῖν· διὸ καί φησι, *πεπλήρωμαι τῇ παρακλήσει*, καὶ ἐξῆς (Φωτίου). — *Πολλή μοι καύχησις ὑπὲρ ὑμῶν.*] Ταῦτα δοκεῖ μὲν τῶν πρώτων ἐναντία ὑπάρχειν, ἔνθα αὐτῶν κατεγίνωσκεν ὡς ἀτόποις κολλωμένων· ἀλλ' οὐδὲν ἐν αὐτοῖς ἐναντίον· ὁ γὰρ διὰ τούτων ἔπαινος, τὴν ἀπὸ τῶν ἐλέγχων ὠφέλειαν εὐπαράδεκτον ποιεῖ, ὡς ἀπὸ φιλοῦντος λεγομένων· ὡς εἰ ἔλεγε· Μὴ γὰρ ὡς κατεγνωκὼς ὑμῶν, ἐκεῖνα ἔλεγον; Οὐμενοῦν· ἀλλ' ἵνα ἐπιδῶτε πρὸς ἀρετήν. — ΑΛΛΩΣ. Ἐπετίμα πρότερον, ἐν οἷς πρὸς τοὺς ἀπίστους διὰ τῆς ἀγάπης ἀπέκλινον· ἐπαινεῖ δὲ νῦν, ἐν οἷς τὰ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐπικληθέντα αὐτοῖς, διὰ σπουδῆς διωρθώσαντο. Τοῦτο γὰρ ἀδεκάστου διαιτητοῦ, τὸ καὶ τὰ ἡμαρτημένα ψέγειν, καὶ τὰ κατωρθωμένα ἐν ἐπαίνῳ ποιεῖσθαι. — *Πεπλήρωμαι τῇ παρακλήσει.*] Ποίᾳ; Ὅτι ἐφ οἷς ἐν τῇ πρώτῃ κατέγνων ὑμῶν ἐπιστολῇ διορθωθέντες, δι' αὐτῶν τῶν ἔργων παρεκαλέσατέ με μὴ λυπεῖσθαι· καὶ οὐ μόνον τοῦτό, φησιν, ἀλλὰ καὶ χαρᾶς μετὰ δαψιλείας με ἐνεπλήσατε· οὕτως ἡ δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀρθωσις σύντομος ἐγένετο καὶ ἐνεργής. Καὶ τοῦτό ἐστι τὸ, *ὑπερπερισσεύομαι τῇ χαρᾷ*. Καὶ τοσαύτη ἐστί, φησιν, ἡ χαρὰ, ὥστε ἀντὶ πάσης ἤρκεσεν ἡμῖν τῆς θλίψεως, καὶ κατέσβεσεν ἐκείνην.

5 Καὶ γὰρ, ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλι-
6 βόμενοι· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ὁ
7 θεὸς, ἐν τῇ παρουσίᾳ Τίτου· οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον
8 ὑπὲρ ἐμοῦ· ὥστε με μᾶλλον χαρῆναι. Ὅτι, εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην·

Εἶτα διηγεῖται τὴν θλῖψιν, καὶ ἐπαίρει αὐτὴν τῷ λόγῳ, ἵνα τὴν δι' αὐτοὺς χαρὰν μείζονα δείξῃ, ὡς ἰσχύσασαν, τοσαύτην θλῖψιν ἀμαυρῶσαι. Καλῶς δὲ εἶπεν, ὅτι ἡ σὰρξ αὐτοῦ οὐκ ἔσχηκεν ἄνεσιν· ἡ γὰρ ψυχὴ αὐτοῦ ἀήττητος. *Ἀλλ' ἐν παντὶ θλιβόμενοι.*] Λείπει τὸ, διετελέσαμεν. Πῶς δὲ *ἐν παντί*; *Ἔξωθεν μάχαι.*] Παρὰ τῶν ἀπίστων, οὓς τοὺς ἔξωθεν καλεῖν εἴωθεν. *Ἔσωθεν φόβοι.*] Διὰ τοὺς ἀσθενεῖς τῶν πιστῶν, μή πως τοῖς πειρασμοῖς μαλακισθῶσιν. *Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς.*] Τίς δὲ ὁ παρακαλῶν τοὺς ταπεινοὺς καὶ ἐν ἀνθρώποις ἀβοηθήτους; Ὁ θεὸς, φησίν· οὗτος καὶ ἡμᾶς παρεκάλεσε διὰ τῆς παρουσίας Τίτου. Μέγα δέ τι ποιεῖται τὴν παρουσίαν αὐτοῦ· βούλεται γὰρ ἀξιόπιστον αὐτοῖς καὶ φίλον καταστῆσαι τὸν ἄνδρα. *Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ.*] Οὐ μόνον, φησὶν, ἡ παρουσία αὐτοῦ ἐποίησέ μοι τὴν εὐφροσύνην· ἀλλὰ καὶ τὸ παρακεκλῆσθαι αὐτὸν καὶ κεκράνθαι παρ' ὑμῶν· ἐπειδὴ γὰρ διωρθώθητε, αὐτός τε ἐπὶ τῇ ὑμῶν μεταβολῇ παρεκλήθη, καὶ ἡμεῖς συμπαρεκλήθημεν. Ὁρᾷς, πῶς αὐτοῖς οἰκειοῖ τὸν Τίτον; Οὗτος ἦν ὁ πεμφθεὶς πρὸς αὐτοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τῆς πρώτης ἐπιστολῆς (1). *Ἡ παρεκλήθη ἐφ' ὑμῖν.*] Οὐ λέγει, παρ' ὑμῶν, ἀλλ', *ἐφ' ὑμῖν*· ἐπὶ τῇ ὑμῶν γάρ, φησι, μεταβολῇ τὴν παράκλησιν ἔσχεν. *Ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν.*] Εἶτα καὶ αὐτὴν τὴν παράκλησιν λέγει· ηὔφρανε γάρ, φησιν, ἡμᾶς, *ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν*· ὅτι δηλαδὴ ἐπεποθεῖτέ με ἰδεῖν. *Τὸν ὑμῶν ὀδυρμόν.*] Οὐκ ἐδακρύετέ, φησιν, ἀλλ' ὠδύρεσθε ἐπὶ τῇ ἐπιτιμήσει μου τῇ ἐν τῇ πρώτῃ ἐπιστολῇ. *Τὸν ὑμῶν ζῆλον.*] Οὐκ εἶπεν, ὀργήν, ἀλλ', ὃ πλέον ἦν, *ζῆλον*, ὃν ὠργίσθητε τῷ πεπορνευκότι, καὶ τοῖς διασύρουσιν ἡμᾶς ψευδαποστόλοις. *Ὥστε με μᾶλλον χαρῆναι.*] Ὥςε μὴ λυπεῖσθαί με, φησί, διὰ τὰς εἰρημένας μου θλίψεις.—ΑΛΛΩΣ. Τίνος *μᾶλλον χαρῆναι*; Ἢ, τῆς λύπης μᾶλλον χαρῆναι, ἣν ὑπέστην ἐν τοῖς εἰρημένοις πειρασμοῖς καὶ στενοχωρίαις· ἢ, τῆς λύπης, ἣν ὑπέστην, διότι ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ· οἰκειότερον δὲ τὸ δεύτερον· πρὸς τοῦτο γὰρ μᾶλλον καὶ οἱ ἑξῆς ἁρμόζουσι λόγοι· δυνατὸν δὲ καὶ ἀμφότερα. Φησὶν οὖν, ὅτι ἡ χαρὰ πλέον ηὔφρανεν, ἢ ἡ λύπη ἠνίασεν. Εἶτα, Ὅτι, *εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ*, φησίν, ἀλλ' οὖν εἰς μετάνοιαν ἐλυπήθητε, ὅπερ ἐστὶ κατὰ θεὸν λυπηθῆναι. Καὶ ἡ μὲν καθ' εἱρμὸν διάνοια αὕτη· τὰ δὲ μεταξὺ, περιβολαί, καὶ αἰτιολογίαι, καὶ ἐπαναλήψεις. Εἴωθε γὰρ ὁ θεῖος οὗτος ἀνὴρ, περιβολαῖς περιβολὰς συνείρειν, καὶ μεστοποιεῖν τὸν λόγον· διὸ καὶ ἐπαναλήψεως δεῖται. Οἷον μεταξὺ τῆς εἰρημένης τοῦ ῥητοῦ συναφείας παρεμβέβληται τό· *Οὐ μεταμέλομαι*· εἶτα· *Εἰ καὶ μετεμελόμην*. Πάλιν τούτου αἰτία· *Βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη*. Καὶ οὐδὲ αὐτὴ ἡ περίοδος ἁπλῆ, ἀλλὰ περιβεβλημένη· φησὶ γάρ· *Εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς*· καὶ οὐκ εἶπεν· Εἰ καὶ ἐλύπησεν ὑμᾶς, ἀλλ', *εἰ πρὸς ὥραν*. Τὸ δὲ, *νῦν χαίρω*,

(1) Ὁ Θεοδώρητος λέγει· «Αὐτὸς γὰρ τοῖς δεινοῖς τοῖς γράμμασι τούτου χάριν ἔφη, ὅτι ἤρκεσεν εὐθὺς φανεῖς ἀποσκεδάσαι τὴν τῶν ἀντιαρῶν προσβολήν.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπανάληψίς ἐστι τοῦ, *Ὥστε μᾶλλον χαρῆναι* ἐπειδὴ γὰρ τῇ πυκνότητι τῶν περιβολῶν ἐμέστωσε τὸν λόγον, καὶ εἰς ἀσάφειαν αὐτὸν συγκλειόμενον ἑώρα, ἐχρήσατο τῇ ἐπαναλήψει. Εἶθ' οὕτως ἀπέδωκε τό· *Ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν*· ὅπερ, ὡς καὶ προείρηται, συνείρεται τοῖς ἐπάνω, οἷον τῷ, *Ὥστε μᾶλλον χαρῆναι*· *ὅτι, εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, ἀλλ'* οὖν ὅτι εἰς μετάνοιαν ἐλυπήθητε. Καὶ τοῦτο δὲ ὅμως περιβέβληται· τὸ δὲ ἁπλούστερόν ἐστιν· *Ὥστε μὲ χαρῆναι, ὅτι εἰς μετάνοιαν ἐλυπήθητε.* Ταῦτα δέ μοι διαλελεπτολόγηται, οὐχ ὅτι Παῦλος τούτοις ἐσεμνολόγητο, οὐδ' ὅτι ἡμεῖς αὐτὸν σεμνολογεῖν τούτοις ἔγνωμεν· ἀλλ' αἰσχύνοντες τοὺς ἔξω, ἰδιωτισμὸν τῇ ἐκκλησίᾳ ὀνειδίζοντας. Δείκνυται γὰρ διὰ τούτων, ὅτι, ἐφ' ᾧ μονονοὺ τεθνηπότες τὸν Παιανιέα καὶ τὸν τοῦ Ὀλόρου προσκυνοῦσι, ταῖς περιβολαῖς λέγω, μακρῷ τούτους ἢ ἐκεῖνοι τοὺς ἄλλους ἀποκρυπτόμενος· καίτοι τῶν μὲν ὁ βίος ἐν τούτῳ τῷ πόνῳ κατετρίβη, ὁ δὲ, οὐδ' ἐμβλέψαι τούτοις, ὅτι μὴ κατὰ πάρεργον χρῆσιν, ἠξίωσε. Καὶ μυριάκις ἐστὶν αὐτοῦ ἐν τοῖς λόγοις τὸ τοιοῦτον θεάσασθαι, τῆς χάριτος, ἃ μελέτην ἄλλοι ποιοῦντες οὐ κατορθοῦσι, ταῦτα τοῖς θεράπουσιν αὐτῆς εἰς ἐκείνων ἔλεγχον οὐδὲ ζητήσασι, πορίζουσης, καὶ περιορᾷν τὴν ἐν αὐτοῖς σχολὴν καὶ τὸν πόνον μᾶλλον ἀναδιδασκούσης. Δι' ὧν γὰρ, ὡς ἂν ἐκεῖνοι φαῖεν, ὁ ἰδιωτισμὸς τὰ τῆς εὐγλωττίας, ὅτε βούλεται, καὶ ἀταλαιπώρως λαμβάνει, καὶ ὑποχείρια ἔχει, καὶ πλέον τῶν ἔργον αὐτὰ καὶ βίον ποιουμένων, διὰ τούτων αὐτῶν ἡ σπουδὴ καὶ ὁ πόνος, μάταια καὶ ἀνωφελῆ, τῆς χάριτος οὐ συναιρομένης, ἀπελέγχεται (Ψωτίου). — *Ὅτι, εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ.*] Διὰ τὴν ἔγκλησιν. Εἰ καὶ τοιαῦτα ἐστί, φησι, τὰ γραφέντα μοι ἐν τῇ πρώτῃ ἐπιστολῇ, ὥστε ὑπερβαίνειν τὸ μέτρον τῆς ἐπιτιμήσεως· καὶ διὰ τοῦτο ποιοῦντά με μεταμεληθῆναι, ὡς ὑπὲρ τὸ μέτρον ἐπιπλήξαντα· ὅμως τὸ πολὺ κέρδος, τὸ ἐξ αὐτῶν γεγονὸς, οὐκ ἐᾷ με λοιπὸν μεταμεληθῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι νῦν. Ταῦτα δέ φησιν, οὐκ ἐπειδὴ ἀμέτρως τῷ ὄντι ἐπετίμησεν, ἀλλὰ πρόφασιν ἐπαίνων τὸ πρᾶγμα ποιησάμενος.

8 Βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς
9 ὥραν, ἐλύπησεν ὑμᾶς. Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε
10 ἐξ ἡμῶν. Ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ
11 κόσμου λύπη, θάνατον κατεργάζεται. Ἰδοὺ γὰρ, αὐτὸ τοῦτο, τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.

Εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς.] Πρὸς ὥραν γὰρ ἡ λύπη· τὸ δὲ κέρδος δινηνεκές. *Νῦν χαίρω.*] Ἀκόλουθον ἦν εἰπεῖν· Ἀλλὰ μεγάλα ὠφέλησεν· ἀλλὰ τοῦτο μὲν οὐκ εἶπεν, ἐπὶ τὴν αὐτοῦ δὲ κηδεμονίαν ἦλθε καὶ τὰ ἐκείνων ἐγκώμια. *Οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν.*] Τί γάρ μοι κέρδος ἦν, ὅτι ἐλυπήθητε; Ὅρα δὲ, πῶς τὸ λυπῆσαι, τῇ ἐπιστολῇ ἀναθεὶς, τὴν μετάνοιαν οὐ λέγει ἐξ αὐτῆς γεγενῆσθαι, ἀλλ' ἐκ τῆς ἐκείνων ἀρετῆς. Οὐ γὰρ εἶπεν, Ὅτι ἐλύπησεν ὑμᾶς εἰς μετάνοιαν, *ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ θεόν.*] Αὕτη γὰρ ἡ καλὴ λύπη· ὡς τό γε κατὰ ἄνθρωπον λυπεῖσθαι, κακόν. *Ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.*] Εἰ ἐσιωπήσαμέν, φησι, καὶ μὴ ἐπεπλήξαμεν, ἡμεῖς ἦμεν οἱ ζημιοῦντες ὑμᾶς, οἱ μὴ παρασχόντες μετανοίας ἀφορμήν. Λοιπὸν περὶ τῆς κατὰ θεὸν λύπης φιλοσοφεῖ, διαιρῶν αὐτὴν τῆς τοῦ κόσμου λύπης, καί φησιν· *Ἡ γὰρ κατὰ θεὸν λύπη ἀμεταμέλητον μετάνοιαν κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη, θάνατον κατεργάζεται.*] Οὐκ ἀεὶ κακὸν ἡ λύπη, ἀλλ' ὅταν κατὰ κόσμον γίνηται, τουτέστιν, ὅταν διὰ χρήματα, ἢ διὰ δόξαν λυπῆταί τις· αὕτη γὰρ θά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νατον κατεργάζεται, πάντως μὲν τὸν ψυχικὸν, πολλάκις δὲ καὶ τὸν σωματικόν· πολλοὶ γὰρ διὰ ταῦτα ἀπώλοντο· διὰ μέντοι τὰς ἁμαρτίας λυπεῖσθαί τις θέλων, κατὰ θεὸν λυπεῖται. Ἐπειδὴ γὰρ τὸ τῆς λύπης φάρμακον, εἰς τὸ διὰ τὰς ἁμαρτίας λυπεῖσθαι κατεσκεύασται μόνον, ἐν τούτῳ μόνον καὶ ὠφελεῖ· ἐν δὲ τοῖς λοιποῖς καὶ βλάπτει· παρὰ φύσιν γὰρ αὐτῇ χρώμεθα. — ΑΛΛΩΣ. *Μετάνοιαν ἀμεταμέλητόν*, φησιν. Ὥστε, εἰ κατὰ θεὸν ἐλυπήθητε, δείξοιτε ἂν διὰ τοῦ μηδέποτε ὑμᾶς ἀπὸ τῆς καλῆς ἐκείνης μετανοίας ἀποστῆναι, καὶ εἰς τὸ ἐναντίον περιτραπῆναι καὶ μεταμεληθῆναι· ὅπερ ἐστὶ προτρεπομένου εἰς τὸ μηδέ ποτε τῆς ὀρθῆς ἐξίστασθαι κρίσεως.—*Μετάνοιαν ἀμεταμέλητον κατεργάζεται.*] Ὁ γὰρ λυπηθεὶς κατὰ θεὸν οὐ μεταμεληθείη ποτὲ, ἢ καταγνῶ ἑαυτοῦ, διότι λελύπηται· ὅπερ ἐπὶ τῆς τοῦ κόσμου λύπης συμβαίνειν εἴωθεν. Καὶ λοιπὸν ἐκ τῶν ἀποβεβηκότων τὰς ἀποδείξεις, ὧν εἴρηκε, παρέχει. *Ἰδοὺ γάρ*, φησι, *αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν.* Οὐ μόνον γὰρ εἰς μεταμέλειαν τοῦ ὅλως λυπηθῆναι οὐκ ἤλθετε, ἀλλὰ μᾶλλον καὶ σπουδαιότεροι γεγόνατε. Λέγει ἔπειτα τῆς σπουδῆς τὰ τεκμήρια. *Ἀλλὰ ἀπολογίαν.*] Τὸ, *Ἀλλὰ*, ἐν ὅλοις τούτοις τοῖς κεφαλαίοις, ἀντὶ τοῦ, *Καὶ*, κεῖται· οἷον, Καὶ ἀπολογίαν εἰργάσατο πρὸς ἐμέ· ἀπελογήσασθε γὰρ τῇ μετανοίᾳ, καὶ τῷ ἀποκόψαι ὑμῶν τὸν πεπορνευκότα. *Ἀλλὰ ἀγανάκτησιν.*] Καὶ ἀγανάκτησιν πρὸς τὸν πορνεύσαντα. *Ἀλλὰ φόβον.*] Καὶ φόβον πρὸς ἐμέ· φόβου γὰρ ἦν ἡ τοσαύτη καὶ οὕτω ταχεῖα διόρθωσις. Ἐπειδὴ δὲ τὸ τοῦ φόβου ἐπαχθὲς ἦν, ἐπάγει· *Ἀλλὰ ἐπιπόθησιν.*] Ἀγαπῶντες γάρ με, καὶ δεδοικότες, μή με λυπήσητε, διωρθώσασθε. *Ἀλλὰ ζῆλον.*] Καὶ ζῆλον φησὶν, ἢ ὑπὲρ θεοῦ, ἢ ὑπὲρ ἐμοῦ πρὸς τοὺς λοιδοροῦντας ψευδαποστόλους. *Ἀλλ' ἐκδίκησιν.*] Καὶ ἐκδίκησιν· καὶ γὰρ ἐξεδικήσατε τοὺς τοῦ θεοῦ νόμους, ὑπὸ τοῦ πεπορνευκότος ὑβρισθέντας. *Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνούς.*]

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ μόνον, φησὶν, οὐδὲν τετόλμηται ὑμῖν τοιοῦτον, οἷον τῷ πεπορνευκότι, ἀλλ' οὐδὲ συνήσθητε αὐτῷ. Ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ ἐπιστολῇ εἰρήκει· *Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ* (α)· ὅπερ αὐτοὺς κοινωνοὺς τοῦ πλημμελήματος ἐποίει· φησὶ νῦν, ὅτι καὶ ταύτην ἀπετρίψατε τὴν ὑπόνοιαν, καὶ ἐδείξατε ἑαυτοὺς καθαροὺς τοῦ ἐπὶ τούτῳ μώμου.

12 Ἄρα, εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος· ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν
13 πρὸς ὑμᾶς, ἐνώπιον τοῦ θεοῦ. Διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέ
14 παυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν· ὅτι, εἴτι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην· ἀλλ', ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν, ἡ ἐπὶ Τίτου, ἀλήθεια ἐγε-
15 νήθη· καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστὶν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοὴν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐ-
16 τόν. Χαίρω, ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

Ἵνα μὴ εἴπωσιν αὐτῷ· Τί οὖν ἐπετίμας ἡμῖν; εἰ ἀγνοὶ ἦμεν ἐν τῷ πράγματι; φησὶν, ὅτι· *Εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος.*] Τίς ὁ ἀδικήσας; καὶ τίς ὁ ἀδικηθείς; Οἱ πεπορνευκότες· ἠδίκησαν γὰρ ἑαυτοὺς, καὶ ἠδικήθησαν ὑφ' ἑαυτῶν. Λέγει δὲ τοῦτο· Τὰς τοσαύτας ἐγκλήσεις, οὐχ ἕνεκεν τῶν πεπορνευκότων ὑμῖν ἔγραψα προηγουμένως· ἀλλ' ἕνεκεν ὑμῶν αὐτῶν, ἀσφαλιζόμενος ὑμᾶς, μήπως, ὁδῷ βαδίζον τὸ κακὸν, καὶ εἰς ὑμᾶς ἔλθῃ· μικρὰ γὰρ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ (α). *Ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν.*] Ἀλλ' ἕνεκεν τοῦ δεῖξαι ὑμῖν, πῶς ἐν σπουδῇ καὶ ἐν φροντίδι ὑμᾶς ἔχω· ὅπερ τὸ αὐτὸ μέν ἐστι τῷ πρώτῳ,

(α) Α' Κορ. Ε', 2. (α) Α' Κορ. Ε', 6. Γαλ. Ε', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαπητικώτερον δὲ εἴρηται. *Τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς, ἐνώπιον τοῦ θεοῦ.*] Ἦν μέν, φησιν, ἀγάπη παρ' ἐμοί, ἀλλὰ καὶ φανερῶσαι αὐτὴν ἐζήτουν, ὡσανεὶ ἐφορῶντος τοῦ θεοῦ, ὅτι ἀληθεύω. *Διὰ τοῦτο παρακεκλήμεθα.*] Ἐπειδὴ καὶ τὴν σπουδὴν τὴν περὶ ὑμᾶς ἐπέδειξα, καὶ τὸ πᾶν ἡμῖν κατώρθωται. *Ἐπὶ τῇ παρακλήσει ὑμῶν.*] Δύο λέγει παρακληθῆναι παρ' αὐτῶν παρακλήσεις· μίαν μέν, διότι αὐτὸς οὐ μάτην ἐπετίμησεν αὐτοῖς ἐν τῇ ἐπιστολῇ, καὶ ἐκεῖνοι τὸ ἐπιτιμηθὲν διωρθώσαντο· δευτέραν δὲ, ὅτι τὸν Τίτον ἀνέπαυσαν. Αὐτὸς δὲ, *Ἐπὶ τῇ χαρᾷ Τίτου*, φησι, δεικνὺς, ὅτι πολλὴν χάριν αὐτοῖς ὁ Τίτος ὡμολόγει· ἐκ γὰρ τοῦ χαίρειν ἐκεῖνον, τήν τε ὑπερβολὴν τῆς ἀναπαύσεως καὶ τὴν ὑπερβολὴν τῆς εὐχαριστίας αὐτοῦ τὴν εἰς αὐτοὺς δηλοῖ· διὸ καὶ προκρίνει τὴν παράκλησιν ταύτην, τῆς προτέρας παρακλήσεως· *περισσοτέρως δὲ μᾶλλον*, φησιν, *ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου*· καὶ ταῦτα λέγει, μᾶλλον αὐτοὺς εἰς τὴν ἀγάπην Τίτου ἐφελκόμενος· ἔμελλε γὰρ πάλιν σὺν τῇ ἐπιστολῇ πέμπειν αὐτὸν πρὸς αὐτούς. Τί δὲ ἦν ἡ ἀνάπαυσις Τίτου, ἐφ' ᾧ καὶ ἔχαιρεν; Ἡ αὐτὴ ἡ διόρθωσις αὐτῶν, ἐφ ᾗ καὶ Παῦλος παρεκέκλητο· ἢ ἡ εἰς πάντα ὑπακοὴ αὐτῶν, καὶ ἡ μετ' εὐλαβείας καὶ πίστεως ξενία καὶ ὑποδοχὴ αὐτῶν· καὶ γὰρ τεκμήριον εὐσεβείας, ἡ εἰς τὸν κήρυκα αὐτῆς τιμὴ καὶ εὐλάβεια. Παρεκλήθημέν, φησιν, ἐπὶ τῇ διορθώσει ὑμῶν· περισσοτέρως δὲ ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι διὰ τῆς διωρθώσεως ὑμῶν ἀναπέπαυται ἡ ψυχὴ αὐτοῦ. *Ὅτι, εἴ τι αὐτῷ κεκαύχημαι ὑπὲρ ὑμῶν.*] Καὶ ἀρετῆς μαθητῶν ἔλεγχος, τὸ τὸν διδάσκαλον ὑπὲρ αὐτῶν καυχᾶσθαι, καὶ ἀγάπης διδασκάλων δεικτικόν. *Οὐ κατῃσχύνθην.*] Οὐ γὰρ ἐφάνην ψευδόμενος.—*Εἴ τι κεκαύχημαι οὐ κατῃσχύνθην.* Ἢ πρὸς ἓν κόμμα λόγου τὰς δύο λέξεις ἐκληπτέον, καὶ τὴν ἐπαγομένην τῆς προτέρας πρὸς αἰτίαν ἀποδοτέον, ὑποστίζοντας ἐν τῷ, *κεκαύχημαι*· ἢ, ὅπερ ἔμοιγε δοκεῖ μᾶλλον, ἑκατέραν λέξιν ὡς ἴδιον νόημα παριστῶσαν, κατὰ τελείαν στιγμὴν στίζοντας ἀναγνωστέον·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ εἴη ἂν ἑκατέρας λέξεως ὁ νοῦς ἀπηρτισμένος τοιοῦτος· *Κεκαύχημαι*· οἷον, καλῶς καὶ πρεπόντως ἐκαυχησάμην. *Κεκαύχημαι*· εὖρον τὴν καύχησιν τετελεσμένην. Εἶτα, *Οὐ κατησχύνθην*, οὐκ ἐψεύσθην τῆς ἐλπίδος, οὐκ ἠσχύνθην, ἐφ' οἷς προσεδόκησα τοιαῦτα. Ταῦτα δὲ εἰπὼν, καὶ διὰ τοῦ σύπου τῶν λέξεων καὶ τῆς προφορᾶς αὐτῶν τὴν χαρὰν ἐδήλου, καὶ τὴν παράκλησιν ἣν εἶχεν. Οὕτως ἦν δυνατὸς, ἐναργὲς διὰ τῶν λόγων παραστῆσαι τὸ βούλημα! Εἶτα, *καὶ ἡμῶν ἡ ἐπὶ Τίτου* ἢ ἡ περὶ Τίτου *καύχησις* πρὸς ὑμᾶς γεγενημένη· τοῦτο γὰρ τὸ προηγούμενον δοκεῖ ὑποραίνειν τὸ, *Ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν*· καὶ γὰρ, ὡς πάντα, φησὶν, οὕτω καὶ περὶ Τίτου· ἢ μᾶλλον, ὡς καὶ ἡμῖν συνδοκεῖ· *Ἡ καύχησις ἡμῶν ἡ περὶ ὑμῶν ἡ ἐπὶ Τίτου*, τουτέστιν, ἡ ἐνώπιον Τίτου γεγενημένη. Τοῦτον γὰρ τὸν νοῦν ἀπαιτεῖ τὰ προειρημένα· *Ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ· Κεκαύχημαι· Οὐ κατησχύνθην. Τὸ δὲ, Ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ*, οὐκ ἐναντιωθήσεται. Ὥσπερ γάρ, φησιν, ὑμῖν, ἃ εἴπον, ἐν ἀληθείᾳ εἶπον· οὕτω καὶ ἃ εἶπον Τίτῳ περὶ ὑμῶν, εἰς ἀλήθειαν ἀπέβη· καὶ τοσοῦτον οὐδὲν ὧν εἶπε περὶ ὑμῶν διαψευσθὲν εἶδεν, ὅτι *καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως* τῶν ἄλλων, ἤτοι, πλέον τῶν ἄλλων, περὶ ὑμᾶς ἐστι, καὶ ἐξῆς. — *Ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ.*] Πολλὰ περὶ Τίτου γράψας ἦν, καὶ νῦν, ὡς ἐν παρεξόδῳ, καὶ τὰ περὶ αὐτοῦ εἰρημένα βεβαιοῖ. Ὥσπερ γάρ, φησιν, ἐκεῖνα ἀληθῆ, οὕτω καὶ τὰ περὶ ὑμῶν κεκαυχημένα. *Καὶ τὰ σπλάγχνα αὐτοῦ*, καὶ ἑξῆς.] Οἷον ἡ διάθεσις· τοῦτο δὲ Τίτον ἐστὶ συνιστῶντος αὐτοῖς, ὡς σφόδρα συνδεδεμένον αὐτοῖς καὶ τῇ αὐτῶν ἀγάπῃ περικαιόμενον· διὸ *σπλάγχνα*, καὶ οὐκ ἀγάπην εὕρηκεν, ἵνα τὸ ἐνδιάθετον καὶ διάπυρον τῆς γνησίας ἀγάπης δηλώσῃ· τὸ γὰρ σπλάγχνον, πλέον τι δηλοῖ. *Ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν.*] Εἶτα, ἵνα μὴ δόξῃ κολακείας εἶναι τὰ ῥήματα, καὶ τὰς αἰτίας τίθησι, δι' ἃς αὐτοὺς ὁ Τίτος οὕτως ἀγαπᾷ, δεικνὺς τὴν ἀρχὴν τῆς ἀγάπης ἐξ αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν οὖσαν, καὶ ἅμα τροτρέπων αὐτοὺς ἔτι εἰς ταύτην. Τοῦτο καὶ τὸν Τίτον σεμνύνει, ὡς ἀεὶ Κορινθίους ἔχοντα κατὰ διάνοιαν, καὶ αὐτοὺς, ὅτι ἴσχυσαν οὕτως ἑλεῖν τὸν Τίτον. *Μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.*] Εἶτα ἐπίτασιν λέγει τῆς ὑπακοῆς, ὅτι οὐ μόνον ἦν ὑπακοὴ, ἀλλὰ φόβος καὶ τρόμος, μὴ ἔν τινι πάλιν προσκρούσωσι, καθάπερ ἤδη ἐπὶ τοῦ πεπορνευκότος. *Χαίρω, ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.*] Κἂν ἐπιπλῆξαι δέῃ, οὐ δέδοικα, μὴ ἀποῤῥαγῆτε· κἂν ὑπὲρ ὑμῶν καυχήσασθαι, οὐ δέδοικα, μὴ ψεύστης ὀφθῶ. Τοῦτο δὲ λέγων, καὶ τὸν περὶ ἐλεημοσύνης προκατασκευάζει λόγον.—ΑΔΑΩΣ. *Ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.*] Κἂν ἐνώπιον Τίτου δέῃ καυχήσασθαι, κἂν ἐνώπιον ἄλλου οὑτινοσοῦν. Ἢ, *ἐν παντὶ πράγματι.* Κἂν ἐπιτιμῆσαι καὶ ἀποστραφῆναι δέῃ τὸν πεπορνευκότα, κἂν προσλαβεῖν καὶ ἀνακαλέσασθαι μετανοοῦντα, κἂν ἄλλο τι χρὴ γενέσθαι, *ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.*

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Προτροπὴ εἰς ἐπίδοσιν χρημάτων τοῖς ἁγίοις καὶ τιμὴν τῶν διὰ τοῦτο ἐρχομένων ἐν ᾧ, περὶ τῆς Τίτου ἀποστολῆς καὶ τῶν ἄλλων πρὸς αὐτούς.

ΚΕΦ. VIII, 1 Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ θεοῦ, τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις
2 τῆς Μακεδονίας· ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν·

Τεχνικῶς πάνυ κατασκευάζει τὸν λόγον τῆς ἐλεημοσύνης· οὐ γὰρ ἦλθεν ἀπὸ ἐπιπλήξεως εἰς παραίνεσιν· ἦ γὰρ ἂν δυσπα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ράδεκτον εἰργάσατο τὸν λόγον· ἀλλὰ ἀπὸ ἐγκωμίων. Βούλεται δὲ τὸν περὶ ἐλεημοσύνης αὐτοῖς κινῆσαι λόγον· καί φησι· *Γνωρίζομεν ὑμιν τὴν χάριν τοῦ θεοῦ· χάριν* λέγων, τὸ τῆς ἐλεημοσύνης χάρισμα· χάρισμα γὰρ θεοῦ ἐστι τὸ εἶναί τινα ἐλεήμονα, ὥσπερ τὸ ἱάσεις ἐπιτελεῖν. *Τὴν δεδομένην ταῖς ἐκκλησίαις τῆς Μακεδονίας.*] Ὅρα τὸ εὐμήχανον τοῦ ἀποστόλου! Οὐκ εἶπεν εὐθύς· Δότε ἐλεημοσύνην· ἀλλὰ τὰ ἑτέροις κατωρθωμένα περὶ ἐλεημοσύνης διηγεῖται· ἐκ γὰρ τοῦ ἐκείνους ἐγκωμιάζειν, μᾶλλον τούτους πρὸς τὸν ὅμοιον ζῆλον προτρέπεται. Καὶ οὐκ εἶπεν, ἐν μέρει, ἀλλ' ὁλόκληρον ἐπαινεῖ τὸ ἔθνος, *ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας* εἰπών. *Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν.*] Ἀπὸ κοινοῦ τὸ, *ἐπερίσσευσε*. Τουτέστιν, οὕτως ἐθλίβησαν, ὥστε καὶ δόκιμοι ἐκ τῆς ὑπομονῆς γεγένηνται. Καὶ οὔπω τοῦτο θαυμαστόν· ἀλλ' ὅτι ἐκ τοσαύτης θλίψεως, τοσαύτη χαρὰ ἐβλάστησεν ἐν αὐτοῖς. *Καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν.*] Καὶ ὥσπερ ἡ πολλὴ θλῖψις χαρὰν ἔτεκεν, οὕτω καὶ ἡ κατὰ *βάθους*, τουτέστιν, ἡ πολλὴ πτωχεία· καὶ γὰρ διηρπάγησαν ὑπὸ τῶν ἰδίων συμφυλετῶν (α)· *ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος*, τουτέστι, τῆς δαψιλείας· ὡς εἰ ἔλεγεν· Ὦ τοῦ παραδόξου! ἡ πολλὴ αὐτῶν πτωχεία εἰς δαψιλῆ πλοῦτον οὐ μόνον ὑπούργησεν, ἀλλὰ καὶ ἐπερίσσευσεν· οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ γνώμῃ τῶν παρεχόντων κρίνεται ἡ φιλοτιμία. Οὕτω καὶ ἡ χήρα, ἧς τὰ δύο λεπτὰ προκέκριται (β).

3 Ὅτι κατὰ δύναμιν (μαρτυρῶ) καὶ ὑπὲρ δύναμιν
4 αὐθαίρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι
ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας
5 τῆς εἰς τοὺς ἁγίους (1)· καὶ οὐ καθὼς ἠλπίσαμεν,
ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ, καὶ ἡμῖν,
6 διὰ θελήματος θεοῦ, εἰς τὸ παρακαλέσαι ἡμᾶς Τί-

(α) Α' Θεσσαλ. Β', 14. (β) Λουκ. ΚΑ'. 3. (1) Παρ' ἄλλοις προστίθεται ἐνταῦθα ἐν τῷ κειμένῳ καὶ τὸ, δέξασθαι ἡμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τον, ἵνα, καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην.

Ἑρμηνεύει ὅ εἶπεν, ὅτι· *Ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν· καίφησι· Μαρτυρῶ* αὐτοῖς, ὅτι *κατὰ δύναμιν*, ἤτοι, ὅση δύναμις· καὶ τί λέγω, *κατὰ δύναμιν*; *καὶ ὑπὲρ δύναμιν* μὲν οὖν· τοῦτο γὰρ *ἡ περισσεία τῆς ἁπλότητος*, τὸ ὑπὲρ δύναμιν· ἀλλὰ καὶ *αὐθαίρετοι*· οὐ γὰρ ἡμεῖς αὐτοὺς προετρεψάμεθα. *Μετὰ πολλῆς παρακλήσεως.*] Οὐχ ἡμεῖς παρεκαλέσαμεν αὐτούς, ἀλλ' αὐτοὶ ἡμᾶς. Εἶτα ἐπιτείνων τὴν παράκλησιν, φησί· *Δεόμενοι ἡμῶν*, εἰς τὸ δέξασθαι ἡμᾶς *τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους. Τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας.*] *Χάριν* τὸ πρᾶγμα καλεῖ, ἵνα, ἐπειδὴ ζηλωταὶ ἦσαν τῶν πνευματικῶν χαρισμάτων οἱ Κορίνθιοι, ἐπιδράμωσι καὶ τούτῳ ὡς χαρίσματι. Καὶ *κοινωνίαν* δὲ καλεῖ τὴν ἐλεημοσύνην, δεικνὺς, ὅτι οἱ μέν, χρήματα διδόασιν, οἱ δὲ λαμβάνοντες, τὴν παρὰ θεοῦ βοήθειαν αὐτοῖς συνεισφέρουσι. *Καὶ οὐ καθὼς ἠλπίσαμεν.*] Τοῦτο καὶ πρὸς τὰς θλίψεις καὶ πρὸς τὴν ποσότητα νοητέον. Οὐκ ἠλπίσαμέν, φησιν, ὅτι καὶ τοσαύτην πενίαν ἔχοντες, καὶ ἐν θλίψει ὄντες τοσαύτῃ, ἢ ἔδωκαν, ἢ τοσαῦτα ἔδωκαν. *Ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ.*] Ἐνταῦθα καὶ τὰς ἄλλας ἀρετὰς αὐτοῖς προσμαρτυρεῖ. Οὐκ ἐν μέρει μέν, φησι, τῷ Κυρίῳ, ἐν μέρει δὲ τοῖς κοσμικοῖς πράγμασιν, ἀλλ' ὅλους *ἔδωκαν ἑαυτοὺς τῷ Κυρίῳ*, πρὸς πᾶν ἔργον θεάρεστον, ὁλοψύχως, καὶ οὐ μετὰ διψυχίας. *Καὶ ἡμῖν* δὲ ἔδωκαν ἑαυτούς, οὐκ εἰκῇ, ἀλλὰ *διὰ θελήματος θεοῦ*, τουτέστι, διὰ τὸ θέλημα καὶ τὸ ἀρεστὸν θεῷ, καὶ οὐκ ἀνθρωπίνῳ λογισμῷ τοῦτο ποιοῦντες.—ΑΛΛΟ. Ἐν τῇ περικοπῇ τοῦδε τοῦ ῥητοῦ, ἔξ τινὰ κατορθώματα ἐμαρτύρησε τοῖς Μακεδόσιν ὁ Παῦλος. Πρῶτον μὲν, ὅτι *κατὰ δύναμιν*· μέγα γὰρ καὶ τὸ καθ' ὅσον ἰσχύει τις ποιῆσαι ἐλεημοσύνην· δεύτερον δὲ, ὃ καὶ μεῖζον, ὅτι καὶ *ὑπὲρ δύναμιν*, τουτέστιν, ἑαυτοὺς ἀποστεροῦντες· τρίτον, ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐθαίρετοι, τουτέστιν, οὐκ ἐδεήθησαν εἰς τοῦτο παραινέσεως ἀλλοτρίας, ἀλλ' αὐτοὶ ἐξ ἑαυτῶν τὸ ἀγαθὸν ᾑρετίσαντο· τέταρτον, ὅτι *μετὰ πολλῆς παρακλήσεως*, ὅπερ ἐστὶ θερμῆς καὶ ὑπερβλυζούσης τὴν ἐλεημοσύνην προαιρέσεως· οὐ γὰρ ὡς αὐτοὶ ἑτέροις χάριν κατατιθέμενοι, ἀλλ' ὡς αὐτοὶ μεγάλα κερδαίνοντες, παρεκάλουν, ἐδέοντο, καὶ οὐκ ἀνίεσαν δεόμενοι· *δεόμενοι* γάρ, φησιν, *ἡμῶν*· πέμπτον, ὅτι καὶ παρ' ἐλπίδας Παύλου. Ὅρα, ποῦ ἀνεβίβασε τὸ πρᾶγμα! Καὶ ἐμοῦ αὐτοῦ, φησί, μεγαλοψυχότεραν διετέθησαν· οὐ δὲ γὰρ ἐγὼ αὐτός, φησιν, ἤλπιζον, τοσαύτην αὐτοὺς ἐλεημοσύνην δαψιλεύσασθαι. Ὁ δὲ οὐδὲ τούτοις ἠρκέσθη· ἀλλ' ἐπὶ τῇ συμπληρώσει τῆς περιόδου τὸ μεῖζον πάντων τέθεικε. Τί γάρ, φησιν, ἦν, ὃ *κατὰ δύναμιν*, καὶ *ὑπὲρ δύναμιν*, καὶ *αὐθαίρετοι*, καὶ παρακαλοῦντες, καὶ δεόμενοι, καὶ παρ' ἐλπίδας ἐποίουν; Ὦ μέγεθος ἀρετῆς καὶ ἐλεημοσύνης ἀξίας τῶν τοῦ Παύλου ἐγκωμίων! Τί ἦν ὃ ἐποίουν; *Ἔδωκαν ἑαυτούς*, φησι, *πρῶτον τῷ Κυρίῳ καὶ ἡμῖν, διὰ θελήματος θεοῦ*. Οὐκ ἔδωκαν μέρος τι, καὶ μέρος παρ' ἑαυτοῖς κατέσχον, ἀλλ' ἑαυτοὺς ὅλους ἔδωκαν τῷ Κυρίῳ· ὡσανεὶ ἔλεγεν· Οὐδὲ τὰς τοῦ ζῆν ἀφορμὰς ἑαυτοῖς κατέλιπον, ἀλλὰ πάντα δόντες, τὴν ἑαυτῶν πρόνοιαν πᾶσαν καὶ φροντίδα ἀνέθεντο τῷ Κυρίῳ. Διὸ καὶ τὸ μέγεθος ἐννοῶν ὁ Παῦλος τοῦ κατορθώματος, ἐπάγει· *Διὰ θελήματος θεοῦ*· ἀντὶ τοῦ, Μὴ θαυμάσῃς, ἄνθρωπε· θεὸν εἶχον συνεργόν· τοῦτον διὰ τῆς προαιρέσεως ἐφελκύσαντο· ἔνθα δὲ θεὸς συνεργεῖ, οὐδὲν ἀδύνατον. Ὅρα δὲ, πῶς χάριν αὐτὸ καὶ κοινωνίαν καλῶν, ἐπὶ τέλει ἀνεῖπεν, ὅτι ὅλως ἑαυτοὺς ἔδωκαν.—*Εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον*.] Καὶ τοσοῦτον, φησὶν, ἔδωκαν ἑαυτοὺς πρὸς τοῦτο, ὥστε ἐλθεῖν με εἰς τὸ πέμψαι Τίτον περὶ τούτου πρὸς ὑμᾶς, ἵνα μὴ ἔλαττον σχοίητε Μακεδόνων. Οἰκειοῖ δὲ αὐτοῖς τὸν Τίτον διὰ τούτων· δείκνυσι γὰρ αὐτὸν, προθέμενον καὶ ἀφ' ἑαυτοῦ ἀπελθεῖν πρὸς Κορινθίους, ἵνα μὴ ἐλαττωθῶσι Μακεδόνων· τοῦτο δὲ ἀγάπης ἦν Τίτου. *Ἵνα, καθὼς προενήρξατο*, τουτέστι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προέθετο τὸ δεῖν ἐλθεῖν πρὸς ὑμᾶς, οὕτω καὶ ἐπιτελέσῃ, τουτέστι, πληρώσῃ τὸ ἐγχείρημα· τοῦτο δέ ἐστι, τὸ παρασκευάσαι αὐτὸν ὑμᾶς, εἰς ἔργον ἀγαγεῖν τὸ κατὰ τὴν ἐλεημοσύνην. Ὅρα δὲ, πῶς πανταχοῦ *χάριν* καλεῖ τὴν ἐλεημοσύνην· καὶ *τὴν χάριν* γάρ, φησι, ταύτην. Μέγα γὰρ τῷ ὄντι, καὶ δῶρον θεοῦ, καὶ ἐξομοιοῦν αὐτῷ δυνατὸν τὸν μετιόντα.

7 Ἀλλ' ὥσπερ ἐν παντὶ περισσεύετε, (πίστει καὶ λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ,) ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι
8 περισσεύητε· οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων·

Ὅρα, πάλιν μετ' ἐγκωμίων προτρέπεται. *Ὥσπερ*, φησι, *περισσεύετε*, τουτέστι, μετὰ περιουσίας ἔχετε τὰ ἄλλα πάντα. *Πίστει* μέν, τῇ εἰς θεόν· *λόγῳ* δέ, τῷ τῆς σοφίας· *γνώσει* δέ, τῇ τῶν δογμάτων· *καὶ πάσῃ σπουδῇ*, τῇ περὶ τὴν ἄλλην ἀρετήν· *καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ*. Καὶ ὥσπερ, φησὶ, περισσεύετε ἐν τῷ ἀγαπᾶν με· εἰ καὶ μὴ ἠγάπων αὐτὸν οὕτως, ὡς αὐτὸς ἐκείνους, ἠγάπων δὲ ὅμως· πλὴν καὶ προτρεπομένου τὰ ῥήματα εἰς τὸ ἀγαπᾶν αὐτὸν οὕτως. *Ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι.*] Πάλιν χάρισμα τὴν ἐλεημοσύνην καλεῖ· *περισσεύητε* δέ, ἢ ὑπὲρ Μακεδόνας τοὺς πένητας, ἢ ἵνα δαψιλεύησθε ἁπλῶς. *Οὐ κατ' ἐπιταγὴν λέγω.*] Ἐπειδὴ πολλά τε παρήνεσε, καὶ σφόδρα Μακεδόνας ἐνεκωμίασεν, ἵνα μὴ ἐπαχθής τις εἶναι δόξῃ, φησὶν, *Οὐ κατ' ἐπιταγὴν λέγω*· τουτέστιν, οὐχ ὡς κελεύων, οὐδ' ὡς ἀναγκάζων ὑμᾶς. *Ἀλλὰ διὰ τῆς ἑτέρου σπουδῆς.*] Τουτέστι, διὰ τοῦτο διεξῆλθον τὴν σπουδὴν τῶν Μακεδόνων, τὴν περὶ τὴν ἐλεημοσύνην, ἵνα διὰ τῆς ἐκείνων σπουδῆς δοκιμωτέρους ὑμᾶς, τοὺς ὑπ' ἐμοῦ ἠγαπημένους, ποιήσω· *δοκιμάζων* γάρ, τουτέστι, δοκιμωτέρους ἀποφαίνων. Ἀγάπης γὰρ τῆς εἰς θεὸν, εἰ βούλει δὲ, καὶ τῆς εἰς Παῦλον, ἐναργὴς ἀπόδειξις καὶ δοκιμὴ, ἡ εἰς τοὺς πλησίον ἐλεημοσύνη. Πέπει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σμαι γάρ, φησι, καὶ τὸν θεὸν, καὶ ἡμᾶς δι' αὐτὸν, ὑφ' ὑμῶν ἀγαπᾶσθαι· ἀλλ' ἡ τελειοτέρα τῆς γνησίας ἀγάπης παράστασις καὶ βεβαίωσις, διὰ τῆς εἰς τοὺς πλησίον ἐλεημοσύνης ἐμφανίζεται.

9 (Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε, πλούσιος ὢν,
ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε·) καὶ
10 γνώμην ἐν τούτῳ δίδωμι. Τοῦτο γὰρ ὑμῖν συμ-
φέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ
11 θέλειν προενήρξασθε ἀπὸ πέρυσι· νυνὶ δὲ καὶ τὸ
ποιῆσαι ἐπιτελέσατε, ὅπως, καθάπερ ἡ προθυμία
τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν.

Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν.] Τουτέστιν, ἐννοήσατε, ἀναλογίσασθε τὸ μέγα μυστήριον. *Ὅτι δι' ὑμᾶς ἐπτώχευσεν.*] *Ἐπτώχευσε*, τὴν ἡμετέραν σάρκα ἀναλαβών· εἶτα κατεδικάσθη, καὶ ἐσταυρώθη, καὶ ταῦτα δι' ἡμᾶς, τοὺς ἀναξίους. Εἰ οὖν ἐκεῖνος, φησὶν, ἐπτώχευσε διὰ σὲ, οὐ οὐδὲ χρήματα δίδως δι' αὐτόν; *Πλούσιος ὤν.*] Καθό ἐστι καὶ νοεῖται θεὸς, οἷον, ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, δόξαν ἔχων ἀπόῤῥητον, ὡς ἀνεκλάλητον, μεγαλωσύνην ἀνείκαστον. *Ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.*] Εἰ γὰρ μὴ ἐκεῖνος, φησὶν, ἐπτώχευσεν, οὐκ ἂν ἡμεῖς ἐπλουτήσαμεν· ἐπλουτήσαμεν δὲ ποῖον πλοῦτον; Ἄφεσιν ἁμαρτιῶν, ἁγιωσύνην, υἱοθεσίαν, αὐτὴν τὴν βασιλείαν τῶν οὐρανῶν. *Καὶ γνώμην ἐν τούτῳ δίδωμι.*] Ὅρα, πῶς ἀνεπαχθὴς εἶναι σπουδάζει. *Γνώμην* γὰρ, φησὶ, τουτέστι, συμβουλὴν δίδωμι, οὐκ ἀνάγκην τινὰ ἐπιτίθημι. *Τοῦτο γὰρ ὑμῖν συμφέρει.*] Καὶ αὐτὴν δὲ τὴν συμβουλὴν ποιοῦμαι, διὰ τὸ ὑμῖν μᾶλλον συμφέρειν τὸ πρᾶγμα, ἅπερ τοῖς λαμβάνουσιν. *Οἵτινες οὐ μόνον τὸ ποιῆσαι.*] Καὶ λοιπὸν λέγει τὴν γνώμην. Οἵτινες, φησὶν, ἑκόντες ἐπὶ τοῦτο ἤλθετε· καὶ οὐ μόνον ἀρχὴν κατεβάλεσθε πρὸς τὸ ποιεῖν, ἀλλὰ καὶ πρὸς τὸ θέλειν· του-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέστι, πρὸς τὰ ἑκουσίως ποιεῖν, καὶ μηδενὸς προτρεψαμένου. *Νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε.*] Τουτέστι, πληρώσατε αὐτὸ, ὃ ἐνήρξασθε θέλειν. Βούλεται δὲ τὸ αὐθαίρετον καὶ τούτοις, ὡς τοῖς Μακεδόσι, περιάψαι. *Ὅπως, καθάπερ ἡ προθυμία τοῦ θέλειν.*] Ἵνα μή, φησιν, ἄχρι προθυμίας στῇ τὸ καλὸν ἔργον τοῦτο· ἀλλ' ὥσπερ ἡ προθυμία, ἐκ γνώμης καὶ ἐκ θελήματος ἑκουσίου γέγονεν, *οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν*· τουτέστιν, οὕτω καὶ τὸ τὴν προθυμίαν πληρωθῆναι γένηται *ἐκ τοῦ ἔχειν*, τουτέστιν, ἐκ τοῦ ἔχοντας εἰσενεγκεῖν· ὡς ὅγε μὴ ἔχων, τὸ ἀπὸ τῆς προθυμίας ἐπλήρωσεν.

12 Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις,
13 εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει. Οὐ γὰρ, ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις· ἀλλ' ἐξ ἰσότητος, ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑσ-
14 ρημα· ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς
15 τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης· καθὼς γέγραπται· « Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε (α). »

Προκειμένης, φησὶ, προθυμίας, καθὸ *ἐὰν ἔχῃ τις* εἰσφέρων, εὐπρόσδεκτός ἐστι παρὰ τῷ θεῷ, κἂν μικρὸν ᾖ, κἂν μηδὲν ᾖ παντελῶς· καθὸ γὰρ ἔχει τις, φησὶν, οὐ καθὸ οὐκ ἔχει, ἀπαιτεῖται. *Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις.*] Οὐ γὰρ, φησὶν, ἵνα ἄλλοι μετὰ ἀνέσεως τρυφῶσι, χρὴ ὑμᾶς ὑπὲρ δύναμιν δοῦναι, ὥστε καὶ ἔνδειαν καὶ θλῖψιν ὑπομεῖναι ἐκ τούτου. Τοῦτο δὲ, διὰ τὸ αὐτῶν ἀτελές φησιν· ὁ γὰρ Μακεδόνας ἐπαινῶν, ὅτι ὑπὲρ δύναμιν ἔδωκαν, δῆλος ἐστι καὶ τούτους τοῦτο ποιεῖν ἐθέλων. Ἀμέλει παρακατιὼν αἰνιγματωδῶς κατασκευάζει τὸ, δεῖν ὑπὲρ δύναμιν διδόναι. *Ἀλλ' ἐξ ἰσότητος.*] Κομᾶτε, φησὶ, χρήμασιν ὑμεῖς· κομῶσιν ἐκεῖνοι τῇ εἰς θεὸν παῤῥησίᾳ, οἷς τὰ τῆς ἐλεημοσύνης μέλλει δίδοσθαι. Δότε τοίνυν αὐτοῖς τὰ περισσὰ τῶν χρημάτων, καὶ λάβετε τὸ περισσὸν τῆς εἰς θεὸν

(α) Ἐξοδ. ΙϚ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παῤῥησίας. Εἰπὼν δὲ, *ἐξ ἰσότητος*, ῥέμα προτρέπεται αὐτοὺς, μὴ τὸ περίσσευμα δοῦναι, ἀλλὰ καὶ αὐτὸ τὸ ὑστέρημα. Τοῦτο γάρ φησιν· Εἰ περίσσευμα δῷς, περίσσευμα λαμβάνεις· εἰ δαψιλὲς δῷς, δαψιλὲς λήψῃ· εἰ δὲ ὁλόκληρον βούλει τὴν πρὸς θεὸν παῤῥησίαν ἐπισπάσασθαι, ὅλα κένωσον καὶ σύ· δὸς δὲ καὶ ἐκ τοῦ ὑστερήματος· ἐξ ἰσότητος γάρ ἐστιν ἡ λῆψις τῆς δόσεως. *Ἐν τῷ νῦν καιρῷ.*] Ἐν τῷ νῦν καιρῷ φησὶν· ἐν γὰρ τῷ μέλλοντι, οὐδὲν τούτων ἐπιδείκνυσθαι δύναται.—ΚΑΙ ΑΛΛΩΣ. Ἐν τῷ νῦν καιρῷ ἐπιτέλεσον τὴν ἰσότητα· ἐν γὰρ τῷ μέλλοντι πολλαπλασίονα ἀπολήψῃ· καὶ πρόσκαιρος μὲν ἡ δοκοῦσα ζημία· ἐν τῷ νῦν γὰρ καιρῷ, φησί· διαιωνίζων δὲ ὁ ἄφατος πλοῦτος.—*Ὅπως γένηται ἰσότης.*] Πῶς γένηται ἰσότης; Ἐὰν καὶ ὑμεῖς καὶ ἐκεῖνοι τὰ περισσεύοντα ἀντιδιδῶτε, καὶ τὰ ὑστερήματα ἀναπληροῦτε. Καὶ ποία ἰσότης, πνευματικὰ ἀντὶ σαρκικῶν διδόναι; Οὐ κατὰ τὸ πολυτιμότερον ἢ τὸ ἀτιμότερον τῶν διδομένων καὶ ἀντιδιδομένων εἴρηται ἡ ἰσότης, ἀλλὰ καθὸ, ὃ περισσεύει ὑμῖν, δίδοτε ὑμεῖς· καὶ πάλιν, ὃ περισσεύει ἐκείνοις, διδόασιν ἐκεῖνοι· καὶ πάλιν, ὃ ὑστερεῖσθε ὑμεῖς, λαμβάνετε· καὶ ὃ ὑστεροῦνται ἐκεῖνοι, λαμβάνουσι· κατὰ τοῦτο ἡ ἰσότης. *Καθὼς γέγραπται.*] Δείξας, ὅτι οὐ μόνον διδοῦσιν, ἀλλὰ καὶ ἀντιλαμβάνουσι, καὶ μείζονα ἀντιλαμβάνουσι· (κἂν γὰρ εἰπὼν, *ὅπως γένηται ἰσότης*, πρὸς δαψιλείαν αὐτοὺς προτρέπων εἶπεν· οὐκ ἔστι γὰρ ἴσον δοῦναι χρήματα, καὶ τὴν πρὸς θεὸν παῤῥησίαν ἀντιλαβεῖν·) νῦν ἐκ τῆς μαρτυρίας τῆς Παλαιᾶς θέλει τοῦτο κατασκευάσαι· ὅτι κἂν μὴ μεταδῶτε, οὐδὲν ὑμῖν ἔσται πλέον συνάγουτι· κἂν γὰρ μὴ λάβωσιν ἐκεῖνοι παρ' ἡμῶν, οὐ παρὰ τοῦτο ἐλαττωθήσονται· οὐ γὰρ ἂν αὐτοὺς περιίδοι ὁ θεὸς, δι' ὃν εἰσι πένητες· καὶ τὴν ἀρπαγὴν γὰρ τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, αὐτοῖς γράφων λέγει (α). Ἐπαινετὸν μὲν γὰρ τὸ ἐξ ἑαυτῶν ἁρ-

(α) Ἑβρ. ι, 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξασθαι ποιεῖν, νουθετηθέντας μόνον πρὸς τὸ θελῆσαι· μεῖζον δέ, τὸ καὶ αὐτὸ τὸ θελῆσαι ἐξ οἰκείας ἐλαστῆσαι γνώμης, καὶ αὐθαίρετον ἐπιδείξασθαι. Εἰ οὖν τὸ μεῖζον, φησίν, ἐπεδείξατε, καὶ τὸ ἔλαττον ἐπιτελέσατε (1).

16 Χάρις δὲ τῷ θεῷ, τῷ διδόντι τὴν αὐτὴν σπουδὴν
17 ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου· ὅτι τὴν μὲν πα-
ράκλησιν ἐδέξατο· σπουδαιότερος δὲ ὑπάρχων, αὐ-
18 θαίρετος ἐξῆλθε πρὸς ὑμᾶς. Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν·

Διαλεχθεὶς περὶ τῆς ἐλεημοσύνης ὅσα ἐχρῆν, λοιπὸν ἐπαινεῖ τοὺς ἐπὶ τούτῳ ἀποσταλέντας· ἵνα, ἀνύποπτοι γενόμενοι, μᾶλλον εἰς προθυμίαν αὐτοὺς τοῦ συνεισενεγκεῖν ἐνάγωσιν. Ἐπειδὴ δὲ πρῶτος τούτων Τίτος ἦν, τοῦτον ἐπαινεῖ, καὶ θεοῦ λέγει ἔργον, τὸ διεγερθῆναι αὐτὸν εἰς τὸ διακονῆσαι· τὴν αὐτὴν γάρ, φησι, σπουδὴν, ἣν κἀγὼ ἔχω ὑπὲρ ὑμῶν, ἐνέθηκεν αὐτῷ. Τούτῳ δὲ τῷ τρόπῳ προτρέπεται αὐτούς, ἵν' ἀξιόλογον ποιήσωνται τὴν δόσιν. Εἰ γὰρ μὴ μέγα ἦν, οὐκ ἂν ἀπὸ θεοῦ πρὸς τοῦτο διηγέρθη. *Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο.*] Καὶ πόθεν δῆλον, φησίν, ὅτι ὁ θεὸς προετρέψατο τὸν Τίτον; Πόθεν; *Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο·* τουτέστι, Παρεκλήθη μὲν καὶ παρ' ἐμοῦ, πλὴν καὶ αὐτὸς οἰκόθεν ὥρμητο εἰς τοῦτο. Διὸ καὶ *σπουδαιότερος ὑπάρχων* τῆς παρ' ἐμοῦ παρακλήσεως, *αὐθαίρετος ἐξῆλθε·* τουτέστιν, ἑκών, καὶ ἐξ οἰκείας προθυμίας. Ὅρα δὲ σοφίαν! Καὶ τοῦ θεοῦ λέγει ἔργον εἶναι τὴν ἕλευσιν Τίτου, καὶ ἑαυτὸν παρακεκληκέναι, καὶ Τίτον μηδὲ δεῆσθαι παρακλήσεως. *Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν.*]

(1) « Παράγει τὸ ἐπὶ τοῦ μάννα γινόμενον, ἅμα μὲν ἵνα δείξῃ, πῶς γίνεται ἡ ἰσότης· ὅτι, ὅταν ὁ τὸ πολὺ ἔχων πλούσιος, εἰ ὃ τὸ περιττεῦον τῷ ἔχοντι τὸ ὀλίγα, οὔτε αὐτὸς πλεονάζει, καὶ ὁ τὸ ὀλίγον ἔχων, οὐκ ἐλαττονεῖται, ἅτε λαβὼν παρ' ἐκείνου. Καὶ πάλιν ἐπὶ τῆς πρὸς θεὸν παῤῥησίας τὸ αὐτό. Ἅμα δὲ καί τι μεῖζον κατῤῥοῖ, δεικνύων τοὺς πλουσίους, ὅτι, ὥσπερ ἐπὶ τοῦ μάννα, οὔτε πλέον συνάγοντες, καὶ εἰ ἔλαττον, πάντες τὸ αὐτὸ μέτρον εὑρίσκοντο ἔχοντες, τὴν ἀπληστίαν τοῦ θεοῦ κολάζοντος· οὕτω καὶ νῦν οὐ δεῖ τοῦ πλείονος ἐφίεσθαι.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πολλοὶ μέν φασι τὸν Λουκᾶν εἶναι τοῦτον, διὰ τὸ σύνταγμα τοῦ εὐαγγελίου· πολλοὶ δὲ, τὸν Βαρνάβαν· καὶ γὰρ καὶ τὸ ἄγραφον κήρυγμα, *εὐαγγέλιον* φασὶ κεκλῆσθαι· ὃ καὶ μᾶλλον πιθανόν· τὰ γὰρ μετὰ ταῦτα, τῷ Βαρνάβᾳ ἁρμοδιώτερα. *Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ.*] Οὐ κηρύσσει μόνον, φησὶν, ἀλλὰ καὶ ἐπαινουμένως· ὁ δὲ ἔπαινος, οὐ παρ' ἑνὸς, ἀλλὰ διὰ πασῶν τῶν ἐκκλησιῶν ἦλθε. Τίνος δὲ ἕνεκεν τὸ μὲν ὄνομα τοῦ Τίτου λέγει, τούτων δὲ οὐκέτι; Ὅτι τὸν μὲν Τίτον ᾔδεσαν, τούτους δὲ ἠγνόουν· καὶ ὅτι τοσαῦτα λέγει περὶ αὐτῶν, ὅσα πρὸς σύστασιν ἥρκει μόνον, καὶ τὸ φυγεῖν τὴν ὑπόνοιαν τοῦ σφετερισμοῦ τῶν χρημάτων.—*Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ.*] Λείπει τὸ, ἐστὶν, ὃ δεῖ ἐπινοήσαντας, κατὰ κοινοῦ ἐξακούειν καὶ ἐπὶ τῶν ἑξῆς· οἷον, *οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ ἐστί*· τουτέστιν, οὐ μόνον θαυμασίως καὶ ἐπαίνου ἀξίως εὐαγγελίζεται καὶ κηρύσσει· ἀλλὰ καὶ *χειροτονηθεὶς ἐστιν*, ἀντὶ τοῦ, *ἀλλὰ καὶ κεχειροτονημένος ἐστίν*. Ὑπὸ τίνων; Ὑπὸ τῶν ἐκκλησιῶν. Εἰς τί; Εἰς τὸ εἶναι *συνέκδημος* ἡμῶν ἐν τῷ κηρύγματι. Εἶτα· Οὐ μόνον ἐν τῷ κηρύγματι κεχειροτονημένος ἐστίν· (δεῖ γὰρ ἀπὸ κοινοῦ καὶ τὸ, *οὐ μόνον*, ἐκλαβεῖν·) ἀλλὰ καὶ ἐν τῇ χάριτι ταύτῃ, καὶ ἑξῆς· τουτέστιν, ὅτι κεχειροτονημένος ἐστίν, ὥσπερ εἰς τὸ συνέκδημος ἡμῶν εἶναι καὶ κηρύσσειν τὸ εὐαγγέλιον, οὕτω καὶ εἰς τὸ διακονεῖν τῇ ἐλεημοσύνῃ. Διὰ τοῦτο ἄρα καὶ ἀπέσταλται νῦν ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει. Οἷον, ἄνωθεν, φησὶν, εἰς τοῦτο κεχειροτόνηται ὑπὸ τῶν ἐκκλησιῶν (α), καὶ οὐ νῦν ὑφ' ἡμῶν αὐτοσχεδιάζεται. Ἀλλὰ χειροτονηθεὶς συνέκδημος ἡμῶν, συνεχειροτονήθη καὶ ἐν ταύτῃ τῇ ὑφ' ἡμῶν διακονουμένῃ χάριτι λειτουργεῖν καὶ ὑπηρετεῖν (Φωτίου).

19 Οὐ μόνον δὲ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν σὺν τῇ χάριτι ταύτῃ,

(α) Πραξ. ΙΓ', 1. 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ
20 Κυρίου δόξαν καὶ προθυμίαν ἡμῶν (1)· στελλόμε-
νοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἀδρότητι
ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν· προνοούμενοι
καλὰ, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον
ἀνθρώπων.

Εἶτα καὶ ἐκ τῆς τῶν ἐκκλησιῶν χειροτονίας καὶ κρίσεως σεμνύνει τὸν Βαρνάβαν. Οὐ γὰρ μόνον εὐαγγελιζόμενος ἐπαινεῖται ὡς εὐδόκιμος, φησὶν, ἀλλὰ καὶ κεχειροτόνηται ὑπὸ τῶν ἐκκλησιῶν, εἶναι ἡμῶν συνέκδημος ἐν τῷ κηρύγματι. Ὁ δὲ ἐν τούτῳ κοινωνὸς, κοινωνεῖ δηλονότι καὶ τῶν πειρασμῶν καὶ τῶν κινδύνων τῷ Παύλῳ. Καὶ οὐ μόνον, φησὶ, συνέκδημος ἡμῶν κεχειροτόνηται, ἀλλὰ καὶ ἐν τῇ χάριτι ταύτῃ κεχειροτόνηται, *τῇ διακονουμένῃ ὑφ' ἡμῶν*, τουτέστιν, ἐπὶ τῷ ὑποδέξασθαι τὰ τῆς ἐλεημοσύνης χρήματα. Δύναται δὲ ταῦτα καὶ εἰς τὸν Λουκᾶν νοηθῆναι. *Πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν.*] Τοιοῦτος δέ ἐστι, φησὶν, ὁ καὶ ἐπὶ τῷ τὰ χρήματα ὑποδέξασθαι παρ' ὑμῶν ὑπὸ τῶν ἐκκλησιῶν χειροτονηθεὶς, ἵνα ἐξ ὧν πράττει καὶ ὁ Χριστὸς δοξάζηται, καὶ ὑμεῖς προθυμότεροι μᾶλλον εἰς τὴν εἰσφορὰν γένησθε. *Στελλόμενοι τοῦτο.*] Περιστελλόμενοι, ἀσφαλιζόμενοι εἰς τοῦτο. *Μήτις ἡμᾶς μωμήσηται.*] Διὰ τοῦτο, φησὶ, τοιαύτους ἐπέμψαμεν, καὶ οὐχ ἕνα, ἀλλὰ πλείους· *στελλόμενοι*, τουτέστιν, εὐλαβούμενοι καὶ φυλαττόμενοι, μή τις πονηρὰν ὑποψίαν σχοίη καθ' ἡμῶν, ὡς νοσφιζομένων τὰ χρήματα. Οὐκ εἶπε δὲ, Μὴ ὑμεῖς σκανδαλισθῆτε περὶ ἡμῶν, ἵνα μὴ πλήξῃ αὐτοὺς, ἀλλὰ, *Μή τις. Ἐν τῇ ἀδρότητι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν.*] Τουτέστι, διὰ τὸ εἶναι ἀδρὰν καὶ πλουσίαν τὴν εἰσφορὰν, τὴν μέλλουσαν γίνεσθαι ὑφ' ὑμῶν. Καὶ γὰρ τὸ τῶν χρημάτων πλῆθος, ἱκανὸν τοῖς πονηροῖς κακὴν ὑπόνοιαν ἐμβαλεῖν περὶ ἡμῶν, εἰ μὴ

(1) Παρ' ἄλλοις, ὑμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὕτως ἐπιλέκτους πρὸς τὴν ὑποδοχὴν αὐτῶν ἥμεν πεπομφότες. *Προνοούμενοι καλά.*] Ὅρα συγκατάβασιν! Οὐκ εἶπε· Τοῦ συνειδότος μου ὄντος ὀρθοῦ, οἰμωζέτω ὁ ὑπονοῶν τί κακόν. Ἀλλά τί; Διὰ τοῦτό, φησιν, εἰς τὴν ἀσφάλειαν καὶ τὴν ἀκρίβειαν ταύτην ἦλθον, ἐπειδὴ *προνοοῦμεν καλά*, τουτέστι, φροντίζομεν καλῶς ἀκούειν οὐ μόνον ἔμπροσθεν θεοῦ, *ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων*. Ὅσῳ γάρ τινες ἀσθενέστερον διάκεινταί, φησιν, τοσοῦτον ἀνάγκη συγκαταβαίνειν ἡμᾶς

22 Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ, τῇ
23 εἰς ὑμᾶς. Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκ-
24 κλησιῶν, δόξα Χριστοῦ. Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

Ἰδοὺ καὶ ἕτερον προσέθηκε, καὶ τοῦτον μετ' ἐγκωμίου, ἀδελφὸν αὐτὸν ὀνομάζων, καὶ συνιστῶν ἐκ τοῦ δοκιμάσαι αὐτὸν καὶ κρίναι σπουδαῖον ὄντα, καὶ ἐν πολλοῖς, καὶ πολλάκις. *Ὃν ἐδοκιμάσαμεν.*] Ἐπαίρει ἐκ τῆς αὐτοῦ δοκιμασίας τὸν ἄνδρα. Τὸ δὲ, *ἐν πολλοῖς καὶ πολλάκις*, ἐπίτασις ἐπαίνου. *Πεποιθήσει πολλῇ.*] Ἐπειδή, φησι, θαῤῥεῖ, ὡς οὐκ ἀποτεύξεται ἐρχόμενος πρὸς ὑμᾶς, σπουδαιότερος οὗ ἦν γεγένηται. *Εἴτε ὑπὲρ Τίτου.*] Ἐπειδὴ ἀπέδειξεν αὐτῶν τὴν ἀρετὴν, παρακαλεῖ λοιπὸν δι' αὐτούς, καὶ ἐν αὐτῇ τῇ παρακλήσει ἐγκωμιάζει αὐτούς, καί φησιν· *Εἴτε ὑπὲρ Τίτου* δεῖ τι εἰπεῖν, ταῦτα ἔχω λέγειν, ὅτι κοινωνός ἐστιν ἐμὸς, καὶ συνεργός μου εἰς ὑμᾶς, καὶ εἰς τὴν ὑμῶν σωτηρίαν καὶ πίστιν· μέγας δὲ ὁ ἔπαινος· εἴτε ὑπὲρ τῶν ἄλλων δεῖ τι εἰπεῖν, ταῦτα ἔχω λέγειν, ὅτι εἰσὶν ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, ἐξ ἐπιλογῆς δηλονότι. *Δόξα Χριστοῦ.*] Ἐξ ὧν, φησὶ, πολιτεύονται, δόξαν προξενοῦσι Χριστῷ· ἵνα γάρ, φησι, θεωροῦντες ὑμῶν τὰ καλὰ ἔργα, δοξά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς (α). *Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν.*] *Ἔνδειξιν*, τουτέστιν, ἀπόδειξιν, ἔλεγχον, ἐπίδειξιν. Τὴν ἀπόδειξίν, φησὶν, ἧς με ἀγαπᾶτε ἀγάπης, καὶ τῆς καυχήσεως, ἧς καυχώμεθα ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐπιδείξασθε· ὅτι οὐκ ἐκῆ ὑπὲρ ὑμῶν καυχῶμαι· ὡς εἰ ἔλεγεν· Εἰ θέλετε δεῖξαι, ὡς ὑμεῖς μὲν ἀγαπᾶτέ με, ἐγὼ δὲ δικαίως ὑπὲρ ὑμῶν καυχῶμαι, τούτους ἀγαπήσατε, τούτοις εὔνοιαν ἐπιδείξασθε. *Εἰς πρόσωπον τῶν ἐκκλησιῶν.*] Τουτέστι, καὶ εἰς τιμὴν τῶν ἀποστειλασῶν αὐτοὺς ἐκκλησιῶν. Ἂν γὰρ τούτους τιμήσητε, τὰς ἀποστειλάσας αὐτοὺς ἐκκλησίας τιμᾶτε. Οὐ λέγει δὲ, *ἀνθρώπων*, ἀλλ', *ἐκκλησιῶν*, σεμνότερον ἅμα καὶ ἀπαραίτητον ποιῶν τὸν λόγον.

ΚΕΦ. IX, 1 Περὶ μὲν γὰρ τῆς διακονίας, τῆς εἰς τοὺς ἁγίους, περισσόν μοι ἐστὶ τὸ γράφειν ὑμῖν. 2 Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.

Π*ερὶ μὲν γὰρ τῆς διακονίας.*] *Διακονίας*, ἐλεημοσύνης. Περὶ ταύτης τοιγαροῦν τῆς ἐλεημοσύνης, πολλά τε καὶ πρότερον εἰπὼν, καὶ πολλὰ λέγειν μέλλων, νῦν φησὶ, *περιττόν μοί ἐστι τὸ περὶ τούτων γράφειν ὑμῖν*, τοῦτο λέγων, ὥστε μᾶλλον αὐτοὺς ἐπισπάσασθαι· αἰσχύνεται γὰρ ἄνθρωπος, τοιαύτην δόξαν ἔχων περὶ αὐτῶν, ὡς μήτε δεῖσθαι αὐτοὺς συμβουλῆς, ἐλάττων φανῆναι τῆς ἰδίας ὑπολήψεως (1). *Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν.*] Θαρροῦντος μὲν, τὸ πεπεῖσθαι· τὸ δὲ καὶ εἰς ἑτέρους καυχᾶσθαι, πολὺ πλέον. *Ὅτι Ἀχαΐα παρεσκεύασται.*] Τοῦτό, φησιν, ἐκαυχώμην πρὸς Μακεδόνας, ὅτι οὐ μόνη ἡ Κόρινθος, ἀλλὰ καὶ πᾶσα ἡ Ἀχαΐα πρὸς τὴν ἐλεημοσύνην παρεσκεύασται·

(α) Ματθ. Ε', 16. (1) « Αἰσχυνθήσονται γάρ, εἴγε τοιαύτην ὑπόληψιν περὶ αὐτῶν ἔχοντος τοῦ Παύλου, ὅτι οὐ δέονται συμβουλῆς πρὸς τὸ ἐλεεῖν, εἶτα φανῶσιν ἐλάττους τῆς ὑπολήψεως. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(ἐπαρχία δέ τις ἐστὶν ἡ Ἀχαΐα, ὑφ' ἣν ἡ Κόρινθος.) Οὐκ εἶπε δὲ, ὅτι εἰσφέρει ἡ συλλέγει, ἀλλὰ, *παρεσκεύασται*, τουτέστιν, ἑτοίμη ἐστὶ, πεπλήρωκε τὸ πᾶν· καὶ λοιπὸν τοὺς διακονησομένους περιμένει. Ὥστε αἰσχύνη μοί ἐστιν, εἰ φανήσομαι μάτην καὶ ψευδῶς καυχώμενος. *Καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.*] Καὶ μὴν περὶ Μακεδόνων εἴρηκεν ἀνωτέρω, ὅτι *αὐθαίρετοι*, καὶ μετὰ σπουδῆς ἦλθον εἰς τοῦτο· πῶς οὖν νῦν φησὶν, ὅτι *ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας*; Οὐκ εἶπε δὲ, *τοὺς πάντας*, ἀλλὰ, *τοὺς πλείονας*· οἱ μὲν γὰρ, αὐθαίρετοι, καὶ δεόμενοι ἡμῶν· οἱ δὲ, ἐκ τοῦ ἐξ ὑμῶν ζήλου ἠρεθίσθησαν· οἱ γὰρ πλείους, κέντρου δέονται. Ἢ καὶ οὕτω νόει τὸ, *αὐθαίρετοι*· Ὅτι οὐ συνεβουλεύσαμεν, οὔτε προετρεψάμεθα αὐτοὺς, ἀλλ' ὑμᾶς μόνον ἐπῃνέσαμεν, ὡς παρεσκευασμένους ἀπὸ πέρυσι, καὶ τοῦτο ἤρκεσεν εἰς τὸ διεγεῖραι αὐτούς. Ὁρᾷς, πῶς ἐκείνους διὰ τούτων, καὶ τούτους δι' ἐκείνων ἐγείρει; Εἰ οὖν ὑμεῖς, φησι, γεγόνατε καὶ τοῖς ἄλλοις πρόξενοι συνεισφορᾶς, πῶς οὐκ ἄτοπον ὑμᾶς ὑστερῆσαι;

3 Ἔπεμψα δὲ τοὺς ἀδελφοὺς, ἵνα μὴ τὸ καύχημα
ἡμῶν, τὸ ὑπὲρ ὑμῶν, κενωθῇ ἐν τῷ μέρει τούτῳ·
4 ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε· μήπως,
ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καὶ εὕρωσιν ὑμᾶς
ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς (ἵνα μὴ
λέγωμεν, ὑμεῖς) ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυ-
5 χήσεως. Ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι
τοὺς ἀδελφοὺς, ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν
ὑμῶν, ταυτην ἑτοίμην εἶναι οὕτως, ὡς εὐλογίαν,
καὶ μὴ ὡς πλεονεξίαν.

Ὅρα τὴν κηδεμονίαν τοῦ Παύλου! Ὡσανεὶ ἑαυτὸν μέρος τῶν Κορινθίων ποιεῖται, καὶ ἀγωνιᾷ ὑπὲρ αὐτῶν· φησὶ γὰρ, ὅτι, ἐπειδὴ ἐκαυχησάμην, ἐφοβήθην, μὴ αἰσχυνθῶ, καὶ διὰ τοῦτο ἔπεμψα τοὺς *ἀδελφοὺς, ἵνα μὴ κενωθῇ*, τουτέστι, μα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταιωθῇ, ῥάταιον καὶ κενὸν ἐλεγχθῇ, *τὸ καύχημα ἡμῶν, τὸ ὑπὲρ ὑμῶν*, καὶ ψεῦσται εὑρεθῶμεν, εἰπόντες, ὅτι παρεσκευασμένοι ἐστὲ, *ἐν τῷ μέρει τούτῳ*, τουτέστι, τῆς ἐλεημοσύνης· ἐπειδὴ γὰρ εἶπεν, *ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν*, ἄχρι τῆς ἐλεημοσύνης αὐτὸ περιέκλεισεν. *Ἵνα, καθὼς ἔλεγον.*] Μακεδόσι γὰρ τοῦτο ἔλεγεν, *ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι* (1). *Μήπως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες.*] Ἀπὸ ἀνθρωπίνων λογισμῶν καὶ λόγων αὐτοὺς προτρέπει, ἀσθενέστερον διακειμένους. Μείζων γὰρ ἡ ἐντροπὴ, ὅταν ἐπὶ ἀλλοτρίων προσώπων καταισχύνεταί τις. *Μήπως*, φησὶν, *ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες*· εἰκὸς γάρ ἐστι Μακεδόνας μετ' ἐμοῦ ἐλθεῖν· *καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς*, ὡς εἰκῆ καυχώμενοι ἐφ' ὑμῖν. *Ἵνα μὴ λέγωμεν, ὑμεῖς.*] Ἵνα μὴ, φησὶν, εὐφημότερον λέγοντες, εἴπωμεν, ὑμᾶς καταισχυνθήσεσθαι· εἰ μὴ ὅτι καὶ τῶν δύο ἦν αἰσχύνη, τῶν μὲν, ὡς ὑστερούντων, τοῦ δὲ, ὡς ψευδῶς καυχωμένου. *Ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.*] Ὡς εἰ εἶπεν· Οὐκ ἀλλαχοῦ καταισχυνθῶμεν, ἀλλ' ἐν μόνῃ τῇ περὶ τῆς ἐλεημοσύνης καυχήσει. Καὶ γὰρ ἦν ὄντως ἀναγκαῖον, καὶ αὐτοὺς, τῆς αἰσχύνης, καὶ ἑαυτὸν, τοῦ δοκεῖν ψεύδεσθαι ἀπαλλάξαι. *Ὑπόστασιν* δὲ, τὴν ὑπόθεσιν, καὶ αὐτὸ τὸ πρᾶγμα, ἤτοι τὴν οὐσίαν τῆς καυχήσεως νόει. *Ἵνα προέλθωσιν εἰς ὑμᾶς.*] Ἐπειδὴ ἄνω εἰρήκει· Περιττόν μοι ἐστὶ τὸ γράφειν περὶ τούτου· ὡς αὐτῶν δηλαδὴ ἑτοίμων ὄντων· ἵνα μὴ δόξῃ ἐναντία λέγειν, νῦν οὐκέτι περὶ τοῦ συνεισενέγκαι, ἀλλὰ περὶ τοῦ ταχέως καὶ προθύμως ποιῆσαι τὸ ἔργον διαλέγεται, διὰ τούτων κἀκεῖνο κατασκευάζων. *Ταύτην ἑτοίμην εἶναι.*] Τὴν μετὰ δαψιλείας ἐλεημοσύνην. *Οὕτως, ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεο-*

(1) « Ἐγώ, φησι, καλλωπιζόμενος ἐφ' ὑμῖν, παρὰ πᾶσιν ἐκαυχησάμην, καὶ παρ' ἐκείνοις. Ὥστε, ἐὰν ὑστερήσητε, κοινὴ ἡ αἰσχύνη· οὐ πανταχοῦ δὲ, ἀλλ' ἐν τούτῳ τῷ μέρει· τουτέστιν, ἵνα μὴ καταισχυνθῶ ἐν τῇ περὶ τῆς ἐλεημοσύνης ὑποθέσει μόνῃ· ἀλλὰ παρεσκευασμένοι ἦτε, καθὼς ἔλεγον τοῖς Μακεδόσιν, ὅτι ἑτοιμοί εἰσι τῆς Ἀχαΐας ἅπαντες, καὶ οὐδὲν αὐτοῖς λείπει. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεξίαν.] Οὕτω· τουτέστι, μετὰ χαρᾶς καὶ σπουδῆς· εὐλογία γὰρ ἐστί, φησι, τὸ διδόμενον· οὐδεὶς δὲ εὐλογίαν διδοὺς ἢ λυπεῖται, ἢ ἐξ ἀνάγκης δίδωσιν. Ἐκεῖνος γὰρ λυπεῖται, ὁ πλεονεκτούμενος, καὶ διδοὺς ἐξ ἀνάγκης ἅπερ ἐπλεονέκτησε· νῦν δὲ ἀφορμὴν ὑμῖν σωτηρίας ἡ δόσις (1).

6 Τοῦτο δέ· ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις
7 καὶ θερίσει. Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δό-
8 την ἀγαπᾷ ὁ θεός (α). Δυνατὸς δὲ ὁ θεὸς, πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε
9 πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καθὼς γέγραπται· « Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα (β). »

Τοῦτο δέ.] Καὶ τοῦτο λέγω πρὸς οἷς εἶπον, ὅτι. Ἤ, τοῦτο δὲ, τὸ τῆς ἐλεημοσύνης πρᾶγμα τοῦτον ἔχει τὸν τρόπον. Ὁ σπείρων φειδομένως.] Φειδωλῶς καὶ κνιπῶς. Οὐκ εἶπε δὲ, μικρολόγως, ἀλλ' εὐφημότερον τὸ τῆς φειδοῦς ὄνομα τέθεικε. Καὶ σπόρον τὸ πρᾶγμα καλεῖ, ἵνα, πρὸς τὸν ἀμητὸν ἀπιδόντες, καὶ ὅτι ὁ σπείρας πολλὰ καὶ ὀλίγα, ἀναλόγως θερίζει, προθυμότεροι πρὸς τὴν εἰσφορὰν γένωνται. Καὶ ὁ σπείρων ἐπ' εὐλογίαις.] Μετὰ δαψιλείας, καὶ ἀδρότητος. Ἕκαστος, καθὼς προαιρεῖται τῇ καρδίᾳ.] Ἐπὶ τὸ πρότερον πάλιν ἦλθε, μονονοὺ τοῦτο λέγων· Τὰ μὲν λαληθῆναι περὶ ἐλεημοσύνης ὀφείλοντα, ταῦτα· πλὴν, καθὼς ἕκαστος προαιρεῖται, οὕτω διδότω· μὴ ἐκ λύπης· οὐ γάρ ἐστι πλεονεξία· μηδὲ ἐξ ἀνάγκης· οὐ γὰρ διαζόμεθά, φησί, τινα. Εἶπε γὰρ ἄνω· Οὐ κατ' ἐπιταγὴν λέγω· καὶ πάλιν· Γνώμην δὲ δίδωμι

(1) « Μὴ νομίσητέ, φησιν, ὅτι ὡς πλεονεκτοῦντες ὑμᾶς ταῦτα λαμβάνομεν, ἀλλ' ὡς θέλοντες ὑμῖν εὐλογίαν προξενῆσαι. Ἵστε ὁ διδοὺς ἄκων ἐλεημοσύνην, ὡσανεὶ πλεονεκτεῖται. » Θεοφύλακτος.

(α) Παροιμ. ΙΑ', 24. 25. ΚΒ', 8. (β) Ψαλ. ΡΙΑ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(α)· *Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός.*] Καὶ μαρτυρίᾳ βεβαιοῖ τὸ μὴ δεῖν ἐκ λύπης διδόναι. *Δυνατὸς ὁ θεὸς, πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς.*] Πᾶσαν, φησὶ, χάριν πνευματικῶν τε καὶ σαρκικῶν πραγμάτων, ὥστε δύνασθαι ὑμᾶς δαψιλῶς μεταδιδόναι. Ἤ, ὅτι δύναται ὁ θεὸς, ὑμῶν σαρκικὰ καὶ μικρὰ διδόντων, πνευματικὰ καὶ μεγάλα ἀντιδοῦναι, καὶ *περισσεῦσαι*· τουτέστιν, οὐ μόνον πληρῶσαι ἀλλὰ καὶ ὑπὲρ τὴν χρείαν δοῦναι. *Πᾶσαν αὐτάρκειαν ἔχοντες.*] Ὅρα σοφίαν! Ἐν τοῖς σαρκικοῖς, αὐτάρκειαν αὐτοῖς ἐπευχόμενος, ἐν τοῖς πνευματικοῖς· (τοῦτο γάρ ἐστι τὸ, *εἰς πᾶν ἔργον ἀγαθόν*·) περισσείαν καὶ περιουσίαν εὔχεται. *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι.*] Τὸν προφήτην αὐτοῖς ἐφίστησι, δαψιλείαν παραινοῦντα· τὸ γὰρ, *σκορπίσαι*, δαψιλείας καὶ περισσείας σημαντικόν. *Ἡ δικαιοσύνη αὐτοῦ.*] Δικαίους γὰρ ἡ ἐλεημοσύνη ποιεῖ, ὥσπερ πῦρ καθαίρουσα τὰ πλημμελήματα. *Μένει εἰς τὸν αἰῶνα.*] Οὐδέποτε γὰρ σβέννυται.

10 Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον
εἰς βρῶσιν (β), χορηγήσαι καὶ πληθύναι τὸν σπό-
ρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύ-
11 νης ὑμῶν· ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλό-
τητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ
12 θεῷ· ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ
μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν
ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαρι-
13 στιῶν τῷ θεῷ, διὰ τῆς δοκιμῆς τῆς διακονίας
ταύτης δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς
ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χρι-
στοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ
εἰς πάντας,

Ἐν εὐχῆς τάξει αἰνίττεται τὸ μὴ δεῖν δειλιᾷν, μήπως δούς τις πολλὰ, αὐτὸς ἐνδεὴς εὑρεθῇ· ὁ γὰρ σπέρμα χορηγῶν θεὸς

(α) Β' Κορ. Θ', 8. 10. (β) Ησ. ΝΕ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ τὸν αἰσθητὸν σπόρον σπείροντι, καὶ τὸ σῶμα τρέφων ἄρτῳ, πῶς ἂν ἀμελήσειε τοῦ τὸν πνευματικὸν σπείροντος σπόρον; *Χορηγήσαι καὶ πληθύναι.*] Χορηγήσειεν ὑμῖν τὰ σαρκικὰ δαψιλῶς, ἵνα πληθύνθῃ καὶ ἡ ἐλεημοσύνη ὑμῶν· ταύτην γὰρ νῦν *σπόρον* φησί. *Καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν.*] Ἐκ γὰρ τοῦ τῆς ἐλεημοσύνης σπόρου αὔξει δικαιοσύνης γεννήματα. Τροπικῶς δὲ ὅλα εἶπεν. *Ἥτις κατεργάζεται δι' ἡμῶν.*] Εἰς ταύτην, φησὶ, τὴν ἁπλότητα καὶ δαψιλείαν πλουτισθείητε, *ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ.* Τί δὲ τὸ καὶ τοὺς ἄλλους παρασκευάζον εὐχαριστεῖν τῷ θεῷ, ὑπὲρ ὧν καὶ ἡμεῖς κεκτήμεθα; Ἡ εὐποιΐα δηλονότι. Πλουτίσαισθε οὖν εἰς εὐποιΐαν· τοῦτο γὰρ καὶ τοὺς λαμβάνοντας ἡμᾶς εὐχαριστεῖν ποιήσει θεῷ. *Ὅτι ἡ διακονία.*] Τουτέστιν, ἡ φιλοτιμία, καὶ ἡ εἰσφορὰ τῶν χρημάτων τούτων, καὶ ἡ λειτουργία ἡ πνευματικὴ, ἡ διακονουμένη ὑφ' ἡμῶν. *Οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ.*] Οὐ μόνον τοῦτο κατορθοῖ, τὸ ἀναπληροῦν τὰ ὑστερήματα καὶ τὴν ἔνδειαν τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύειν ποιεῖ τὴν εἰς θεὸν εὐχαριστίαν, τῷ διὰ πολλῶν προσφέρεσθαι. Οἷον δέ ἐστι τὸ τρέφειν πενομένους, καὶ εὐχαριστεῖσθαι παρασκευάζειν θεόν· τὰ γὰρ δύο ταῦτα, τῶν ἄγαν ἐπαινουμένων. Περισσεύει δέ, φησι, *διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης*, τουτέστι, τῆς δοκίμου καὶ πείρᾳ τὴν χρηστότητα δειξάσης ἐλεημοσύνης, ἣν ἡμεῖς διακονοῦμεν ὑμῖν. Πῶς δὲ περισσεύει ἡ εὐχαριστία τῷ θεῷ; Πῶς; Ὅτι δοξάζοντες εἰσὶν οἱ ἅγιοι τὸν θεὸν, οὐ μόνον ὅτι ἐλύθη αὐτοῖς διὰ τῆς ἐλεημοσύνης ἡ ἔνδεια, ἀλλὰ καὶ ὅτι ὑποτεταγμένοι ἐστὲ τῇ ὁμολογίᾳ τοῦ εὐαγγελίου· δεῖγμα γὰρ τοῦ ὑποτετάχθαι τοῖς εὐαγγελικοῖς προστάγμασι τὸ εὖ ποιεῖν· πλεῖστα γὰρ περὶ ἐλεημοσύνης ὁ Κύριος διηλέχθη. *Καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας.*] Καὶ ὅτι διὰ τὴν ὑποταγὴν καὶ πειθὼ τοῦ εὐαγγελίου, καὶ εἰς τοῦτο ὑποτε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταγμένοι ἐσὲ, εἰς τὴν εἰς αὐτοὺς ἁπλότητα, οἷον δαψιλείαν τῆς ἐλεημοσύνης καὶ κοινωνίαν, καὶ οὐ μόνον εἰς αὐτοὺς, ἀλλὰ καὶ εἰς πάντας· οἱ γὰρ ἅγιοι οὗτοι, φησὶ, καὶ ὑπὲρ ὧν ἑτέροις παρέχετε, εὐχαριστοῦσι τῷ θεῷ.

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς, διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν.
15 Χάρις δὲ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

Καὶ *αὐτῶν δεήσει ὑπὲρ ὑμῶν.*] Καὶ εἰς τοῦτο, φησὶν, εὐχαριστοῦσι τῷ θεῷ, ὅτι οὕτως ὑμᾶς δοκίμους ἀπειργάσατο ἡ ὑποταγὴ τοῦ εὐαγγελίου, οὕτω ποθεινοὺς, ὡς δεῖσθαι αὐτοὺς συνεχῶς ὑπὲρ τοῦ ἰδεῖν ὑμᾶς. *Ἐπιποθούντων ὑμᾶς, διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ.*] Ἐπιποθοῦσι δέ, φησιν, ὑμᾶς, οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δοθείσης ὑμῖν ἀπὸ θεοῦ χάριτος· *διὰ γὰρ τὴν ὑπερβάλλουσαν*, φησὶ, *χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν*, διὰ τοῦτο ὑμᾶς ἰδεῖν ποθοῦσιν. Ὅρα δὲ σύνεσιν! Ἐπάρας αὐτοὺς, τὸ πᾶν ἀνέθηκε τῷ θεῷ, *χάριν* τὸ πρᾶγμα καλέσας θεοῦ. Εἶτα τὴν τοῦ θεοῦ χάριν ἐννοήσας, καὶ αὐτὸς δοξάζει τὸν θεόν· *Χάρις δὲ τῷ θεῷ*, φησιν, *ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ· δωρεὰν* δὲ ἐνταῦθα καλεῖ, καὶ τὸ γεγενῆσθαι Κορινθίους ὑποτεταγμένους τῷ εὐαγγελίῳ, καὶ ὅτι διὰ τῆς ἐλεημοσύνης τὰ τοσαῦτα ἀγαθὰ ἐδωρήσατο ἡμῖν, ὅσα κατέλεξε, καὶ ὅτι μείζονα δώσει ὑπὲρ αὐτῆς ἐν τῷ μέλλοντι.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Διήγησις τῶν ἰδίων πόνων καὶ προθέσεως, καὶ τῆς ἐπ' αὐτῷ χάριτος, πρὸς τὸ μὴ τοῖς ἐπιπλάστοις διδασκάλοις προστίθε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι Κορινθίους· ἐν ᾧ, ἀντεξέτασις ἑαυτοῦ πρὸς ἐκείνους, καὶ ἔλεγχος ἐκείνων.

ΚΕΦ. Χ, 1 Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ
2 θαρρῶ εἰς ὑμᾶς· δέομαι δὲ, τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπα-
3 τοῦντας. Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα,

Απαρτίσας τὸν περὶ ἐλεημοσύνης λόγον, ἀπάρχεται τῶν ἐπιτιμητικωτέρων λόγων κατά τε τῶν ψευδαποστόλων καὶ τῶν διαβαλλόντων αὐτὸν ὡς ἰδιώτην καὶ εἰκῇ ἀλαζονευόμενον· καὶ ἑαυτὸν συνίστησιν, εἰς ἀνάγκην ἐλθών, τοῦ μὴ καὶ τὸ κήρυγμα συνευτελισθῆναι, εἰ αὐτὸς φαῦλος τῇ σιωπῇ νομισθῇ· καὶ τὰ τῆς δοθείσης αὐτῷ χάριτος μετὰ δαψιλείας τίθησι κατορθώματα, καὶ τὴν αὐτοῦ ὑπομονὴν, καὶ τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας. Ὥστε οὐκ ἄν τις ἁμάρτοι, ἐγκώμιον Παύλου ταύτην τὴν ἐπιστολὴν εἰπών. Τέως δ' οὖν ἀρχομένῳ τοιαύτην τινὰ διάνοιαν ὁ λόγος ἐμφαίνει πρὸς τοὺς ἀδύνατον αὐτὸν ἀποκαλοῦντας καὶ ἀλαζόνα, ὅτι· *Αὐτὸς ἐγὼ Παῦλος*· τουτέστιν, ὁ ἀπόστολος, ὁ διδάσκαλος τῆς οἰκουμένης· ἀξίωμα γὰρ ἐμφαίνει τὸ, *Αὐτὸς ἐγὼ ὁ Παῦλος*, ὡς καὶ ἀλλαχοῦ τὸ, Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν (α). *Παρακαλῶ ὑμᾶς.*] Τοῦτο θέλει εἰπεῖν· Δέομαι ὑμῶν, ἵνα μή με ἀναγκάσωσιν οἱ λοιδοροῦντες με, χρήσασθαι τῇ δυνάμει μου κατ' αὐτῶν. Ὡς λέγειν εἰώθαμεν· Συμβουλεύσατε αὐτοῖς, μὴ εἰς τοῦτο με ἀγαγεῖν. *Διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ.*] Μέγα μὲν καὶ τὸ Παῦλον παρακαλεῖν· ὅταν δὲ καὶ διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ τὴν ἱκεσίαν ποιῆται, φρικωδέστερον· ὡσανεὶ

(α) Γαλατ. Ε, 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγων· Αἰδέσθητε τὴν πραότητα καὶ ἐπιείκειαν τοῦ Χριστοῦ, δι' ἧς ὑμᾶς παρακαλῶ. Ὁμοῦ δὲ ἐμφαίνει, διὰ τί φείδεται αὐτῶν· ὅτι διὰ τὸ μιμεῖσθαι τὴν πραότητα τοῦ σωτῆρος Χριστοῦ, καὶ οὐ διὰ τὸ ἀσθενὴς εἶναι. *Ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν.*] Ἡ κατὰ εἰρωνείαν φησὶ τοῦτο, τοῖς τῶν διαβαλλόντων αὐτὸν χρησάμενος λόγοις· ἔλεγον γὰρ ἐκεῖνοι, ὅτι ἡ μὲν παρουσία αὐτοῦ ἀσθενὴς, αἱ δὲ ἐπιστολαὶ βαρεῖαι (1). Λέγει οὖν· Δέομαι ὑμῶν, ὁ παρὼν μὲν, ταπεινὸς, ὡς αὐτοί φασιν, ἀπὼν δὲ, θαρρῶν τὰ μείζω μου γράφειν. Ἢ τοῦτό φησι· Ταπεινὸς μέν εἰμι, πλὴν θαρρῶν τῇ ἀγάπῃ ὑμῶν, τολμῶ τοιαῦτα γράφειν. *Δέομαι δέ.*] Τί δέῃ; *Τὸ μὴ παρὼν θαρρῆσαι*, φησὶ, τουτέστι, ἵνα μὴ μὲ ἀναγκάσητε, θαρρούντως χρήσασθαι, ἐρχόμενος πρὸς ὑμᾶς καὶ παρὼν, τῇ δυνάμει μου· *πεποίθησιν* γὰρ τὴν πνευματικὴν αὐτοῦ δύναμιν καλεῖ, διὰ τὸ ῥᾳδίως δύνασθαι τοὺς ἐναντίους ἀμύνασθαι. Ποίᾳ δὲ δυνάμει; Ἢ τινι, φησὶ, *λογίζομαι τολμῆσαι*, ὡς εἰ ἔλεγεν· Οὔπω κέκρικα χρήσασθαι αὐτῇ, ἀλλ' ἔτι λογίζομαι τολμῆσαι χρήσασθαι τῇ δυνάμει μου. Ὁρᾷς, πῶς ἐστι ταπεινός; Ἀνάγκης γὰρ οὔσης χρήσασθαι τῇ δυνάμει, ὀκνεῖ καὶ ἀναδύεται, καὶ *τόλμαν* καλεῖ τὸ ὅλως ἀμύνασθαί τινας, καίτοιγε οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος τοῦτο ἔμελλε ποιῆσαι. Τοῦτο γὰρ ἀρίστου διδασκάλου, τῇ ἀναβολῇ χώραν παρέχειν τῇ μετανοίᾳ (2). *Ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.*] Κατὰ τίνων, εἶπόι τις ἂν, ἔχεις χρήσασθαι παρὼν τῇ δυνάμει τῇ πνευματικῇ; *Ἐπί τινας*, φησὶ, *τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦν-*

---

(1) « Ἔλεγον ἐκεῖνοι, ὅτι, ὅταν μὲν παρῇ, οὐδενός ἐστιν ἄξιος λόγου, ἀλλὰ ταπεινὸς, εὐκαταφρόνητος· ὅταν δὲ ἀπῇ, φυσᾷ τε καὶ κομπάζει, καὶ καταθαρρεῖ ἡμῶν, καὶ ἀπειλεῖ. » Θεοφύλακτος.

(2) « Δέομαι δέ.] Συμβουλεύσατέ, φησι, τοῖς λέγουσιν ἡμᾶς τὸν νόμον φυλάττειν μεταβαλέσθαι, ἵνα μὴ ἐλθὼν θαρρούντως χρήσωμαι κατ' αὐτῶν τῇ πνευματικῇ μου δυνάμει, ὅ ἐστι, τῇ τιμωρητικῇ, ᾗ βουλεύομαι τολμῆσαι χρήσασθαι ἐπ' αὐτούς. » Σχόλιον ἀρχαῖον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας, ἤτοι τοὺς διαβάλλοντας ἡμᾶς ὡς ὑποκριτὰς καὶ ἀλαζόνας· οἱ γὰρ ψευδαπόστολοι διέβαλλον αὐτὸν ὡς ὑποκριτὴν καὶ ἀπατεῶνα, καὶ πάντα πρὸς ἐπίδειξιν ποιοῦντα· καὶ φησιν· *Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα.*] Τουτέστι, σάρκα περικείμενοι, οὐ σαρκικῶς ζῶμεν. Ἢ, περὶ τοῦ κηρύγματος διαλέγεται, δεικνὺς, ὅτι οὐκ ἔστιν ἀνθρώπινον, οὐδὲ τῆς κάτωθεν δεόμενον βοηθείας. Πόλεμον γὰρ πρὸς τοὺς νοητοὺς καὶ αἰσθητοὺς ἐχθροὺς ἀναδεξάμενοι, οὐ σαρκικοῖς ὅπλοις κεχρήμεθα· καὶ τοῦτό ἐστι τό· *Οὐ κατὰ σάρκα στρατευόμεθα.*

4 (Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ,
ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμά-
5 των,) λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα, ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ,

Καὶ οὕτως οὐ κατὰ σάρκα στρατευόμεθα, ὅτι τὰ ὅπλα, οἷς χρώμεθα κατὰ τῶν ἀνθισταμένων, οὐκ ἔσι σαρκικά. *Σαρκικὰ* δὲ *ὅπλα* εἴη ἂν, πλοῦτος, ἰσχὺς, δυναστεία, δόξα, εὐγλωττία. Ἡμεῖς τοιγαροῦν, οὐ τούτοις νικῶμεν, ἀλλὰ τοῖς ἐναντίοις· πενίᾳ, ἀδοξίᾳ, ἀσθενείᾳ, ἰδιωτείᾳ· διὸ καὶ *δυνατὰ τῷ θεῷ* αὐτὰ καλεῖ. Καὶ γὰρ ἐν τούτῳ τὸ θαυμαστὸν καὶ τὸ δυνατὸν παρὰ θεοῦ ἔχουσιν, ὅτι, τοιαῦτα ὄντα, περιγέγονε τῆς οἰκουμένης. Σκόπει δὲ αὐτοῦ τὸ ἄτυφον! Οὐκ εἶπεν, ὅτι ἡμεῖς ἐσμὲν οἱ δυνατοί· ἀλλὰ, *τὰ ὅπλα ἡμῶν* διὰ τοῦ θεοῦ· καὶ γὰρ κἀκείνοις τὴν δύναμιν οὐχ ἡμεῖς, ἀλλ' ὁ θεὸς ἔδωκέ, φησιν. Ἔστι δὲ δυνατὰ τὰ ὅπλα ἡμῶν, *πρὸς καθαίρεσιν ὀχυρωμάτων.*] Καλῶς δὲ τὸ, *καθαίρεσιν*, τέθεικε, δεικνὺς, ὅτι οὐ προσάγομεν μηχανὰς, ἀλλ' εὐθὺς καθαιροῦμεν ἅπαν ἐναντίον· δηλοῖ δὲ τοῦτο τὸ εὔκολον τῆς νίκης, καὶ τὸ δυνατὸν τῶν ὅπλων. Ἵνα δὲ μὴ, ἀκούσαντες ὀχυρώματα, σωματικόν τι νοήσωσι, φησι· *Λογισμοὺς καθαιροῦντες.*] Οἷον, τοὺς τῶν Ἑλλήνων συλλογισμοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὰ σοφίσματα, τὴν πλάνην αὐτῶν καὶ τὸν τύφον, καθαιροῦμεν διὰ τούτων τῶν ὅπλων· ἢ, ὅτι αὐτοὺς τοὺς λογισμοὺς αὐτῶν καὶ τὰς ψυχὰς καταβάλλομεν ἐξ ἧς κεκράτηνται πλάνης, καὶ εἰς τὴν ἀλήθειαν ἄγομεν. *Καὶ πᾶν ὕψωμα, ἐπαιρόμενον.*] Ἐπιμένει τῇ τροπῇ, ἵνα πλείονα ποιήσῃ τὴν ἔμφασιν. Φησὶν οὖν, ὅτι τὰ ὅπλα τὰ ἡμέτερα, κἂν ὀχύρωμα εἴπῃς, κἂν ὕψωμα, τουτέστι, πύργωμα ἢ φρούριον, κἂν ὁτιοῦν ἐπαιρόμενον καὶ ἀνθιστάμενον τῇ γνώσει τοῦ θεοῦ, τῇ διὰ τοῦ κηρύγματος, πάντα καθαιρεῖ. *Καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.*] Καὶ οὕτως ἅπαν νόημα καὶ πᾶσαν διάνοιαν ἀνθρωπίνην ὑποτάσσομεν τῷ βασιλεῖ καὶ ἀρχιστρατήγῳ Χριστῷ, ὡς μηδὲ ἀναπαλαῖσαι τοῦ λοιποῦ, μηδὲ ἀναμαχήσασθαι ἰσχύσαι τινὰ τῶν ἡττηθέντων· τοῦτο γὰρ δηλοῖ τὸ, *αἰχμαλωτίζοντες*, οἷον αἰχμαλώτους ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος λαμβάνοντες, ἀπὸ δουλείας εἰς ἐλευθερίαν ἄγομεν.

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν,
7 ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. Τὰ κατὰ πρόσωπον βλέπετε; Εἴτις πέποιθεν ἑαυτῷ, Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι, καθὼς αὐτὸς
8 Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ. Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι·

Ἐνταῦθα καὶ τούτους ἐφόβησεν. Ὑμᾶς γὰρ περιμένομέν, φησιν, ἵνα, ὅταν διὰ τῆς παραινέσεως καὶ διδαχῆς διορθώσωμεν ὑμᾶς, καὶ ἀποστήσωμεν ἐκείνων, τότε ἐκείνοις μόνοις τοῖς ἀπιστοῦσι τὴν πληγὴν ἐπενέγκωμεν. Ἕτοιμοι οὖν ὄντες ἐν τούτῳ, ὑφ' ὑμῶν, ἀναμιξ ὄντων, κωλυόμεθα· καὶ γὰρ δέος ἐστὶ, φησι, μὴ καὶ ὑμῶν ἅψηται ἡ πληγὴ, διὰ τὸ ἀναμεμίχθαι. Ταῦτα δὲ λέγων, τοὺς ψευδαποστόλους αἰνίττεται, ὅπως διορθώσωνται. *Ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.*] Ὑπακούετε μὲν καὶ νῦν, φησὶν, ἀλλ' οὐ τελείως· διό φησιν, *Ὅταν πληρωθῇ ὑμῶν ἡ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπακοή. *Τὰ κατὰ πρόσωπον βλέπετε;*] Φοβήσας τοὺς ψευδαποστόλους, καὶ αὐτοῖς λοιπὸν ἐπιτιμᾷ· καὶ ἐπιπληκτικώτερον αὐτοῖς διαλεγόμενος, *τὰ κατὰ πρόσωπόν*, φησι, *βλέπετε*; τουτέστιν, ἀπὸ τῶν φαινομένων κρίνετε οἷον, εἴ τις πλουτεῖ, εἴ τις ἐπαίρεται, εἴ τις μεγαλαυχεῖ, εἴ τις ἀρετῆς προσωπεῖον περίκειται.—Κατ' ἐρώτησιν ἀναγνωστέον. Δοκιμάζειν, φησίν, ἕκαστον ἡμῶν βούλεσθε, καὶ τὰ καθ' ἡμᾶς ἐξετάζειν; Οὐκοῦν σὺν ἀκριβείᾳ τοῦτο ποιήσατε (Θεοδωρήτου). —Κατὰ ἐπιτιμητικὴν ὑπόκρισιν τοῦτο ἀναγνωστέον· ἀντὶ τοῦ· Οὐκ ἐκ τῶν ἔργων τῆς ἀληθείας, ἐκ δὲ τῶν ἐπιπολῆς ἁπλῶς φαινομένων τὴν ἐξέτασιν λαμβάνετε; (Γενναδίου).—*Εἴ τις πέποιθεν ἑαυτῷ, Χριστοῦ εἶναι.*] Καὶ γὰρ καὶ οἱ ψευδαπόστολοι, ὡς Χριστοῦ ὄντες ἐμεγαλαύχουν. *Τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ.*] Ἐὰν ὅλως, φησὶ, μετέχῃ τῆς παρὰ Χριστοῦ χάριτος, ἀφ' ἑαυτοῦ τοῦτο λογιζέσθω, καὶ μὴ περιμενέτω παρ' ἡμῶν διὰ τῆς ἐπιτιμήσεως μαθεῖν (1). *Οὕτω καὶ ἡμεῖς Χριστοῦ.*] Τέως, φησὶν, ἐν τούτῳ ἡμῖν κοινωνοῦσι, καὶ οὐδὲν πλέον ἔχουσιν ἡμῶν· οὐ γὰρ αὐτοὶ μὲν Χριστοῦ, ἡμεῖς δὲ ἑτέρου τινός. Τοῦτο δὲ, κατά τινα συγκατάβασιν εἶπεν· ἐπεὶ προϊὼν δείκνυσιν, ὅτι οὐχ ὥσπερ ἐκεῖνοι Χριστοῦ, οὕτω καὶ αὐτὸς, ἀλλ' ἄπειρον τὸ μέσον. Ὅθεν φησίν· *Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι.*] Ὡς εἰ ἔλεγεν· Ἀρκεῖ τέως τὸ εἰπεῖν· Οὕτω καὶ ἡμεῖς· ἐὰν γάρ καὶ πλέον τι εἴπω τούτου, οὐκ ἂν αἰσχυνθῶ· ἀληθῆ γὰρ ἐρῶ. Καὶ οὐκ εἶπεν, *ἐὰν καυχῶμαι*, ἀλλ', *ἐὰν καυχήσωμαι*, τουτέστιν, ἐὰν βουληθῶ καυχήσασθαι *περὶ τῆς ἐξουσίας, ἧς δέδωκέ μοι ὁ Κύριος*· πάλιν τὸ πᾶν αὐτῷ ἀνατιθείς. *Περὶ τῆς ἐξουσίας ἡμῶν.*] Τῆς πληκτικῆς καὶ τιμωρητικῆς τῶν ἀντιδιατιθεμένων δυνάμεως. Εἶτα, κολάζων τὸ φορτικὸν τοῦ λόγου, φησὶν· *Εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς κα-*

(1) «Τὸ, ἀφ' ἑαυτοῦ, εἶπεν, ἀντὶ τοῦ, Μὴ ἀναμενέτω τὴν ἡμετέραν κατ' αὐτοῦ ἐπιτίμησιν, ἀλλ' ἐννοείτω, ὅτι κατ' αὐτὸ τοῦτο τὸ εἶναι Χριστοῦ, οὐδὲν πλέον ἔχει ἡμῶν.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαίρεσιν ὑμῶν.] Ὡς εἰ ἔλεγε· Τὴν δύναμιν ἐλάβομεν ἐπὶ τῷ οἰκοδομεῖν ὑμᾶς πρὸς τὴν πίσιν, οὐ μὴν πρὸς τὸ τιμωρεῖσθαί τινα. Πῶς οὖν, εἴποι τις, νῦν αὐτοῖς ἀπειλεῖς διὰ τὴν παρὰ Χριστοῦ σοι δοθεῖσαν ἐξουσίαν, καὶ ἄνω ἔφασκες, *Ἐν ἑτοίμῳ ἔχοντες, ἐκδικῆσαι πᾶσαν παρακοήν*, εἰ οὐκ ἐπὶ τιμωρίᾳ, ἀλλ' ἐπ' οἰκοδομῇ τὴν ἐξουσίαν εἴληφας; Ὅτι αὐτὸ τοῦτό, φησι, μάλιστα ἐστὶν οἰκοδομὴ ὑμῶν, τὸ τὰ κωλύματα ἀναιρεῖν καὶ τὰ σκάνδαλα, οἷον τοὺς ψευδαποστόλους καταργεῖν. Εἰς τοῦτο μὲν ἐλάβομεν, ἵν' οἰκοδομῶμεν· ἐὰν δέ τις ἀνίατα νοσῇ, καὶ τῇ ἑτέρᾳ χρησόμεθα ἐνεργείᾳ, καθαιροῦντες αὐτὸν καὶ καταβάλλοντες· ὡς εἶναι ἐν πρωτοτύπῳ μὲν, τὴν οἰκοδομὴν, ἐν παρεπομένῳ δὲ, τὴν καθαίρεσιν. *Οὐκ αἰσχυνθήσομαι.*] Οὐ δειχθήσομαι ψεύστης ἢ κομπαστής.

9 Ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπι-
10 στολῶν· (ὅτι αἱ μὲν ἐπιστολαί, φησι, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ
11 ὁ λόγος ἐξουθενημένος·) τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ.

Διὰ τοῦτό, φησιν, οὕτω μετρίως εἶπον τὸ, *οὐκ αἰσχυνθήσομαι*, καὶ οὐδὲν μέγα εἶπον, *ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν*, οἷα δὴ λέγουσιν οἱ διαβάλλοντές με. Εἶτα τοῖς λόγοις τῶν διαβαλλόντων αὐτὸν κέχρηται. *Ὅτι αἱ μὲν ἐπιστολαὶ βαρεῖαι*, καὶ τὰ ἑξῆς.] Ἔλεγον γὰρ οἱ διαβάλλοντες αὐτὸν, ὅτι κομπάζει διὰ τῶν ἐπιστολῶν, καὶ φοβερὰ ἐπιςέλλει· παραγενόμενος δὲ, εὐκαταφρόνητός τις ἐςὶ, καὶ ἐλέγχεται μὴ ὢν τοιοῦτος, οἷός ἐστι γράφων. *Τοῦτο λογιζέσθω ὁ τοιοῦτος.*] Οἱ ταῦτα λέγοντές, φησι, τοῦτο ἴστωσαν, ὅτι καὶ παρόντες καὶ ἀπόντες ὅμοιοί ἐσμεν· καὶ οἷοί ἐσμεν ἀπόντες τῷ λόγῳ καὶ ταῖς ἐπιστολαῖς, *τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ*· τουτέςιν, Οὐ μόνον ἀπειλοῦμεν βαρέα ἀπόντες, ἀλλ' ἰσχύομεν καὶ παραγινόμενοι εἰς ἔργον τὰ ἀπειλούμενα ἐξενεγκεῖν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες ἑαυτοὺς
13 ἑαυτοῖς, οὐ συνιοῦσιν. Ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν.

Ἐνταῦθα ἀλαζόνας ἐκείνους παρίστησι, καὶ κωμῳδεῖ αὐτοὺς, κατ' εἰρωνείαν προάγων τὸν λόγον, καί φησιν· *Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι*, τουτέστι, συναριθμῆσαι, ἢ *συγκρῖναι*, τουτέστιν, ἀντιπαραθεῖναι, ἑαυτούς τισι τούτων τῶν ἑαυτοὺς παρατιθεμένων διὰ τῆς κομπώδους ψευδολογίας. *Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς.*] Ἐκείνοις μὲν οὖν οὐ τολμῶμέν, φησιν, ἑαυτοὺς συγκρῖναι, μεγάλοις οὖσι καὶ ὑπερβαίνουσιν ἡμᾶς, ἀλλ' ἡμεῖς καθ' ἑαυτοὺς γινόμενοι, ἑαυτοὺς ἐν ἑαυτοῖς μετροῦμεν· καὶ πρὸς τὰ μέτρα ἡμῶν καὶ λαλοῦμεν, καὶ ἐπιστέλλομεν, καὶ διαπραττόμεθα. *Καὶ συγκρίνοντες ἑαυτούς.*] Καὶ ἡμεῖς μέν, φησιν, ἑαυτοὺς μετροῦμεν· ἐκεῖνοι δὲ, *ἑαυτοὺς ἑαυτοῖς συγκρίνοντες*· οὐ γὰρ ἀξιοῦσι πρός τινα τῶν ἄλλων ἀνθρώπων συγκριθῆναι, ἀλλ' αὐτοὶ πρὸς ἑαυτοὺς συγκρίνονται, καὶ ἀμιλλῶνται πρὸς ἀλλήλους· *οὐ συνιοῦσι*, τουτέστιν, οὐ νοοῦσιν, οὐδὲ αἰσθάνονται, πῶς εἰσὶ καταγέλαστοι τοῖς ὁρῶσι, τοιαῦτα ἀλαζονευόμενοι· οὐ γὰρ λελήθασί τινα. Ἢ, *συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς*, μεταξὺ ἀλλήλων ἑαυτοὺς ἐπαίροντες. — Ὁρᾷς, πῶς αὐτοὺς ἐκωμῴδησεν; Οὐ τολμῶμεν, φησὶν, οὐδὲ συναριθμῆσαι ἑαυτοὺς τοῖς ἑαυτοὺς συνιςάνουσιν, οὔτε ἐν συγκρίσει τῇ πρὸς αὐτοὺς, μικρόν τι ἑαυτοὺς προκρῖναι αὐτῶν. *Τόλμαν* δὲ καλεῖ καὶ τὸ γενέσθαι ὡς ἕνα ἐξ αὐτῶν, καὶ τὸ ἔχειν ὅλως ὁμοιότητα πρὸς αὐτοὺς, τοῦ πράγματος τὸ ἄτοπον καὶ τὸ ἐβδελυγμένον αὐτῶν δεικνὺς τῷ θεῷ. Διὸ οὐ τολμῶμεν, φησὶν· ὅτι μεγάλη τιμωρία τοῖς τοιούτοις ἀπόκειται. Τοῦτο δὲ λέγει, ἅμα καὶ τοὺς Κορινθίους φεύγειν παραινῶν τὸ τοιοῦτον νόσημα, καὶ ἀπὸ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιούτων διασχίζων καὶ διϊστῶν αὐτούς. Εἰ δὲ ἐτολμῶμεν ἑαυτοὺς συνιστάνειν, ὥσπερ κἀκεῖνοι, οὐκ ἂν οἷοι ἦμεν τῷ λόγῳ δι ἐπιστολῶν ἀπόντες, τοιοῦτοι ἐτυγχάνομεν καὶ παρόντες, ἀλλὰ μετεβαλλόμεθα ἂν ὧδε κἀκεῖσε, καὶ ταῖς ἐπιστολαῖς ἄλλοι καὶ ἄλλοι γινόμενοι, καὶ αὐτοὶ παρόντες καὶ ταῖς χρείαις καὶ τοῖς καιροῖς συναλλοιούμενοι· καὶ νῦν μὲν κόλακες, νῦν δὲ φοβεροί· καὶ τῶν μὲν δυναστευόντων δοῦλοι, καὶ τοῦ θελήματος ὑπηρέται, τῶν δὲ ταπεινῶν δεσπόται καὶ νομοθέται. Ὁ γὰρ συνιστῶν ἑαυτόν, πάντα εἰς τὸ οἰκεῖον κέρδος ἀφορῶν ποιεῖ, ἀεὶ πρὸς τὸ ἑαυτοῦ συμφέρον συναλλοιούμενος καὶ συμμεταμορφούμενος. Ἀλλ' οὔτε ὡς εἷς ἐξ αὐτῶν ἐσμὲν, οὔτε πρὸς αὐτοὺς ἔχομεν κοινωνίαν ἢ ὁμοιότητά τινα· οὐ γὰρ τολμῶμεν τοιοῦτοι γενέσθαι· πῶς οὖν ἄλλοι ἐσμὲν ταῖς ἐπιστολαῖς ἀπόντες, ἄλλοι δὲ παρόντες; Οὐ γάρ ἐστιν ἡμέτερον τοῦτο, ἀλλὰ τῶν ἑαυτοὺς συνιστανόντων· ἡμεῖς δ' ἐν οὐδενὶ ἑαυτοὺς συνιστῶμεν, *ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦμεν*, οἷον, ἀκριβολογοῦμεν, ἐξετάζομεν, αὐτὸ τὸ συνειδὸς ἐξεταστὴν ποιοῦντες, μή τι πέπρακται ὧν οὐ δεῖ, μή τι διανενόηται ἀπρεπές· *καὶ ἑαυτοὺς ἑαυτοῖς συγκρίνομεν*, μή τι ἄρα ἐναντίον ὧν κηρύσσομεν, ὧν ἐπηγγειλάμεθα, πράττωμεν, μή τι ἀσύμφωνον τῷ προτέρῳ βίῳ. Καὶ συγκρίνομεν δὲ *ἑαυτοῖς*, οὐχὶ *τοῖς συνιοῦσιν ἡμῖν*· οὐχὶ θέατρόν, φησι, τοὺς ἔξωθεν συνιόντας ποιούμενοι τῆς ἰδίας συγκρίσεως καὶ ἐξετάσεως, ἀλλὰ αὐτοὶ ἑαυτοὺς κριτὰς καὶ δικαστὰς προκαθίζοντες, ὅπερ ἐστὶν ἀδεκάστου κρίσεως. Οἱ δὲ ψευδαπόστολοι, οἱ ἑαυτοὺς συνιστάνοντες, ἅπαν τοὐναντίον ποιοῦσι· πρὸς ἐπίδειξιν, πρὸς ἀρέσκειαν τοῦ πλήθους, πάντα ποιοῦσι· διὸ οὐδὲ μετροῦσιν αὐτοὶ ἑαυτούς, οὐδὲ ἐξετάζουσιν ἑαυτούς· ἀλλὰ ἀρκεῖ αὐτοῖς εἰς πᾶσαν εὐδαιμονίαν, τὸ τῷ πλήθει τῶν συνιόντων αὐτοῖς ἀρέσκειν. Διὰ τοῦτο ἡμεῖς, οὐδὲ εἰς τὰ ἄμετρα, ὥσπερ ἐκεῖνοι, οὔτε ἐκαυχησάμεθα, οὔτε καυχησόμεθα· ἀλλ' εἴ τι λέγομεν, καὶ πράττομεν, καὶ ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στέλλομεν, κατὰ τὸ μέτρον τοῦ κανόνος ἡμῶν καὶ λέγομεν, καὶ πράττομεν, καὶ ἐπιστέλλομεν. Αὐτὸς δὲ οὐ λέγει, *μέτρον ἡμῶν*, ἀλλὰ, *μέτρον*, εἰπὼν, ἐπάγει, *οὗ μέτρου ἐμέρισεν ἡμῖν ὁ θεὸς*, δεικνὺς, ὅτι καὶ αὐτὸ τὸ μέτρον αὐτοῦ ἐκ τοῦ θεοῦ ἐστίν. Ἢ καὶ οὕτω· Μὴ νομίσῃς, ὅτι *μέτρον* εἰπὼν *κανόνος*, αὐτὸς ἐμαυτῷ τὸ μέτρον ὥρισα· ἀλλ' ἐκεῖνο λέγω τὸ μέτρον, *οὗ μέτρου*, τουτέστι, δι' οὗ, *ἐμέρισεν ἡμῖν ὁ θεός*. Τί δέ ἐστιν ἐκεῖνο; Καὶ ἄλλα μὲν πολλά· τέως δὲ τὸ διὰ τοῦ κηρύγματος ἐλθεῖν μέχρις ὑμῶν, καὶ καταλαβεῖν ὑμᾶς· τοῦτο τὸ μέτρον ἐκ τοῦ θεοῦ ἔχομεν, δι' οὗ ἐμέρισε καὶ ἔταξεν ἡμᾶς, μέχρις ὑμῶν φθάσαι, καὶ κηρύξαι τὸ εὐαγγέλιον. Ἢ δύναται ὅλον τὸ χωρίον ἀπὸ τοῦ, *Οὐ γὰρ τολμῶμεν*, μέχρι τοῦ, *Οὐ συνιοῦσι*, κατ' ἐκείνων εἰρῆσθαι τῶν ἀλαζόνων· καὶ τὸ, *ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς*, κατ' αἰτίαν εἰρῆσθαι τῶν ἑαυτοὺς συνιστανόντων· οἷον· Αὐτοὶ γὰρ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες καὶ συγκρίνοντες, οὐ συναισθάνονται ἀλαζονευόμενοι καὶ ἀπατῶντες ἑαυτούς· ὥσπερ γὰρ ὁ παρ' ἑαυτῷ φρόνιμος, ἰσχυρῶς ἄφρων ἐστίν (α)· οὕτω καὶ ὁ παρ' ἑαυτῷ μέγας καὶ ὑψηλὸς, καταγέλαστος καὶ ἔσχατος πάντων. (Φωτίου). — *Ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα.*] Ἡμεῖς δέ, φησιν, οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα, καθάπερ οὗτοι. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς ψευδομένους λέγειν· Ὅτι πρὸς τὰ πέρατα τῆς γῆς ἀφικόμεθα διδάσκοντες, καὶ τὴν οἰκουμένην ἐπεστρέψαμεν. Ταῦτα οὖν *ἄμετρα* καλεῖ. Ἢ *ἄμετρα* λέγει τὰ ὑπερβαίνοντα τὴν δύναμιν αὐτῶν καὶ τὸ μέτρον. *Ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος.*] Ὥσπερ γεωργοῖς ἀμπελῶνα διαιρῶν ὁ θεὸς, οὕτω καὶ ἡμῖν, φησὶ, τοῖς ἀποστόλοις τὴν οἰκουμένην ἀφώρισε. *Κατὰ* οὖν *τὸ μέτρον τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς*, καυχησόμεθα, καὶ λαλήσομεν. Ποῖον δέ ἐστι τὸ μέτρον; Τὸ ἄχρι καὶ ὑμῶν, φησὶν, ἐφικέσθαι. Ἐπεὶ οὖν ἄχρι καὶ ὑμῶν ἐφθάσαμεν· καὶ τοῦτο

(α) Παροιμ. ΙΖ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ δεδομένον ἡμῖν παρὰ θεοῦ μέτρον· ἄχρι καὶ ὑμῶν καυχώμεθα· ἀπὸ κοινοῦ γὰρ τὸ καυχησόμεθα, ἢ καυχώμεθα.

14 Οὐ γὰρ, ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς· (ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν
15 ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ·) οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν,
16 εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν
17 ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι. Ὁ
18 δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω (α). Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

Εἰκὸς ἦν τοὺς ψευδαποστόλους, καὶ ἄνευ τοῦ κηρύσσειν παραγενομένους ὁπουδήποτε, ἐκ τῆς ψιλῆς ἐπιδημίας κομπάζειν, καὶ τὸ πᾶν ἑαυτοῖς λογίζεσθαι. Φησὶν οὖν ὁ ἀπόστολος, ὅτι *οὐχ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς*, τουτέστι, μὴ ἰσχύοντες καὶ ἄχρις ὑμῶν ἐφικέσθαι, *ὑπερεκτείνομεν ἑαυτοὺς*, λέγοντες, ἐφθακέναι εἰς ὑμᾶς, εἰκῇ τῷ λόγῳ κομπάζοντες· τῷ ὄντι γὰρ, *ἄχρι καὶ ὑμῶν ἐφθάσαμεν*· ἐφθάσαμεν δὲ οὐχ ἁπλῶς, ἀλλ' *ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ*· τουτέστιν, οὐχ ἁπλῶς παραγενόμενοι, ὡς ἐκεῖνοι, ἀλλὰ καταγγέλλοντες ὑμῖν τὸ εὐαγγέλιον. *Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι.*] Τὰ τὸ μέτρον ἡμῶν καὶ τὴν δύναμιν ὑπερβαίνοντα, καὶ *ἐν ἀλλοτρίοις κόποις.*] Εἰκὸς γὰρ ἦν τοὺς ψευδαποστόλους, ἄλλων που κηρυξάντων, αὐτοὺς ἐπιδημῆσαι ψιλῶς, καὶ ἑαυτοῖς ἐπιγράφειν τὸ κήρυγμα· ἡμεῖς δέ, φησιν, οὐκ ἐπ' ἀλλοτρίοις κόποις καυχώμεθα· ἀλλ' ἕως ὑμῶν φθάσαντες, μέχρις ὑμῶν παῤῥησιαζόμεθα. *Ἐλπίδα δὲ ἔχοντες.*] Οὐδὲν ἀποφαίνεται· ἀλλ' ἐλπίζομέν, φησιν, εἰς τὸν θεὸν δηλαδή· *αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι.*] Ἐλπίζομέν,

(α) Α' Βασιλ. Β', 10. Ἱερ. Θ', 23. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησιν, ὑμῶν ἐπιδιδόντων πρὸς τὴν πίστιν, ἐν ὑμῖν μεγάλοι δειχθῆναι· πρὸς ὃ γὰρ ἡ πίστις ἐπιδίδωσι τῶν μαθητῶν, οἱ διδάσκαλοι εὐδοκιμοῦσι. *Κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν.*] Τουτέστιν, ἐν ὑμῖν μεγαλυνθῆναι πλέον ἢ νῦν· τοῦτο γὰρ τὸ, *εἰς περισσείαν κατὰ τὸν κανόνα ἡμῶν*· τουτέστι, κατὰ τὸ μέτρον ἡμων, ὃ ἐπιστεύθημεν παρὰ θεοῦ. Καλῶς δὲ, *κανόνα*, καὶ, *μέτρον*, καλεῖ, ὡς ἐπὶ κτῆσιν καὶ κληρονομίαν τῆς οἰκουμένης εἰσελθών (1). *Εἰς τὰ ὑπερέκεινα ὑμῶν.*] Καὶ οὕτω μεγαλυνθῆναι ἐν ὑμῖν, ὥστε καὶ εἰς τὰ ὑπερέκεινα εὐαγγελίσασθαι καὶ διδάξαι· ὃ δὴ καὶ ἐποίησεν. *Οὐκ ἐν ἀλλοτρίῳ κανόνι.*] Καὶ οὐχ ὥσπερ, φησιν, οἱ ψευδαπόστολοι, ἔχομεν καυχήσασθαι *ἐν ἀλλοτρίῳ κανόνι* καὶ μέρει, καὶ ἔνθα ἄλλος ἐκοπίασε· τοῦτο γὰρ τὸ, *εἰς τὰ ἕτοιμα*· ἔνθα δηλαδὴ προκαταβέβληται σπέρμα διδασκαλίας. *Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.*] Ἐκεῖνοι μὲν οὖν, φησὶν, εἰκῇ καυχῶνται· ἡμεῖς δὲ, καὶ ταῦτα κατωρθωκότες καὶ ἄχρις ὑμῶν, καὶ προσέτι κατορθῶσαι μέλλοντες, οὐ καυχώμεθα ἐν ἑαυτοῖς, ἀλλ' ἐν τῷ θεῷ· ὁ γὰρ καυχώμενος, φησιν, ὀφείλει ἐν Κυρίῳ καυχᾶσθαι· καὶ γὰρ καὶ αὐτὸ, ὃ ἐφθάσαμεν, μέτρον, ἐκ θεοῦ ἔχομεν. *Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος.*] Τίνες δὲ οἱ ἑαυτοὺς συνιστῶντες; Οἱ ψευδαπόστολοι δηλονότι. Τίνας δὲ ὁ Κύριος συνίστησι; Τοὺς ἀμφὶ Παῦλον δηλονότι. *Κατὰ τὸ μέτρον γάρ*, φησι, *τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ θεός*· ὁ οὖν μερίσας θεὸς, αὐτὸς καὶ συνίστησιν. [Οὐκ εἶπε δέ· Ἡμεῖς ἐσμὲν δόκιμοι· ἀλλ', *ὃν ὁ Κύριος συνίστησι*· τουτέστιν, ὃν ἡ ἀλήθεια τοῦ ἔργου καὶ τοῦ κόπου μετὰ τῆς χάριτος τοῦ θεοῦ ἀποδεικνύει δόκιμον (2).]

ΚΕΦ XI, 1 Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφρο-
2 σύνῃ! (3) Ἀλλὰ καὶ ἀνέχεσθέ μου. Ζηλῶ γὰρ

(1) «Κανόνα δὲ πανταχοῦ καλεῖ καὶ μέτρον, ὡς οἰκοδόμος τῆς οἰκουμένης καὶ ἀρχιτέκτων· καὶ ἵνα δείξῃ, ὅτι τοῦ θεοῦ τὸ πᾶν, τοῦ τὸν κανόνα δόντος καὶ τὸ μέτρον.» Θεοφύλακτος.

(2) Ἐκ τοῦ Θεοφυλάκτου. (3) Κοινῶς γράφεται τῆς ἀφροσύνης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμᾶς θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ,
3 παρθένον ἁγνὴν παραστῆσαι, τῷ Χριστῷ· φοβοῦμαι δὲ, μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ (α), οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν.

Μέλλων ἐμβαίνειν εἰς τοὺς οἰκείους ἐπαίνους, πολλῇ κέχρηται τῇ προδιορθώσει, τὸ φορτικὸν τοῦ δοκεῖν ἑαυτὸν ἐπαινεῖν ἀποφεύγων. Εἰς τοῦτο δὲ αὐτὸν ἤγαγεν ἡ τῆς ὑποθέσεως ἀνάγκη, καὶ τὸ δεδιέναι, μὴ εἰς βλάβην τῶν μαθητῶν γένηται τὸ αὐτὸν μὲν ἐξευτελίζεσθαι, τοὺς δὲ ψευδαποστόλους δοκεῖν εἶναί τι. Ὅτι γὰρ ὑπὸ πολλῆς ἀνάγκης, καὶ διὰ τὴν ὠφέλειαν τῶν μαθητῶν εἰς τοῦτο ἦλθε, δῆλον καὶ τοῖς σφόδρα ἀνοήτοις. Ὁ γὰρ τῶν προτέρων ἁμαρτημάτων μεμνημένος, ὧν διὰ τοῦ βαπτίσματος ἠλευθέρωται, καὶ ἀνάξιον ἑαυτὸν ἀποκαλῶν τῆς τοῦ ἀποστόλου προσηγορίας (β), πῶς ἂν χωρὶς ἀνάγκης ἐμεγαλήγορει περὶ ἑαυτοῦ; Φησὶν οὖν· Εἴθε *ἀνείχεσθέ μου μικρόν*, ἀφροσύνης πρᾶγμα καὶ ἔργον ποιοῦντος! *Ἀλλὰ καὶ ἀνέχεσθέ μου.*] Οἶδα γάρ, φησιν, ὅτι ἀγαπᾶτέ με, καὶ πάντα μου ἀνέχεσθε. *Ζηλῶ γὰρ ὑμᾶς.*] Οὐκ εἶπε, *φιλῶ*, ἀλλ', ὃ μεῖζον ἦν, *ζηλῶ ὑμᾶς*, φησι, τουτέστι, περικαῶς φιλῶ· ἡ γὰρ ζηλοτυπία ἐπὶ τῶν διακαῶς ἐρώντων τίκτεται. Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι διά τι ἀνθρώπινον, οἷον χρήματα, ἢ δόξαν, οὕτω φιλεῖ αὐτοὺς, ἐπάγει, *θεοῦ ζήλῳ*· καὶ γὰρ ὁ θεὸς *ζηλοῦν* λέγεται (γ), διὰ τὸ ἄγαν ἀγαπᾶν ἡμᾶς, οὐχ ἵνα αὐτός τι κερδάνῃ, ἀλλ' ἵνα ἡμᾶς σώσῃ, πρὸς ἑαυτὸν συνάγων, καὶ ἑαυτῷ συγκολλῶν. Τοιοῦτος οὖν, φησι, καὶ ὁ ἐμὸς πρὸς ὑμᾶς ζῆλος, οὐχ ἵνα ἐγὼ κερδάνω, ἀλλ' ἵνα ὑμᾶς ὠφελήσω. *Ἡρμοσάμην γὰρ ὑμᾶς.*] Πρὸς τὴν ἐκκλησίαν ἅπας ὁ λόγος αὐτῷ· αὕτη γὰρ μετὰ τὸν γάμον παρθένος ἐστί· μνηστείας δὲ ὁ παρὼν καιρός· παστάδων δὲ ὁ μέλλων, καθὸ λέ-

(α) Γενεσ. Γ', 13. (β) Α' Κορ. ΙΕ', 9.
(γ) Ἐξοδ. Κ', 5. Ἡσ. ΑΖ', 32. Ζαχ. Α', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεται· Ἀνέστη ὁ νυμφίος (1). Ποῖα δὲ τὰ ἔδνα; Ἡ βασιλεία τῶν οὐρανῶν. Ταύτης τῆς μνηστείας καὶ ὁ Δαυὶδ προμνήστωρ ἦν, λέγων· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου (α)· καὶ αὐτὸς ὁ Παῦλος νυμφαγωγὸς ὢν, ἔλεγεν· Ὑπὲρ Χριστοῦ πρεσβεύομεν (β), ἵνα τὴν νύμφην λάβῃ. Τούτων τύπος ἦν τὰ περὶ τὸν Ἀβραὰμ, ὃς δοῦλον ἔπεμψε, μνηστεύσασθαι τῷ υἱῷ παρθένον ἐθνικήν (γ). Καὶ ὁ Θεὸς ἔπεμψε τοὺς προφήτας πάλαι, καὶ τοὺς ἀποστόλους ὕστερον, μνηστεύσασθαι τῷ υἱῷ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν. *Παραστῆσαι τῷ Χριστῷ.*] Προεμνηστευσάμην, φησὶν, ὑμᾶς τῷ Χριστῷ. Οὐκοῦν δι' ἐκεῖνον ζηλῶ, οὐ δι' ἐμαυτόν (2). *Φοβοῦμαι δὲ, μήπως.*] Εἰ γὰρ καὶ ἡ ἀπώλεια ὑμετέρα, ἀλλ' ὁ φόβος ἐμός. Οὐκ ἀποφαίνεται δὲ, ὅτι διεφθάρητε, καίτοι διεφθαρμένοι ἦσαν, ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ποιήσῃ· ἀλλ' ἀμφιβόλως αὐτὸ τέθεικε, *Μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησε*· καὶ γὰρ κἀκεῖνος τὰ μείζονα ἐπαγγειλάμενος, τοὺς πρωτοπλάστους ἠπάτησε· καὶ οἱ ψευδαπόστολοι κομπάζοντες, καὶ μεγάλα τινὰ λέγοντες, τούτους ἐξαπατῶσιν ἐν τῇ πανουργίᾳ αὐτῶν. Ἀλλ' ὥσπερ τὸ εἶναι πανοῦργον τὸν ὄφιν, οὐκ ἔδωκε τῇ γυναικὶ

---

(1) Χρυσ. Τομ. ἑ. Σελ. 595. Ε. (α) Ψαλμ. ΜΔ', 11.
(β) Β' Κορ. Ε, 20. (γ) Γενεσ. ΚΔ'.

(2) « Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι, τῷ Χριστῷ.] Προεμνηστευσάμην ὑμᾶς, φησὶ, τῷ Χριστῷ· οὐκοῦν ὑπὲρ ἐκείνου ζηλῶ, οὐχ ὑπὲρ ἐμαυτοῦ· οὐ γὰρ ἐγὼ ἀνὴρ, ἀλλὰ νυμφαγωγός. Ὁρᾷ δὲ, πῶς οὐκ εἶπεν, ὅτι διδάσκαλος ὑμῶν εἰμι, καὶ διὰ τοῦτο ὀφειλετί μου ἀνέχεσθαι· ἀλλ' ἐκείνους μὲν, ἐν τάξει νύμφης, ἑαυτὸν δὲ, ἐν χώρᾳ προμνηστρίας τάττει, σεμνύνων αὐτούς. Ξένον δὲ τὸ ἐπὶ τῆς ἐκκλησίας συμβαίνον· ἐπὶ γὰρ τοῦ κόσμου μετὰ τὸν γάμον οὐκέτι παρθένοι μένουσιν· ἐνταῦθα δὲ, καὶ οἱ μὴ ὄντες παρθένοι πρὸ τούτου, μετὰ τὸν γάμον τοῦτον παρθένοι γίνονται. Οὕτω πᾶσα ἡ ἐκκλησία, παρθένος ἐστί· πρὸς γὰρ πάντας ταῦτα λέγει ὁ Παῦλος, καὶ τοὺς γεγαμηκότας, καὶ τὰς γεγαμημένας. Ποῖα δὲ ἔδνα φέρων ἡρμόσατο; Τὴν βασιλείαν τῶν οὐρανῶν. Τούτου τύπος ἦν τὰ ἐπὶ τοῦ Ἀβραὰμ, ὅτε τὸν οἰκέτην ἔπεμψε μνηστευσόμενον κόρην ἐθνικήν. Καὶ ἐνταῦθα γὰρ ὁ θεὸς ἔπεμψε τοὺς δούλους αὐτοῦ, τοὺς προφήτας, μνηστευσομένους τῷ παιδὶ αὐτοῦ Χριστῷ τὴν ἐκκλησίαν· ὡς τὸν Δαυὶδ, λέγοντα· « Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου (Ψαλμ. ΜΔ', 11.)· » καὶ τοὺς ἀποστόλους, ὡς τὸν Παῦλον, λέγοντα· Ὑπὲρ Χριστοῦ πρεσβεύομεν (Α' Κορ. Ε, 20.). Ὁ μὲν οὖν παρὼν καιρὸς, μνηστείας ἐστὶν· ὁ δὲ μέλλων, τῶν γάμων, ὅτε κραυγὴ γίνεται· Ἰδοὺ ὁ νυμφίος (Ματθ. ΚΕ, 6.). » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συγγνώμην, οὕτως οὐδὲ ἡ τῶν ψευδαποστόλων ἀγάπη δώσει ὑμῖν. Οὐκ εἶπε δὲ, ὅτι ὁ Ἀδὰμ ἠπατήθη, ἵνα δείξῃ γυναικῶδες τὸ ἀπατᾶσθαι. *Οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν.*] Οὐκ εἶπε· Μὴ ἀπατηθῆτε· ἀλλὰ, *Μὴ φθαρῇ τὰ νοήματα ὑμῶν*, ἐπιμένων τῇ τροπῇ· ἡ γὰρ φθορὰ ἐπὶ τῶν παρθένων λέγεται. Μήπως φθαρῇ ἀπὸ τῆς ἁφελείας ὑμῶν, ἣν ἔχετε εἰς τὸν Χριστόν· τουτέστι, Μὴ ἀπατηθῆτε ἀπὸ τῆς ἁφελείας ὑμῶν. Ἤ, *Οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν*· οἷον, Μὴ μετενεχθῇ ἀπὸ τῆς ἁπλότητος τοῦ Χριστοῦ εἰς τὴν δεινότητα τῶν ἔξωθεν· αὕτη γὰρ ἡ μεγίστη φθορά. Δείκνυσι δὲ, ὅτι ἁπλάστου καὶ ἀφελοῦς δεῖται ψυχῆς ἡ πίστις, πάντα πίστει δεχομένης, καὶ μηδὲν συλλογιζομένης.

4 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἀνείχεσθε.

Τέως δείκνυσι τοὺς ψευδαποστόλους, ἐπεισάκτους καὶ ξένους ὑπάρχειν. Ὅρα δὲ, ὅτι διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, αὐτοὺς τῆς πρὸς τοὺς ψευδαποστόλους προσοχῆς ἀποτρέπει, ὡς εἰ ἔλεγεν· Εἰ μὲν γὰρ ἄλλον Ἰησοῦν ὁ ψευδαπόστολος· (τοῦτον γὰρ *ἐρχόμενον* λέγει, οἷον, ἐπεισερχόμενον καὶ ἔξωθεν ἐπεισιόντα·) εἰ οὖν οὗτός, φησιν, ἄλλον Ἰησοῦν κηρύσσει, ὃν ἔδει κηρυχθῆναι παρ' ἡμῶν, καὶ οὐκ ἐκηρύξαμεν, ἢ ἄλλο πνεῦμα ἔδει λαβεῖν ὑμᾶς, καὶ παρ' ἡμῶν οὐκ ἐλάβετε, ἢ ἄλλο εὐαγγέλιον ἔδει δέξασθαι ὑμᾶς, καὶ παρ' ἡμῶν οὐκ ἐδέξασθε, εὐλόγως αὐτοῖς προσείχετε. Εἰ δὲ τοῦτο ἀδύνατον· (οὔτε γὰρ αὐτοὶ οἱ ψευδαπόστολοι θαρρήσουσι τοῦτο εἰπεῖν, ἀλλ' οὐδὲ ὑμεῖς αὐτοί·) πῶς οὐ λίαν ἄτοπον, ἡμῶν ἐκείνους προκρίνειν, τῶν μηδὲν ὑστερησάντων μηδὲ τῶν ὑπερλίαν ἀποστόλων; Σκόπει δὲ πῶς δείκνυσι, μηδὲν τελειότερον λέγειν ἐκείνους. *Ὃν οὐκ ἐκηρύξαμέν*, φησιν, *ὃ οὐκ ἐλάβετε*· καὶ πάλιν· *ὃ οὐκ ἐδέξασθε*· τῷ προσδιορισμῷ δεικνὺς, μηδὲν πλέον ἐκείνους διδάσκειν. Οὐδὲ γὰρ τοῖς πλείονα λα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῦσιν, ἀλλὰ τοῖς ἀληθῆ λέγουσι; δεῖ προσέχειν τὸν νοῦν.— *Καλῶς ἠνείχεσθε.*] Τί λέγεις, ὦ Παῦλε; Ὁ Γαλάταις γράφων· *Ἐάν τις εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω* (α)· τούτοις γράφεις· Ἐὰν ἄλλον Ἰησοῦν ἐκήρυττον ἐκεῖνοι, *καλῶς ἠνείχεσθε*; Καὶ μὴν διὰ τοῦτο οὐκ ἔδει ἀνέχεσθαι· εἰ δὲ τὰ αὐτά σοι ἔλεγον, τότε ἀνέχεσθαι ἐχρῆν. Ἀλλ' ὅρα· (μέγας γὰρ ὁ κίνδυνος τῷ μὴ προσέχοντι· πάσαις γὰρ αἱρέσεσι δίδωσι πρόοδον·) Ἐκόμπαζον οἱ ψευδαπόστολοι, ὡς, ἀτελῶς τοῦ Παύλου διδάσκοντος, αὐτοὶ πλέον τι καὶ τελειότερον ἐκείνου λέγουσι· τῇ γὰρ ἔξω παιδείᾳ χρώμενοι, τοῖς ἀληθέσι δόγμασι φλυαρίας ἀνεμίγνυον· διὸ καὶ ἔφθειρον πολλούς. Τοῦτο οὖν φησι νῦν· Εἰ μέν τι τελειότερον ἔλεγον οὗτοι, καὶ ἕτερον ἐκήρυττον ἢ ὃν ἔδει κηρυχθῆναι Χριστόν, καὶ ἡμεῖς παρελίπομεν, *καλῶς ἠνείχεσθε*· διὰ τοῦτο γὰρ λέγει, *ὃν οὐκ ἐκηρύξαμεν*· εἰ δὲ τὰ αὐτά ἐστι τῆς πίστεως κεφάλαια, καὶ οὐδὲν πλέον λέγουσιν, ὅσον ἦκεν εἰς τὸ δόγμα, διὰ τί πλέον ἔχουσιν ἡμῶν ἐκεῖνοι; Ὅσῳ γὰρ ἂν φλυαρήσωσιν, οὐδὲν πλέον ὧν ἡμεῖς εἴποιεν, πλὴν τοῦ κόμπου τῶν λέξεων. Καὶ ὅρα· Οὐκ εἶπεν, ὅτι, εἰ ὁ ἐρχόμενος πλέον τι κηρύσσει· (καὶ γὰρ πλέον τι ἔλεγον μετὰ πλείονος αὐθεντίας καὶ πολλοῦ τοῦ κάλλους τῶν ῥημάτων·) ἀλλ' *ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν*· ὅπερ οὐ χρείαν ἔχει καλλιεπείας· *ἢ πνεῦμα ἕτερον λαμβάνετε*· τουτέστιν, εἰ πλουσιωτέρους ὑμᾶς ἐποίει ἐν τοῖς πνευματικοῖς χαρίσμασιν· ὅπερ οὐδὲ τοῦτο δεῖται λόγων κομψείας· *ἢ εὐαγγέλιον ἕτερον*· ὃ οὐδὲ τοῦτο λόγων δεῖται. Πανταχοῦ δὲ δηλοῖ, ὅτι οὐχ ἁπλῶς, εἴτι πλέον λέγουσι, προσέχειν δεῖ· ἀλλ' εἴτι λέγουσιν, ὃ λεχθῆναι ἔδει, καὶ παρ' ἡμῶν παρελείφθη. Ὅρα γάρ· *ἄλλον Ἰησοῦν*, φησίν, *ὃν οὐκ ἐκηρύξαμεν· πνεῦμα ἕτερον, ὃ οὐκ ἐλάβετε· εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε.* Ὥςε ἐπεὶ τὰ αὐτὰ λέγουσι, τί πρὸς αὐτοὺς κεχήνατε; Ἐπεὶ οὖν τὰ

(α) Γαλατ. Α', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὰ λέγουσιν, ὦ Παῦλε, τί αὐτοὺς κωλύεις; Ὅτι τῇ ὑποκρίσει χρώμενοι, ἕτερα εἰσάγουσι δόγματα.—Τὸ δὲ, *Καλῶς ἠνείχεσθε*, οὐκ ἐπαινοῦντός ἐστι τὴν τοιαύτην γνώμην, ἀλλ' ἐκ περιουσίας ἐλέγχοντος· *φθορὰν* γὰρ πρὸ μικροῦ τὸ ἀνέχεσθαι τούτων καὶ προσέχειν αὐτοῖς, ἀπεκάλεσε. Τί οὖν ἐστιν ὃ ἐλέγχει; Ἀπροφάσιστος ὑμῶν ἐστί, φησιν, ἡ ἀγάπη, ἣν τοῖς ψευδαποστόλοις δεικνύετε. Ὅταν γὰρ ἀμφότεροι, ἡμεῖς τε καὶ οἱ ψευδαπόστολοι, τὰ αὐτὰ δοκῶμεν λέγειν, διὰ τί ἡμῶν μὲν ἀφίστασθε, ἐκείνοις δὲ προστίθεσθε; Οὐ γὰρ ἔξετε πρόφασιν τῆς ἀγάπης τὴν καινότητα, καὶ τὸ ἐξηλλαγμένον τῶν δογμάτων εἰς τελειότητα, καὶ τοῦ κηρύγματος· εἴωθε γὰρ ἡ καινότης ὑπογαργαλίζειν καὶ ἐφέλκεσθαι τοὺς ἁπλουστέρους· ὑμῖν δὲ, οὐδὲ αὕτη ἡ πρόφασις ὑπελείφθη (Φωτίου).

5 Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν
6 ἀποστόλων. Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ
τῇ γνώσει· ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν
7 εἰς ὑμᾶς. Ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν,
ἵνα ὑμεῖς ὑψωθῆτε; ὅτι δωρεὰν τὸ τοῦ θεοῦ εὐαγ-
8 γέλιον εὐηγγελισάμην ὑμῖν; Ἄλλας ἐκκλησίας ἐσύ-
λησα, λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμῶν διακονίαν·
καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρ-
κησα οὐδενός·

Λοιπὸν τοῖς περὶ Πέτρον συγκρίνει ἑαυτὸν, τοῦτο δεῖξαι θέλων, ὅτι, εἰ ἐμοῦ τι πλέον ἴσασι, καὶ ἐκείνων· εἰς τὴν εἰς ἄτοπον ἀπαγωγὴν φέρων τὸν λόγον. Ὅρα δὲ ταπεινοφροσύνην! *Λογίζομαι*, φησιν, οἷον, ἡγοῦμαι, νομίζω, καὶ οὐδὲν ἀποφαντικόν. Οὐχ ἁπλῶς δὲ λέγει, *τῶν ἀποστόλων*, ἀλλὰ, *τῶν ὑπερλίαν*, Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην αἰνιττόμενος. Τοῦτο δέ φησιν, ἐπειδὴ τούτου νῦν χρεία ἦν· ἀλλαχοῦ δέ φησιν, *Ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος* (α). *Εἰ καὶ ἰδιώτης τῷ λόγῳ.*] Ἐπειδὴ ἐν τούτῳ ἐνεκαλλωπίζοντο οἱ ψευδαπόστολοι,

(α) Α' Κορ. ΙΕ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ μὴ εἶναι ἰδιῶται, δείκνυσιν, ὅτι οὐ φεύγει τὴν ἰδιωτείαν, ἀλλὰ καὶ σεμνύνεται ἐπ' αὐτῇ· διὸ καὶ τίθησιν αὐτό. Καὶ ἀλλαχοῦ δὲ τοῦτο ποιεῖ, ἔνθα δείκνυσιν, ὅτι τὸ εἶναι σοφὸν, πρὸς βλάβην ἐστὶ τοῦ κηρύγματος· *ἦλθον* γάρ, φησιν, *οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ* (α). Τῷ λόγῳ οὖν εἰμὶ ἰδιώτης, *οὐ τῇ γνώσει*. Διὰ τούτου δὲ αἰνίττεται ἐκείνους, ὅτι, ὅσον τῇ εὐγλωττίᾳ κομπάζουσι, τοσοῦτον ἐστερημένοι εἰσὶ τῆς τοῦ θεοῦ γνώσεως, καὶ ἰδιῶται κατ' αὐτὴν, ὅπερ ἐστὶν ἀληθριον.—*Τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει.*] *Ὁ λόγος* καὶ *ἡ γνῶσις*, οὐκ ἀεὶ τὰ αὐτὰ παρὰ τῷ θεσπεσίῳ Παύλῳ σημαίνει· ἀλλ' ἐνίοτε μὲν *λόγον* λέγει, τὸ ἔχειν χάρισμα διδασκαλικόν· *γνῶσιν* δὲ, τὸ συνιέναι μὲν τὸν τοῦ κηρύγματος λόγον, μὴ μέντοι δύνασθαι καὶ ἑτέροις ὠφελεῖν καὶ διδάσκειν. Ἐνίοτε δὲ, *λόγον* μὲν λέγει, τὸ ἐγγεγυμνάσθαι τῇ ἑλληνικῇ σοφίᾳ, μηδὲν δὲ τῆς θείας μετέχειν, μόνον δὲ κατεστωμυλῶσθαι· *γνῶσιν* δὲ, τὸ τετελειῶσθαι ἐν τῇ σοφίᾳ, ὥστε καὶ αὐτὸν ἀκριβῶς εἰδέναι, καὶ ἑτέρους ἱκανὸν εἶναι διδάσκειν, καὶ Χριστῷ προσάγειν. Πάλιν δὲ ἀλλαχοῦ, *λόγον* μὲν ἁπλῶς, ὡς εἰώθαμεν, τὸν προφορικὸν, *γνῶσιν* δὲ, τὴν ἐν τοῖς δόγμασιν εἴδησιν. Παράδειγμα τοῦ μὲν πρώτου τό· *Ὧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ* δὲ, *λόγος γνώσεως* (β)· τοῦ δὲ δευτέρου, τὸ νῦν προκείμενον, *ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει*· τοῦ δὲ τρίτου τό· *Ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει* (γ). (Φωτίου).—*Ἀλλ' ἐν παντὶ φανερωθέντες.*] Λείπει τὸ, ἐσμέν· οἷον· Ἐν παντὶ πεφανερωμένοι ἐσμέν. Τί δὲ πεφανερώμεθα ὑμῖν; Ὅτι οὐδὲν τῶν ὑπερλίαν ἀποστόλων ὑστερήσαμεν, ὅτι οὐκ ἐσμὲν ἰδιῶται τῇ γνώσει, ἀλλ' ἱκανοὶ διδάξαι καὶ τελειῶσαι ἐν τῇ πίστει, καὶ ἁπλῶς ἐν παντὶ ἐγνώσμεθα ὑμῖν, καὶ οὐκ ἔστιν οὐδεμία ὑμῖν ἔγκλησις καθ' ἡμῶν, οὐδὲ ἀγνοίας πρόφασις, εἰ μὴ ἄρα τοῦτο βού-

(α) Α' Κορ. Β', 1. Α', 17. (β) Α' Κορ. ΙΒ', 8. (γ) Α' Κορ. Α', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεσθε ἁμαρτίας πρόφασιν λαβεῖν, τὸ μηδὲν λαβεῖν ἐμὲ ἐξ ὑμῶν. Τοῦτο δὲ, ἐντρέπων φησὶν, ἀντὶ τοῦ· Εἰ μὴ ἄρα τὰ κατορθώματα ἡμῶν, καὶ ἐφ' ᾧ ἄλλοι καυχῶνται, ταῦτα ἡμῶν εἰς ἁμαρτίαν λογίζεσθαι διεγνώκατε· καὶ ἐφ' ᾧ ὑψῶσαι ὑμᾶς ἐπετήδευσα, τοῦτο εἰς κατηγορίαν ἡμῶν περιτρέπετε. Τοῦτο δὲ Παύλου ἐστὶ λίαν θαῤῥοῦντος τῷ βίῳ, καὶ τῇ κατὰ θεὸν πολιτείᾳ, ὅτι αὐτοὺς ἐκείνους δείκνυσι, μηδὲν ὅλως ἔχοντας εἰπεῖν κατ' αὐτοῦ, καὶ ἐκείνων ἐλέγχοντος τὴν ἀγνωμοσύνην καὶ πονηρίαν· ὅτι μηδὲν ὅλως ἔχοντες ἐγκαλεῖν, ἀλλὰ καὶ ὑπερθαυμάζειν ὄντες δίκαιοι, ὅμως τοὺς ψευδαποστόλους οὐδὲν ἔλαττον, εἰ μὴ καὶ Παύλου μᾶλλον, ἔστεργον (Φωτίου).— *Ἀλλ' ἐν παντὶ φανερωθέντες.*] Αἰνίττεται τοὺς ψευδαποστόλους, δολερούς τινας καὶ συνεσκιασμένους ὄντας, καὶ προσωπεῖον εὐλαβείας περικειμένους. Ἡμεῖς δὲ οὐχ οὕτως, φησίν· ἐν παντὶ γὰρ πράγματι, καὶ ἐν πᾶσιν, οἷς ποιοῦμεν, φανεροί ἐσμεν εἰς ὑμᾶς· οὐδεμία διπλόη, ἢ ὑπόκρισις ἐν ἡμῖν, ὥσπερ ἐν ἐκείνοις, εὐλαβείας προσωπεῖον μόνον περικειμένοις, καὶ πάντα τὰ χείρισα ποιοῦσιν. *Ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν;*] Πληκτικῶς τῷ λόγῳ κέχρηται. Ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν, ὅτι παρὼν μὲν, ταπεινὸς, ἀπὼν δὲ, κομπάζει· ὡς ὑπὲρ τούτου ἀπολογούμενος νῦν, πλήττει αὐτούς. Ἀπερῥιμένον, φησὶν, ἡγεῖσθέ με καὶ εὐτελῆ μᾶλλον; Εἰ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν λιμῷ ταπεινώσας, καὶ μηδὲν λαβὼν παρ' ὑμῶν, τοῦτό, φησιν, ἐποίησα, ἵνα ὑμεῖς εἰς τὰ κατὰ θεὸν ὑψωθῆτε· ὁρῶντές με γὰρ μηδὲν λαμβάνοντα ᾠκοδομεῖσθε πρὸς τὴν πίστιν· εἰ δὲ ἐλάμβανον, ἐσκανδαλίσθητε ἄν. *Ἄλλας ἐκκλησίας ἐσύλησα.*] Καίτοι ἠδύνατο εἰπεῖν, ὅτι Ἐκ τῶν χειρῶν μου ἤσθιον· ἀλλὰ, πληκτικώτερον τὸν λόγον ποιῶν, παρ' ἄλλων, φησὶν, ἔλαβον, καὶ ταῦτα ὑμῖν διακονούμενος εἰς τὸ κήρυγμα. Τὸ δὲ, *ἐσύλησα*, ἀντὶ τοῦ, ἐσκύλευσα, ἐγύμνωσα, καὶ πένητας αὐτοὺς ἐποίησα· οὐ γὰρ τὸ λάθρα λαβεῖν λέγει, ἄπαγε! Αἰνίττεται δὲ καὶ τοὺς Μακεδόνας, οἳ πενέστατοι ὄντες, ἔτι καὶ αὐτὸν εἶχον προσεπιτρίβοντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτούς· καίτοι οὐ περιττῶν ἔχρῃζεν, ἀλλὰ τῶν ἀναγκαίων δαπανημάτων· τὸ γὰρ ὑψώτιον αὐτὰ τὰ ἀναγκαῖα δαπανήματα δηλοῖ. Μεγάλη δὲ ἐκείνων κατηγορία, ὅτι οὐδὲ ταῦτα αὐτῷ παρεῖχον, καὶ, τὸ χεῖρον, ὅτι πρὸς τὴν ὑμῶν, φησι, διακονίαν· ὑμῖν γὰρ κηρύσσων, καὶ τὰ ὑμῶν ἐργαζόμενος, παρ' ἄλλων ἐτρεφόμην. *Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς.*] Τριπλοῦν τὸ ἔγκλημα· ὅτι καὶ παρ' αὐτοῖς ὢν, καὶ αὐτοῖς διακονούμενος, καὶ ὑστερούμενος, οὐκ ἠξιώθη λόγου. Οὐ μόνον γὰρ ἑτέρωθι οὐκ ἐπέμψατέ μοι, φησὶν, ὅπερ οἱ Μακεδόνες ἐποίησαν, ἀλλ' οὐδὲ παρόντα με ἐτρέφετε. *Οὐ κατενάρκησα οὐδενός.*] Οἷον, οὐκ ἠτόνησα, οὐδὲ ἐξέλυσα τὴν ὑπομονήν. Ταύτῃ γὰρ κουφότερον αὐτοῖς ποιεῖ τὸ ἔγκλημα· ὅτι ἐγὼ, φησιν, οὐκ ἤτησα (1). Ἢ καὶ οὕτω· Καὶ ταῦτα στερηθείς, *οὐ κατενάρκησα*, οὐδὲ ἠμέλησα, ἢ ῥᾳθυμότερος πρὸς τὸ κήρυγμα γέγονα· ἀλλὰ παρ' ἐμοῦ μὲν, ὅσα ἐχρῆν, ἐγένετο πρὸς τὴν ὑμετέραν σωτηρίαν· ἐγὼ δὲ ἐν ἐνδείᾳ διέτριβον παρ' ὑμῖν, καὶ οὐκ ἤτησα, οὐδὲ ἐξέλυσα τὴν ὑπομονὴν ἀπεναρκήσας.

9 (Τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ, ἐλθόντες ἀπὸ Μακεδονίας·) καὶ ἐν παντὶ
10 ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω. Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.
11 Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ θεὸς οἶδεν. Ὃ δὲ
12 ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα, ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.

Ἐκ τοῦ εἰπεῖν, *ὑστέρημα*, δείκνυσιν, ὅτι μηδὲν ὑπὲρ τὴν ἀναγκαίαν χρείαν ἔλαβεν· ἔπεμψαν δὲ αὐτῷ οἱ Φιλιππήσιοι (α).

---

(1) « Τὸ, οὐ κατενάρκησα οὐδενὸς, τοῦτο δηλοῖ, ὅτι οὐκ ἐπενάρκησά τινι. Δηλοῖ δὲ αὐτοὺς, ὡς ὀκνηρῶς καὶ νωθρῶς εἰσφέροντας; » Θεοφύλακτος. « Οὐ κατενάρκησα· οὐ κατεγόγγυσα, δι' ἔνδειαν ἐκλυθείς· ἢ, οὐ κατερράθύμησα, οὐ κατημέλησα ἐν τῷ κηρύγματι. » Σχόλιον ἀρχαῖον.

(α) Φιλιπ. Δ', 10—16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὰ τοῦτο δὲ καὶ τοὔνομα τέθεικεν, ἵνα εἰς ζυλοτυπίαν αὐτούς ἐμβάλῃ, καὶ μᾶλλον πρὸς τὴν ἐλεημοσύνην διεγείρῃ, ὡς ἂν μὴ, ἡττηθέντες ὑπὸ τῶν Μακεδόνων ἐν τῷ ὁρέψαι αὐτὸν, ἡττηθῶσι καὶ ἐν τῇ ἐλεημοσύνῃ. *Καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα.*] Δείκνυσιν, ὅτι καὶ βάρος ἡγοῦντο, τὰς τροφὰς αὐτῷ χορηγοῦντες. Καλῶς δὲ τὸ, *τηρήσω*. Μὴ γὰρ νομίσητέ, φησι, ταῦτά με εἰρηκέναι, ἵνα τοῦ λοιποῦ λάβω παρ' ὑμῶν· οὐ μόνον γὰρ ἐτήρησα ὑμῖν ἐμαυτὸν ἀβαρῆ, ἀλλὰ καὶ τηρήσω. *Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί.*] Εἶτα, ἵνα μὴ νομίσωσι, ταῦτα εἰρηκέναι αὐτὸν, ἵνα αὐτοὺς μᾶλλον ἐπισπάσηται πρὸς τὸ δοῦναι, φησίν· *Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί·* τουτέστιν, ἀληθεύων λέγω, *ὅτι ἡ καύχησις αὕτη, ἡ τοῦ μὴ λαβεῖν δηλαδή·* (*καύχησιν* δὲ τὸ πρᾶγμα καλεῖ, ἵνα μὴ νομίσωσιν αὐτὸν ἀλγοῦντα, ἢ ὀργιζόμενον ταῦτα λέγειν, ἐφ' οἷς οὐκ ἔλαβε· τὸ δὲ ἀδάπανον κηρύσσειν τὸ εὐαγγέλιον, καύχημα μέγα αὐτῷ ἦν, ὡς ὑπὲρ τοὺς τοῦ Χριστοῦ ὅρους διὰ Χριστὸν πηδῶντι·) *οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.*] Τουτέστιν, οὐκ ἐκκοπήσεται, οὐδὲ διαλείψει. Πῶς δὲ οὐ διαλείψει; Εἰ καὶ τοῦ λοιποῦ μὴ λάβῃ. Ἢ, ὅτι ἡ καύχησις, ἡ προσγενομένη μοι *ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας*, ὅτι δωρεὰν ἐκήρυξα, οὐ φραγήσεται. Σφόδρα δὲ αὐτῶν, ὡς ἀσθενῶν, κατεγίνωσκε, παρ' αὐτῶν μὴ λαβών. Εἰ γὰρ ἐπὶ τούτῳ ἐκαυχᾶτο, οὐδαμοῦ λαβεῖν ἔδει· εἰ καὶ ἀλλαχοῦ γράφει, ὡς παρὰ εὐσκανδαλίστων τούτων οὐκ εἴληφεν. *Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς;*] Τί οὖν; μισεῖς ἡμᾶς, καὶ διὰ τοῦτο οὐδὲν αἰρῇ λαβεῖν παρ' ἡμῶν; *Ὁ θεὸς οἶδε*, φησὶν, ὅτι οὐ διὰ τοῦτο λαβεῖν παραιτοῦμαι· ἀλλὰ δι' ὃ ἐπιφέρει. *Ὁ δὲ ποιῶ.*] Ποιῶ δὲ, τὸ ἀδαπάνως κηρύξαι, καὶ τοῦτο ἀεὶ *ποιήσω*· *Ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν.*] Λέγει τὴν αἰτίαν, δι' ἣν οὐκ ἔλαβεν. Ἐπετήρουν γὰρ οἱ ψευδαπόστολοι, ἵνα, εἰ εὕρωσιν αὐτὸν εἰληφότα, ἀφορμὴν λοιδορίας τὸ πρᾶγμα ποιήσωνται. Ἐκείνων οὖν τὴν ἀφορμὴν βουλόμενος ἐκκόψαι, οὐκ ἔλαβεν. *Ἵνα, ἐν ᾧ καυχῶν-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται.] Τάχα καὶ τὸ μὴ λαμβάνειν ὑπεκρίνοντο οἱ ψευδαπόστολοι· διὰ τοῦτο οὐκ εἶπεν, *ἐν ᾧ ποιοῦσιν*, ἀλλ', *ἐν ᾧ καυχῶνται*, ὃ καὶ ἀλαζονείας δεικτικόν ἐστιν. *Εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.*] Εἶτα καὶ πλούσιοι ὄντες οἱ ψευδαπόστολοι, οὐδὲν ἐλάμβανον, καὶ διὰ τοῦτο ἐπὶ τούτῳ ἐκαυχῶντο. Ἵνα οὖν, φησὶν, *ἐν ᾧ καυχῶνται*, τουτέστιν, ἐν τῷ μὴ λαμβάνειν, εὑρεθῶσιν ὅμοιοι ἡμῶν, καὶ μὴ πλέον ἡμῶν ἔχωσιν· ἄτοπον γὰρ εἰς τὰ ἄλλα ἐλαττουμένους, ἐν τούτῳ τὸ πλέον ἔχειν.

13 Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.
14 Καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχη-
15 ματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης· ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Τί λέγεις; οἱ τὸν Χριστὸν κηρύσσοντες, οἱ εὐαγγέλιον ἕτερον μὴ ἐπεισάγοντες· (οὕτω γὰρ ἄνω περὶ αὐτῶν εἴρηκας·) ψευδαπόστολοί εἰσι; Ναί, φησι· ταῦτα γὰρ ὑποκρινόμενοι ἐν τῷ φανερῷ, λάθρα ἀνόσια παρεισφέρουσι δόγματα. *Ἐργάται δόλιοι.*] Ἐργάζεσθαι μὲν δοκοῦσιν· ἀλλ' ἀνασπῶσι τὰ καλῶς πεφυτευμένα· τὸ γὰρ προσωπεῖον ὑπεισιόντες τῆς ἀληθείας, οὕτω τὴν βλάβην ἐργάζονται· καὶ σχῆμα περικείμενοι ἀποστόλων, καὶ δορὰν προβάτου ἠμφιεσμένοι, λύκοι εἰσὶ τὰ ἔνδον. *Μετασχηματιζόμενοι.*] Ὡς ὁ διδάσκαλος αὐτῶν μετασχηματίζεται· διὸ καὶ πολλοὺς πλανᾷ· καὶ ὢν ἄγγελος σκότους, εἰς ἄγγελον ὁρᾶται φωτὸς, πλανῶν τὰς ὄψεις. *Καὶ οὐ θαυμαστόν.*] Εἰ γὰρ δεῖ θαυμάζειν, ἐκεῖνό ἐστι θαύματος ἄξιον, πῶς ὁ διάβολος εἰς τοῦτο τόλμης ἔρχεται.—*Οὐ θαυμαστόν*, φησι. Διὰ τί; Ὅτι μιμεῖσθαι πάντως χρεωστοῦσι τὸν διδάσκαλον, ὃς ἄγγελος ὢν σκότους, φωτὸς εἶναι ἄγγελος σχηματίζεται.—*Ὡς διάκονοι δικαιοσύνης.*] *Διάκονοι δικαιοσύνης* εἰσὶν οἱ ἅγιοι ἀπόστολοι· διακονοῦσι γὰρ θεῷ ἐν τῷ δικαιοῦν δυναμένῳ εὐαγγελίῳ. *Ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.*]

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἂν γὰρ ὑμᾶς, φησὶν, ἀπατῶσιν, οὐκ ἂν διαλάθωσι τὸν ἀκοίμητον ὀφθαλμὸν τοῦ Χριστοῦ. Κατὰ γὰρ τὰ ἔργα αὐτῶν ἔσται καὶ τὸ τέλος αὐτῶν, τουτέστι, πονηρόν.

16 Πάλιν λέγω· Μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα κἀγὼ μι-
17 κρόν τι καυχήσωμαι. Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστά-
18 σει τῆς καυχήσεως. Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ
19 τὴν σάρκα, κἀγὼ καυχήσομαι. Ἡδέως γὰρ ἀνέ-
20 χεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες· ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρό-
21 σωπον δέρει. Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.

Ἤδη μὲν γὰρ πολλῇ προδιορθώσει ἐχρήσατο, ἀλλ' οὐκ ἀρκεῖται ἐκείνῃ μόνῃ· ἀλλὰ, *Πάλιν*, φησὶ, *λέγω· Μή τις με δόξῃ ἄφρονα εἶναι.*] Καίτοι ἄνω εἶπεν· *Ὤφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ·* πῶς οὖν ὧδε φησί· *Μή τις με δόξῃ ἄφρονα εἶναι;* Ὅτι αὐτὸ μέν, φησι, τὸ ἐπαινεῖν ἑαυτὸν, ἀφροσύνης ἐστίν· ἐγὼ δὲ οὐχ ὡς ἄφρων κέχρημαι τούτοις τοῖς λόγοις, ἀλλ' ἀναγκάζομαι, πρὸς τὰ ἀπὸ τῶν ψευδαποστόλων ἀπαγαγεῖν ὑμᾶς. Διό φησι· *Μή τις με δόξῃ ἄφρονα εἶναι·* οὐ γὰρ ἑκὼν, ἀλλ' ἐξ ἀνάγκης εἰς τοὺς ἐμαυτοῦ ἐπαίνους ἐμπίπτω.—ΑΔΔΟ. Ἔστιν ἀφροσύνης ῥῆμα εἰπεῖν ἄφρονα τὸν μὴ ὄντα ἄφρονα, μηδὲ τὰ τοῦ ἄφρονος ποιοῦντα. Ἄφρων μὲν γάρ ἐστιν ὁ μάτην μεγαλορρήμονῶν, καὶ εἰς κενὸν ἀλαζονευόμενος· ὃς, μετὰ τοῦ εἶναι ἄφρων, καὶ ἀφροσύνης λέγει ῥήματα καὶ τὰ τοῦ ἄφρονος ποιεῖ· ὁ δὲ λέγων περὶ ἑαυτοῦ καὶ μεγάλα καὶ ἀληθῆ, καὶ ἕνεκεν ὠφελείας ψυχικῆς, ἀφροσύνης μὲν δόξει ῥήματα λέγειν, ὅσον ἐπὶ τῇ ὁμοιότητι τῆς προφορᾶς τῶν λόγων, οὐ μὴν δὲ ἄφρων, ἀλλὰ καὶ λίαν ἔμφρων, καὶ τὰ τοῦ ἐμφρονεστάτου πράττων, ὅτι καὶ διαβολῆς ἀλόγου κατεφρόνησεν ἐπὶ τῇ ἑτέρων σωτηρίᾳ καὶ ὠφελείᾳ. Διό

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἔστιν ἐναντίον τὸ εἰπεῖν πρὸ ὀλίγων· *Ὄφελον ἀνείχεσθέ μού μικρὸν*, ἀφροσύνης ῥῆμα εἰπεῖν μέλλοντος, καὶ τὸ νῦν λέγειν· *Μή τις με δόξῃ, ἄφρονα εἶναι.* Μή τις οὖν με δόξῃ, ἄφρονα εἶναι· οὐ γὰρ δι' ἐμαυτὸν, ἀλλὰ δι' ὑμᾶς ἐρεῖν μέλλω, ἃ μέλλω λέγειν. Εἰ δὲ μὴ, κἂν ὡς ἄφρονα ἡγήσασθέ με, καὶ παραδέξασθε· οὐκ ἀποστρέφομαι γὰρ οὐδὲ τὸ ἄφρων νομισθῆναι διὰ τὴν ὑμετέραν σωτηρίαν. Καὶ γὰρ ἃ μέλλω ἐρεῖν, εἰς στήριγμα ὑμῶν καὶ ὠφέλειαν ψυχῆς συντελεῖ.—*Εἰ δὲ μήγε.*] Εἰ δὲ μὴ πεισθείητε, ἀλλὰ καὶ, ἀνάγκην οὖσαν ὁρῶντες, μὴ ἐλεύθερόν με ἀφροσύνης νομίσητε, ὡς γοῦν ἄφρονος ἀνέχεσθε λέγοντος ἃ λέγω, *ἵνα κἀγὼ*, καθάπερ οἱ ψευδαπόστολοι, *καυχήσωμαι*· ἀλλὰ καὶ τοῦτο *μικρόν τι*· ἐκεῖνοι γὰρ, εἰς ὑμετέραν βλάβην καυχώμενοι, εἰς τούτους με προάγουσι τοὺς λόγους. *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον.*] Τὸ γὰρ καυχᾶσθαι, οὐ κατὰ Κύριον· ὁ γὰρ Κύριος κελεύει, μὴ καυχᾶσθαι. Τὰ ῥήματα τοιγαροῦν, οὐ κατὰ Κύριον· ὁ δὲ τῶν ῥημάτων σκοπὸς, καὶ σφόδρα κατὰ Κύριον. *Ἀλλ' ὡς ἐν ἀφροσύνῃ.*] Εἶτα, ἵνα μὴ τῷ ὁμολογεῖν αὐτὸν, ὅτι οὐ κατὰ Κύριον λαλεῖ, καὶ ὅτι ἐν ἀφροσύνῃ λαλεῖ, πρόφασιν ἐκείνοις πλείονος δῷ λοιδορίας· πρῶτον μὲν οὐ λέγει, *ἐν ἀφροσύνῃ*, ἀλλ', ὡς *ἐν ἀφροσύνῃ*· ἔοικε μὲν γὰρ ἀφροσύνῃ ἡ καύχησις αὐτοῦ, οὐκ ἔστι δὲ ἀληθῶς· ἔπειτα δέ φησιν, *ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως*· τουτέστι· Κατὰ τοῦτο τὸ μέρος τῆς καυχήσεως, οὐ λαλῶ κατὰ Κύριον. Ποῖον μέρος; Ὅτι μέλλει καυχᾶσθαι, λέγων, Ἑβραῖός εἰμι, καὶ Ἰσραηλίτης, καὶ σπέρμα Ἀβραάμ. Ἐπειδὴ δὲ τὰ τοιαῦτα οὐκ ἀνῆκεν εἰς καύχημα Χριστοῦ, ὅθεν καὶ *κατὰ σάρκα* ταῦτα καλεῖ· ἡ γὰρ εἰς Χριστὸν καύχησις, πραότης ἐστὶν, ἐγκράτεια, ἁγιασμός. Ὅτι δὲ τὸ Ἑβραῖος εἶναι καὶ Ἰσραηλίτης, οὐ κατὰ Κύριόν ἐστιν, ἄκουε αὐτοῦ λέγοντος· Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην (α)· καὶ· Ἐν Χριστῷ Ἰησοῦ πάν-

(α) Γαλατ. Γ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες ἔν ἐστε. *Πολλοὶ καυχῶνται κατὰ σάρκα.*] Τουτέστιν, ἀπὸ τῶν ἔξωθεν, οἷον ἀπὸ εὐγενείας, ἀπὸ τοῦ περιτομὴν ἔχειν, καὶ ἀπὸ τοῦ Ἑβραῖοι εἶναι. *Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων.*] Ὥστε ὑμεῖς αἴτιοι, ἀνεχόμενοι αὐτῶν ἡδέως. Ὑμεῖς γάρ, φησιν, ἀναγκάζετέ με τοιαῦτα λέγειν· εἰ μὴ γὰρ καὶ ὑμεῖς ἐδέχεσθε ἐκείνους, καὶ οὐκ ἐκ τούτου ἑώρων παραβλαπτομένους ὑμᾶς, οὐκ ἂν οὐδὲ ἐγὼ ἐπὶ τοῦτο ἦλθον. *Ἄφρονας* δὲ καλεῖ, τοὺς ἐπὶ τοῖς σαρκικοῖς καυχωμένους· εἰ γὰρ καὶ τὸ ἐπὶ τοῖς ὄντως καλοῖς καυχᾶσθαι ἄφρονός ἐστι, πόσῳ μᾶλλον τὸ ἐπὶ τοῖς μὴ οὖσιν ὅλως· τοὺς ψευδαποστόλους δὲ αἰνίττεται. Τὸ δὲ, *φρόνιμοι ὄντες*, δοκεῖ μὲν ἱλαρὸν εἶναι, πλὴν μᾶλλον ἐπίτασιν ἔχει κατηγορίας· ὅτι ἐν γνώσει, φησὶν, ἁμαρτάνετε· εἰ μὲν γὰρ ἦτε ἀνόητοι, κἂν συγγνώμην εἴχετε, νῦν δὲ, ἐν εἰδήσει πταίετε. *Εἴτις ὑμᾶς καταδουλοῖ.*] Ὅρα πόσην δουλοπρέπειαν καταγινώσκει τῶν Κορινθίων, καὶ ὡς μεθ' ὑπερβολῆς ὑπεκέκλιντο τοῖς ψευδαποστόλοις. *Εἴ τις κατεσθίει, εἴ τις λαμβάνει.*] Ὁρᾷς, ὅτι καὶ τὸ ἔμπροσθεν εἰρημένον, τό· *Ἵνα, ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ὡς κἀγώ*, κατὰ συγχώρησιν εἴρηται, καὶ ὥστε μὴ ἐκ προοιμίων ἐλέγξαι αὐτούς· νῦν γὰρ δείκνυσιν αὐτοὺς ὑποκρινομένους μὲν τὸ μὴ λαμβάνειν, λαμβάνοντας δὲ, καὶ μεθ' ὑπερβολῆς· *Εἴ τις* γάρ, φησι, *λαμβάνει*, καὶ, τὸ μεῖζον, *εἴ τις κατεσθίει*· ὅπερ καὶ ἐκπιεζομένους αὐτοὺς ὑπὸ τῶν ψευδαποστόλων δηλοῖ. *Εἴ τις ἐπαίρεται.*] Τουτέστιν, εἴ τις κατεξουσιάζει ὑμῶν, καὶ κατεπαίρεται. Οὐ γὰρ σύμμετρός, φησιν, ὑμῶν ἡ δουλεία, οὔτε ἥμεροι οἱ δεσπόται, ἀλλὰ φορτικοί τινες καὶ κατεξανιστάμενοι ὑμῶν. *Εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει.*] Εἶδες ἐπίτασιν ἀπονοίας αὐτῶν καὶ τυραννίδος! Ὡς ἀνδραπόδοις γὰρ αὐτοῖς ἐκέχρηντο. *Κατὰ ἀτιμίαν λέγω.*] Ταῦτα δὲ λέγω, φησὶν, οὐχ ὅτι εἰς ὄψιν τύπτεσθε, ἀλλ' ὅτι τῶν εἰς πρόσωπον τυπτομένων οὐκ ἔλαττον πάσχετε· ὡς εἰ ἔλεγεν· Πρὸς ὕβριν ὑμῖν λέγω τοῦτο. Τί τοιγαροῦν τούτου γένοιτ' ἂν αἰσχρότερον, ὅταν καὶ τὰ χρήματα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῶν, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν τιμὴν ἀφελόμενοι, μηδὲ οὕτως ὦσιν ἥμεροι, ἀλλ' ὑβριστικώτερον ἀργυρωνήτων ὑμῖν κέχρηνται; *Ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.*] Ἀσαφὲς τὸ εἰρημένον. Ἐπειδὴ γὰρ φορτικὸν ἦν, διὰ τοῦτο οὕτως αὐτὸ τέθεικεν, ἵνα κλέψῃ τὴν ἐπάχθειαν τῇ ἀσαφείᾳ. Ὃ δὲ λέγει τοῦτό ἐστι· Τίνος ἕνεκεν ἀνέχεσθε αὐτῶν; ὡς ἂν ἡμῶν ἀσθενούντων, καὶ μὴ δυναμένων οὕτω κεχρῆσθαι ὑμῖν; ὅπερ οὐκ ἔστι· μὴ γὰρ οὐ δυνάμεθα καὶ ἡμεῖς τὰ αὐτὰ ποιεῖν; ἀλλ' οὐ βουλόμεθα πάντως. — ΑΛΛΩΣ. Τίνος ἕνεκεν, φησὶν, αὐτῶν ἀνέχεσθε εἰς ταῦτα; ὡς ἡμῶν ἀσθενούντων ἢ μὴ δυναμένων οὕτως ὑμῖν ἀποκεχρῆσθαι; Πληκτικὸν δὲ σφόδρα τὸ εἰρημένον· διὸ καὶ ἀσαφῶς αὐτὸ τέθεικεν. Εἰ γάρ, φησι, διὰ τοῦτο αὐτοὺς τιμᾶτε, ἐπειδὴ ὑβρίζουσιν ὑμᾶς ἐπαιρόμενοι, καὶ μονονοὺκ εἰς πρόσωπον τύπτοντες, δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν. Ὡς ἡμῶν γὰρ πρὸς ταῦτα ἀτονησάντων, ἐκείνοις ὑποκλίνεσθε. Ὁρᾷς, πόσης ἐπιπλήξεως γέμει τὸ εἰρημένον; Πᾶσαν οὖν τῆς ἐκείνων ἀπονοίας τὴν αἰτίαν, τῇ τούτων δουλοπρεπείᾳ ἀνατίθησι. Διὰ ταῦτά οὖν, φησιν, ἀναγκάζομαι μικρόν τι καυχᾶσθαι, ἵνα ὑμᾶς τῆς τούτων ἀλαζονείας ἀπαλλάξω, οὐχ ἵνα ἐμαυτὸν λαμπρύνω.

21 Ἐν ᾧ δ' ἂν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω,) τολ-
22 μῶ κἀγώ. Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χρι-
23 στοῦ εἰσι; (παραφρονῶν λαλῶ,) ὑπὲρ ἐγώ.

Ὁρα αὐτὸν ταῖς τοσαύταις μὴ ἀρκεσθέντα προδιορθώσεσι, πάλιν *τόλμαν* καὶ *ἀφροσύνην* καλοῦντα τὸ πρᾶγμα, καὶ μονονουχὶ λέγοντα· Βίᾳ ἐπὶ τοῦτο ἔρχομαι. Ταῦτα δὲ ποιεῖ, παιδεύων ἡμᾶς, ἀνάγκης χωρὶς μὴ ἔρχεσθαι εἰς τοιούτους λόγους. Φησὶν οὖν, ὅτι, *ἐν ᾧ δ' ἂν τις τολμᾷ* πράγματι καυχᾶσθαι· (ταῦτα γὰρ συνυπακουστέον·) *τολμῶ κἀγώ.* Εἶτα καταλέγει τὰ ἐφ' οἷς καυχῶνται. *Ἑβραῖοί εἰσι; κἀγώ.*] Οὐ γὰρ πάντες οἱ Ἑβραῖοι ἦσαν καὶ Ἰσραηλῖται· καὶ γὰρ καὶ οἱ Μωαβῖται, καὶ Ἀμμανῖται Ἑβραίους ἑαυτοὺς ἐποίουν· διὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκαθάρισεν αὐτοῦ τὴν εὐγένειαν, ἐπάγων· *Σπέρμα Ἀβραάμ εἰσι; κἀγώ·* τὸν Ἰσαὰκ δηλῶν. Κατ' ἐρώτησιν δὲ ἀναγνωστέον. Τὸ δὲ, *Διάκονοι Χριστοῦ εἰσι*, κατὰ τὸν τῶν ψευδαποστόλων λόγον λέγει. *Ὑπὲρ ἐγώ.*] Τουτέστι, μᾶλλον ἐγώ. Φασὶ δέ τινες, ὅτι οὐκ ἔδει κατὰ σύγκρισιν προενεγκεῖν τὸν λόγον, ἀλλὰ παντάπασιν ἀρνήσασθαι τὸ εἶναι αὐτοὺς διακόνους Χριστοῦ. Ἀλλὰ λέγομεν, ὅτι τοῦτο ἔμπροσθεν ἐποίησε μιᾷ ῥήσει, εἰπὼν αὐτοὺς *ψευδαποστόλους*. Ἐνταῦθα μέντοι εἰς ἐξέτασιν ὁ λόγος ἤρχετο, καὶ οὐκ ἔδει αὐτὸν προαποφήνασθαι, ἀλλὰ τὴν διὰ τῶν ἔργων παρασχεῖν ἀπόδειξιν, ὅτι αὐτὸς μέν ἐστιν, ἐκεῖνοι δὲ, οὔ. Φησὶν οὖν, ὅτι, εἰ καὶ διάκονοι Χριστοῦ εἰσιν, ἀλλὰ καὶ οὕτως ὑπὲρ αὐτοὺς ἐγώ. Καὶ πάλιν *παραφροσύνην* καλεῖ τὸ πρᾶγμα, διὰ τὸ πέλαγος τῆς ταπεινοφροσύνης αὐτοῦ. Ποία γὰρ ὅλως παραφροσύνη, τὸ ὑπὲρ τοὺς ψευδαποστόλους λέγειν ἑαυτὸν διάκονον εἶναι; *Παραφρονῶν λαλῶ.*] Ἀντὶ τοῦ· Εἰ καὶ δόξω τισὶ παραφρονεῖν, ἐν τῷ λέγειν, *Ὑπὲρ ἐγώ.*

23 Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόν-
τως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολ-
24 λάκις· (ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ
25 μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην,
τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίη-
26 κα·) ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν,
κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις
ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ,
κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις·
27 ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις,

[Καταλέγει λοιπὸν τὰ χαρακτηρίζοντα τοὺς ἀποστόλους· καὶ ἀφεὶς τὰ σημεῖα, ἀπὸ τῶν πειρασμῶν ἄρχεται· καί φησιν, ὅτι καὶ κόπους πλείους ἀναδέχομαι, τόπον τε ἐκ τόπου ἀμείβων, καὶ διδάσκων νυκτὸς καὶ ἡμέρας, καὶ ἔτι ταῖς χερσὶν ἐργαζόμενος· ἀλλὰ καὶ, τὸ μεῖζον, καὶ πληγὰς ὑπομένων, καὶ ταύτας ὑπερβολικῶς· καὶ τὸ ἔτι μεῖζον, μετὰ τῶν πληγῶν καὶ φυλακιζόμενος. Τὸ δὲ, *περισσοτέρως*, καὶ, *ὑπερβαλλόντως*, συγκρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τικὰ μέν εἰσιν, ὡς πρὸς τοὺς ψευδαποστόλους· πλὴν καθ' ὑπόθεσιν· οἷον· Ἔστω, ὅτι κοπιῶσιν ἐκεῖνοι· ἀλλ' ἐγὼ περισσοτέρως καὶ ὑπερβαλλόντως. Τινὲς δὲ, οὐ κατὰ σύγκρισιν τῶν ψευδαποστόλων εἰρῆσθαι ταῦτά φασιν, ἀλλ' ἁπλῶς περιουσίας καὶ ἐπιτάσεως εἶναι σημαντικά (1).] *Ἐν θανάτοις πολλάκις.*] Οὐ μόνον τῇ προθέσει ἀποθνήσκων· καθ' ἡμέραν γάρ, φησιν, ἀποθνήσκω (α)· ἀλλὰ καὶ εἰς κινδύνους θανατηφόρους ἑαυτὸν ἐπιδιδούς. *Τεσσαράκοντα παρὰ μίαν ἔλαβον.*] Διὰ τί, *παρὰ μίαν*; Νόμος ἦν, τὸν πλείονα τῶν τεσσαράκοντα τυπτόμενον, ἄτιμον εἶναι (β). Ὥρισαν οὖν *παρὰ μίαν* διδόναι, ἵνα, κἂν τῇ ῥύμῃ τοῦ τύπτειν ἐξενεχθεὶς ὁ τύπτων, τεσσαράκοντα δῷ, καὶ μὴ γένηται ἄτιμος ὁ τυπτόμενος, ὡς ἐντὸς τοῦ νενομισμένου ἀριθμοῦ πληγείς. *Τρὶς ἐρραβδίσθην.*] Ὁρᾷς, ὅτι οὐ πάντα, ἃ πέπονθεν ὁ Παῦλος, συνέγραψεν ἡμῖν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν; Οὐ γὰρ πρὸς φιλοτιμίαν αὐτῷ τὰ τῆς συγγραφῆς πεπόνηται· διὸ πολλὰ τῶν ἐνταῦθα εἰρημένων παρέλιπε (γ). *Τρὶς ἐναυάγησα.*] Μακρὰς γὰρ καὶ διαποντίους ὁδοὺς στελλόμενος διὰ τὸ κήρυγμα, πάντα ἔπασχε τὰ εἰρημένα. Νυχθήμερον δὲ ἐν τῷ βυθῷ διεγένετο νηχόμενος μετὰ ναυάγιον. — Τὸ, *Τρὶς ἐναυάγησα*, ἑρμηνεύων Ἰωάννης ὁ Δαμασκηνὸς, φησὶν, ὅτι τρίτον ἡ ἀνθρωπότης ἐναυάγησεν· ἅπαξ, ἐν τῷ παραδείσῳ, διὰ τῆς παραβάσεως· δεύτερον, ἐν τῷ κατακλυσμῷ· τρίτον, μετὰ τὸ δέξασθαι τὸν νόμον. *Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα.* Νύκτα λέγει ἐνταῦθα ὁ ἀπόστολος, τὴν πρὸ τῆς Χριστοῦ παρουσίας ἐν τῇ σκοτεινῇ πλάσει διατριβήν· *ἡμέραν* δὲ, τὴν μετὰ τὴν Χριστοῦ παρουσίαν ἐν τῷ φωτεινῷ βαπτίσματι διαγωγήν.— *Κινδύνοις ποταμῶν.*] Καὶ γὰρ καὶ διαπορθμεύειν ποταμοὺς ἠναγκάζετο. *Κινδύνοις λῃστῶν*, καὶ ἑξῆς.] Πανταχοῦ τὰ ἄθλα προέκειτο· πανταχοῦ γὰρ ὁ διάβολος ἐπολέμει, λῃστὰς ἐγείρων, τὰ ἔθνη τῶν Ἑλλήνων, τοὺς συγγενεῖς Ἰουδαίους, οἳ

(1) Ἐκ τοῦ Θεοφυλάκτου.
(α) Α' Κορ. ΙΕ', 31.
(β) Δευτερ. ΚΕ', 2. 3.
(γ) Ἰδ. Πραξ. ΙΣ', 22. ΚΒ', 24. ΙΔ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μᾶλλον ἐπολέμουν διὰ τὴν πίστιν διαπονούμενοι (α)· καὶ τόπος οὐκ ἦν ἀσφαλὴς αὐτῷ, οὐ πόλις, οὐκ ἔρημος, οὐκ ἄλλο οὐδέν. *Κινδύνοις ἐν ψευδαδέλφοις.*] Ὅρα ἕτερον κινδύνων εἶδος, τὸ ἐκ τῶν ψευδωνύμων καὶ ὑποκριτῶν ἀδελφῶν ἐπιβουλεύεσθαι, ὃ καὶ ἀλγεινότατον. Τοῦτο καὶ ὁ Δαυὶδ ὀδύρεται· Ὅτι, εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· σὺ δὲ, ἄνθρωπε ἰσόψυχε (β)· καὶ πάλιν· Ὁ ἄνθρωπος τῆς εἰρήνης μου (γ). *Ἐν κόπῳ καὶ μόχθῳ.*] Οὐκ ἤρκει τὰ παρὰ τῶν ἔξωθεν, ἀλλὰ καὶ αὐτὸς οἴκοθεν πόνοις καὶ μόχθοις καὶ ἀγρυπνίαις ἐπέτριβεν ἑαυτόν (1).

27 Ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύ-
28 χει καὶ γυμνότητι. Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπι-
σύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν
29 ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκαν-
δαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

Πανταχοῦ τῆς οἰκουμένης καὶ τῆς ἀοικήτου ἀγῶνες ἦσαν καὶ στάδια, ἐν γῇ, ἐν θαλάσσῃ, ἔσωθεν, ἔξωθεν, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν συγγενῶν, παρὰ τῶν ἐπιπλάστων ἀδελφῶν. Καὶ τοσαῦτα πάσχων, οὐδὲ τῆς ἀναγκαίας ὑπόρει τροφῆς, οὐδὲ ψιλοῦ σκεπάσματος, ὁ τῆς οἰκουμένης διδάσκαλος· ἀλλὰ γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπύκτευε. Καὶ οὐ μόνον οὐκ ἐδυσχέραινεν, ἀλλὰ καὶ χάριν ὡμολόγει τῷ ἀγωνοθέτῃ Χριστῷ. Ὅρα δὲ· εἰπὼν ὅσα πέπονθεν, οὐ λέγει ὅσους ἐπέστρεψε καὶ Χριστῷ προσήνεγκεν, ὁμοῦ μὲν πλέον μετριοφρονῶν, ὁμοῦ δὲ καὶ διδάσκων, ὅτι κἂν μηδὲν γένηται τῷ πονουμένῳ, καὶ οὕτω τὰ τῶν μισθῶν ἔσαι πεπληρωμένα. *Χωρὶς τῶν παρεκτός.*] Πλείονα γὰρ ἦν τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων· μᾶλλον δὲ, οὐδὲ αὐτὰ τὰ ῥηθέντα κατ' εἶδος εἶπεν· ἀλλ' ὧν μὲν εὐληπτος ἦν ὁ ἀριθμὸς καὶ βραχὺς,

(α) Πραξ. Δ', 2. (β) Ψαλμ. ΝΔ', 13. 14. (γ) Ψαλμ. Μ', 10.
(1) « Κίνδυνοι πόνους, πόνοι κινδύνους διεδέχοντο ἐπάλληλοι καὶ συνεχεῖς, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι συνεχώρουν. » Χρυσόστομος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμνήσθη τούτων, *πεντάκις*, λέγων, καὶ, *τρὶς*, καὶ, *τρὶς*, καὶ, *ἅπαξ*· ὧν δὲ ἦν ἄπειρος ὁ ἀριθμὸς, σιωπᾷ, καὶ φησι, *περισσοτέρως*, καὶ, *ὑπερβαλλόντως*, καὶ, *πολλάκις*. *Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν.*] *Ἐπισυστάσεις* φησὶ, τὰς κοινὴ παρὰ τῶν διωκτῶν ἐρόδους· συνίσταντο γάρ, φησι, κατ' ἐμοῦ γνώμῃ κοινῇ (1). *Ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.*] Τοῦτο τὸ κεφάλαιον ἁπάντων· εἰ γὰρ μιᾶς τις προστατῶν οἰκίας, καὶ ταῦτα οἰκέτας ἔχων καὶ οἰκονόμους, οὐδὲ ἀναπνεῖν ἰσχύει, τί πάσχειν εἰκὸς ἦν τὸν ἀπόστολον, μετὰ τοσούτων κινδύνων, πάσης προνοούμενον τῆς οἰκουμένης, καὶ ὑπὲρ ψυχῶν; *Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;*] Καὶ ἵνα μήτις εἴπῃ, ὅτι ἐμερίμνα μὲν, πλὴν οὐ πάνυ, λέγει τῆς μεριμνης τὴν ἐπίτασιν. *Τίς ἀσθενεῖ*, φησιν, οἵαν βούλει ἀσθένειαν, πνευματικὴν τε καὶ σαρκικὴν, *καὶ οὐκ ἐγὼ ἀσθενῶ;* Οὐκ εἶπε δὲ, Κοινωνῶ τῆς ἀσθενείας· ἀλλ', ὡς αὐτὸς ὢν ὁ ἀσθενῶν, οὕτω διάκειμαι. Τὸ δὲ, *τίς*, κἂν μέγας ᾖ, φησὶν, κἂν εὐτελής. *Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;*] Ὅρα πάλιν, πῶς παρέστησε τὴν ὑπερβολὴν τῆς ὀδύνης· ἐμπίμπραμαί, φησι, καὶ καίομαι· καὶ τὰ μὲν ἄλλα πάσχων, καὶ ἤδετο, εἰδὼς, ὅτι ὑπὲρ Χριστοῦ ταῦτα πάσχει· ὧδε δὲ διετιτρώσκετο τὴν ψυχήν· ὥστε τοῦτο πλέον ἦνία.

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχή-
31 σομαι. Ὁ θεὸς (2) καὶ πατὴρ τοῦ Κυρίου Ἰησοῦ
Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας,
32 ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα
τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν,
33 πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχα-
λάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας
αὐτοῦ.

Οὐδαμοῦ περὶ σημείων λέγει· ἐκεῖνα γὰρ θεοῦ δῶρον ἦν·

(1) « Ἐπισύστασις, ἡ μανιώδης ἔφοδος, καὶ ἡ ἐπανάστασις, ἣν ποιοῦνται κατ' ἐμοῦ καθ' ἑκάστην οἱ ὄχλοι κοινῇ γνώμῃ. » Θεοφύλακτος.
« Ἐπισύστασις, ἡ κατ' ἐμοῦ ἐν τῷ αὐτῷ τῶν διωκτῶν ἐπίθεσις. » Σχόλιον ἀρχαῖον. (2) « Πάλιν τὸ, Θεὸς, διέλωμεν τοῦ, Πατὴρ· ἡμῶν γὰρ θεὸς· τοῦ δὲ Κυρίου πατήρ. » Θεοδώρητος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα δὲ μετὰ τῆς τοῦ θεοῦ ῥοπῆς καὶ τὴν ἀπ' αὐτοῦ ὑπομονὴν ἐδείκνυ. *Ἀσθένειαν* δὲ καλεῖ τοὺς διωγμοὺς καὶ τοὺς πειρασμούς· ταῦτα γὰρ ἀσθένεια τῆς ἀνθρωπίνης φύσεως, τὸ λιμώττειν, τὸ ναυαγεῖν, τὸ πλήττεσθαι, καὶ τἄλλα πάντα πάσχειν. *Ἤ, ἀσθένειαν* καλεῖ, τὴν διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων γινομένην αὐτῷ θλῖψιν· σκανδαλιζόμενοι γὰρ καὶ ἀσθενοῦντες, ἔθλιβον αὐτόν· οὗτος ὁ ἀποστολικὸς χαρακτήρ· διὰ τούτων ὑφαίνετο τὸ εὐαγγέλιον. *Ὁ θεὸς καὶ πατήρ.*] Ἐπ' οὐδενὶ τῶν προτέρων διαβεβαίωσίν τινα ποιησάμενος, ἐνταῦθα διαβεβαιοῦται καὶ πιστοῦται· ἴσως διότι τοῦτο ἀρχαιότερον ἦν καὶ ἀδηλότερον· τἄλλα δὲ καὶ αὐτοῖς γνώριμα, οἷον, ἡ μέριμνα, καὶ τὰ λοιπά. *Ἐν Δαμασκῷ ὁ ἐθνάρχης.*] Θέα τὸν πόλεμον, ὅσος, εἴγε δι' αὐτὸν ὁ ἄρχων ἐφρούρει τὴν πόλιν· εἰ δὲ μὴ πολὺς ἔπνει κατὰ τῶν ἀντιδιατιθεμένων ὁ Παύλου ζῆλος, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐθνάρχην μανίαν, ὡς καὶ τὴν πόλιν φρουρεῖν δι' αὐτόν. *Ἀρέτα τοῦ βασιλέως.*] Πενθερὸς Ἡρώδου ἦν ὁ Ἀρέτας. *Καὶ διὰ θυρίδος ἐν σαργάνῃ.*] Ἐξέφυγε, δεσποτικὸν νόμον πληρῶν· καὶ γὰρ καὶ ὁ Κύριος μεθίστατο ἐκ τόπου εἰς τόπον. Ὅθεν οὐκ ἐπιῤῥίπτει ἑαυτὸν τοῖς πειρασμοῖς· ἀλλ' ἔνθα καὶ δι' ἀνθρωπίνης μηχανῆς ἔνι φυγεῖν, οὐ παραιτεῖται· ἐφύλαττε γὰρ ἑαυτὸν τῷ κηρύγματι, καὶ τῆς σωτηρίας ἐκήδετο τῶν μαθητῶν μᾶλλον, ἢ τῆς οἰκείας· διὸ καὶ ἀλλαχοῦ φησι· Καλόν μοι τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς (α). *Σαργάνη* δὲ ἐστι σχοινίον· ἔστι δὲ καὶ εἶδος σπυρίδος (1).

ΚΕΦ. XII, 1 Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. 2 Οἶδα ἄνθρωπον ἐν Χριστῷ, πρὸ ἐτῶν δεκατεσσάρων,

(α) Φιλιπ. Α', 23. 24.

(1) « Ἔστι σαργάνη, ἀπὸ σχοινίου πλεγμάτιον εἰς ὑποδοχὴν ἰχθύων. » Ἐτυμ. μέγα· «Σαργάνη· οἱ μὲν, σχοινίον τι· οἱ δὲ, πλέγμά τι ἐκ σχοινίου. » Σουΐδας.—Σαργάνη, τουτέστι, σπυρίς. Πραξ. Θ', 25. « Καθῆκαν τὸν Παῦλον διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ θεὸς οἶδεν·) ἁρπαγέντα τὸν τοι-
3 οῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώμα-
4 τος, οὐκ οἶδα· ὁ θεὸς οἶδεν·) ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι.] Καίτοι πολλὰ εἰπὼν ἄνω, πῶς ὧδε φησὶν, οὐ *συμφέρει μοι*; Ἐπειδὴ εἰς ἕτερον εἶδος καυχήσεως ἤρχετο, ὅπερ αὐτὸν ἐποίει λαμπρὸν, τὸ τῶν ἀποκαλύψεων. Φησὶν οὖν, ὅτι *οὐ συμφέρει μοι* τοῦτο, ἵνα μή με εἰς ἀπόνοιαν ἐπάρῃ. Ἄλλως δὲ οὐ τὰ παρ' αὐτῷ μένοντα, ἀλλὰ τὰ εἰς ἑτέρους ἐκφερόμενα, φυσᾷν εἴωθεν· οὐχ ὅτι αὐτὸς τοιοῦτόν τι πάσχειν ἔμελλεν, ἄπαγε! ἀλλὰ παιδαγωγῶν ἡμᾶς, παρ' ἑαυτοῖς τὰ τοιαῦτα κατέχειν, ὡς τῆς διηγήσεως εἰς ἀπόνοιαν ἄραι δυναμένης (1). — ΑΛΛΩΣ. *Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι.*] Ἀντὶ τοῦ, Καυχᾶσθαι δὴ ἄλλα παρὰ τὰ τῆς ἀσθενείας μου, οὐ συμφέρει μοι. Εἶπε γὰρ πρὸ μικροῦ· *Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.* Εἶτα, θεὶς μεταξὺ τῆς ἀσθενείας παράδειγμα, ἐπάγει ἀποδιδοὺς πρὸς τὸ εἰρημένον, οἷον· Ἃ δὲ οὐκ ἔστιν ἀσθενείας, ἀλλὰ μᾶλλον ὕψους καὶ δυνάμεως, ταῦτα οὐ συμφέρει μοι καυχᾶσθαι. Πῶς οὖν καὶ ταῦτα λέγεις; Οὐκ ἐβουλόμην, φησὶ· διὰ δὲ τὴν ὑμῶν σωτηρίαν, καὶ ἃ μὴ βούλομαι ἀναδέχομαι. Καὶ σκόπει, πῶς πανσόφως διαιτᾷ! Οὐ σιωπᾷ παντελῶς, ἵνα ὠφελήσῃ· καὶ οὐ λέγει ἀνακεκαλυμμένως, ἀλλ' ἔν, καὶ τοῦτο συνεσκιασμένως, ἵνα φύγῃ τὸ καυχᾶσθαι, καὶ τότε ἀνάγκης αὐτῷ τῆς ἀπὸ τῶν ψευδαποστόλων ἐπικειμένης, παιδεύων διὰ τούτου ἡμᾶς, μη-

(1) « . . . . εἰς ἀπόνοιαν ἐπάρῃ. Τί δέ; ἐὰν μὴ εἴπῃς, οὐκ οἴδας ὅμως αὐτά; Ἀλλ οὐχ ὁμοίως ἐπαιρόμεθα αὐτοὶ εἰδότες αὐτὰ, καὶ εἰς ἀλλήλους ἐκφέροντες. Ταῦτα δὲ λέγει, οὐχ ὡς αὐτὸς μέλλων παθεῖν τι τοιοῦτον· ἀλλ' ἡμᾶς παιδεύων, τὰ τοιαῦτα παρ' ἑαυτοῖς κατέχειν. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲν μέγα περὶ ἑαυτῶν λέγειν, κἂν ἀληθὲς ᾖ, εἰ μὴ ἐκ πολλῆς ἀνάγκης. Ἤ, *οὐ συμφέρει μοι*· ἵνα μή τις μείζονα τῆς ἀξίας ἔννοιαν λάβῃ περὶ ἐμοῦ, ἵνα μή τίς με νομίσῃ ὑπὲρ ὃ βλέπει με, ὅπερ καὶ παρακατιὼν φησί· *Μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ* (Φωτίου).—*Ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.*] Μεγάλη μὲν καὶ ἣν λέγει ἀποκάλυψιν· πλὴν πολλὰς εἰπεῖν ἔχων, μίαν ταύτην εἴρηκεν. Ὅτι δὲ εἶχε πολλὰς εἰπεῖν, παρακατιών φησι· *Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων.* Διὰ τοῦτο δὲ αἰνιγματωδῶς αὐτὴν τέθεικεν, ἵνα δείξῃ, ὅτι ἄκων λέγει (1). *Οἶδα ἄνθρωπον ἐν Χριστῷ.*] Τὸ, *ἐν Χριστῷ*, προσέθηκεν, ἵνα μὴ εἴπωσιν οἱ ψευδαπόστολοι· (οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον·) ὅτι διὰ δαιμόνων ἐπήρθη, ὡς ὁ Σίμων (2). *Πρὸ ἐτῶν δεκατεσσάρων.*] Οὐκ ἀκαίρως ὁ χρόνος πρόσκειται, ἀλλὰ δυοῖν ἕνεκεν, τοῦ τε δεῖξαι, ὡς, σιγήσας δεκατέσσαρα ἔτη, οὐδὲ νῦν ἂν εἶπε, μὴ σφόδρα βιασθείς· (ἐπειδὴ γὰρ μέγα τι ἐδόκουν οἱ ψευδαπόστολοι εἶναι, καὶ εἴλκυσαν πάντας πρὸς ἑαυτούς, λοιπὸν ἠναγκάσθη δεῖξαι, ὅτι μείζων ἐστὶν ἐκείνων, ἵνα πείσῃ αὐτοὺς τοῖς αὐτοῦ προσέχειν λόγοις·) τοῦ τε αἰνίξασθαι, ὡς ὁ πρὸ δεκατεσσάρων ἐτῶν τηλικούτων ἀξιωθείς, πηλίκος νῦν ἐστι μετὰ τοσούτους ὑπὲρ Χριστοῦ πόνους; *Εἴτε ἐν σώματι.*] Τὸ, *Εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα*, δεύτερον ἔφη, οὐχ ὡς ἄν τις οἰηθείη περιττολογῶν, καὶ ἐπὶ τῆς αὐτῆς ἁρπαγῆς ἄμφω τιθείς· ἀλλὰ τὸ μὲν, τίθησιν ἐπὶ τῆς πρὸς οὐρανοὺς ἁρπαγῆς· τὸ δὲ πάλιν, ἐπὶ τῆς ἐκεῖθεν ἁρπαγῆς εἰς τὸν παράδεισον. Εἰ δὲ καὶ ἐπὶ τῆς αὐτῆς ἁρπαγῆς ἐτίθει, οὐκ ἂν ἦν τοῦτο περιττολογία· παράδοξον γὰρ καὶ ὑπερφυὲς ἀναγγέλλων πρᾶγμα, τὸν τρόπον ἀγνοεῖν διατείνεται μετ' ἐπιμονῆς. *Εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα.*]

---

(1) «Ἴσθι, ὅτι ἡ ἀποκάλυψις πλέον τι ἔχει τῆς ὀπτασίας· ἡ μὲν γὰρ μόνον βλέπειν δίδωσιν· αὕτη δὲ καί τι βαθύτερον τοῦ ὁρωμένου ἀπογυμνοῖ.» Θεοφύλακτος.

(2) Περὶ οὗ Πραξ. Η, 9-24. Ἰδ. Εὐσεβ. ἐκκλησ. ἱστορ. Βιβλ. Β'. Κεφ. ΙΓ'. ΙΔ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μετριάζει, μὴ ἀποκρύψας τὴν ἑαυτοῦ ἄγνοιαν· ἐξῆν γὰρ περὶ τούτου σιωπῆσαι. *Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον.*] Ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ πάλιν ἐκεῖθεν εἰς τὸν παράδεισον. Τί δὲ ὅλως ἡρπάγη; Ἵνα μηδ' ἐν τούτῳ ἔλαττον ἔχῃ τῶν λοιπῶν ἀποστόλων, τῶν συγγενομένων σωματικῶς μετὰ τοῦ Κυρίου. *Εἰς τὸν παράδεισον.*] Πολὺ γὰρ τὸ ὄνομα τοῦ χωρίου τούτου καὶ πανταχοῦ ἥδετο· ὅθεν καὶ τῷ λῃστῇ τοῦτο ὁ Κύριος ἐπηγγείλατο (α). *Ἄῤῥητα ῥήματα.*] Ἴσως γὰρ ἕτερος ἄνθρωπος, πλὴν Παύλου, οὐκ ἐχώρει τοιαῦτα ἀκοῦσαι. *Ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.*] Ἃ τοῖς κατὰ ἄνθρωπον φρονοῦσι, καὶ μηδὲν πνευματικὸν ἔχουσιν, οὐκ ἔξεστι λαλῆσαι. Ἐντεῦθεν δὲ δῆλον, ὅτι ἡ λεγομένη *Παύλου Ἀποκάλυψις*, ψευδεπίγραφος.

5 Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ
6 οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογί-
7 σηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν,
8 ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ'
9 ἐμοῦ· καὶ εἰρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Βλέπε αὐτοῦ τὸ ἄτυφον, πῶς ὡς περὶ ἑτέρου τινὸς ταῦτα διηγεῖται· *ὑπὲρ γὰρ τοῦ τοιούτου*, φησί, *καυχήσομαι*· τοῦτο δὲ ποιεῖ, συσκιάζων τὸν λόγον· ὅτι γὰρ αὐτὸς ἦν ὁ ἁρπαγείς, αἰνίττεται φάσκων· *Ἐὰν γὰρ καυχήσωμαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ*· καὶ ἄνω· *Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι.* Ποῖον δὲ ἀσύμφορον τὸ ὑπὲρ ἄλλου καυχᾶ-

(α) Λουκ. ΚΓ', 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι καὶ ἀληθεύειν; *Ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι.*] Καὶ τίνος ἕνεκεν, ἄλλου ἁρπαγέντος, σὺ καυχᾶσαι; Δῆλον οὖν, ὅτι περὶ σεαυτοῦ λέγεις, εἰ καὶ συνεσκιασμένως. *Εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.*] Οἷον, ἐν ταῖς θλίψεσιν, ἐν τοῖς διωγμοῖς. *Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων.*] Καὶ πῶς ἄνω ἔλεγεν· *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ;* καὶ πάλιν· *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ;* νῦν λέγει· *Ἐὰν θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων;* Καὶ φαμὲν, ὅτι οὐ κατὰ τὸ καυχᾶσθαι εἶπε τὸ, *Οὐκ ἔσομαι ἄφρων,* ἀλλὰ κατὰ τὸ μὴ ψεύσασθαι. Ὅθεν ἐπάγει· *Ἀλήθειαν γὰρ ἐρῶ.* Καλῶς οὖν φησὶν, *Οὐκ ἔσομαι ἄφρων.* Οὐ γάρ ἐστιν ἄφρονος τὸ ἐπὶ σωτηρίᾳ καὶ ὠφελείᾳ ψυχῶν, καὶ ἀνάγκης ἐπικειμένης, τὴν παρὰ θεοῦ παρασχεθεῖσαν αὐτῷ χάριν ἀνακηρύττειν· μᾶλλον δὲ καὶ λίαν ἔμφρονος καὶ φιλανθρώπου τὸ μὴ παριδεῖν καὶ ὑποψίαν οἰήσεως ἕνεκεν σωτηρίας ἀνθρώπων. *Φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται.*] Φείδομαι, ἐλεῶ, ἀποφεύγω. Οὐκ εἶπε δὲ, Μή τις πιστεύσῃ, ἢ εἴπῃ, ἀλλ', ἵνα μηδὲ λογίσηται ἡ ὑπολάβῃ μεῖζόν τι τῆς ἐμῆς ἀξίας. Διὰ τοῦτο γὰρ τὰ περὶ ἑαυτοῦ ἀεὶ ἐσίγα καὶ ἔκρυπτε, καὶ, εἰ μή που ἀνάγκη κατέλαβεν, οὐδὲν περὶ ἑαυτοῦ ἔλεγε· καὶ λέγων δέ τί ποτε, συνεσκίαζεν αὐτὸ, ἵνα μὴ μείζονα ὑπόνοιαν περὶ αὐτοῦ λάβωσιν οἱ ἄνθρωποι. Εἰ γὰρ καὶ θεοὺς αὐτοὺς ἐνόμισαν οἱ ἄνθρωποι διὰ τὸ μέγεθος τῶν σημείων, καὶ ταύρους αὐτοῖς σφάττειν ἤθελον (α), τί ἂν ᾠήθησαν εἰ καὶ τὰς ἀποκαλύψεις ἐφανέρου, καὶ τὰ καθ' ἑαυτὸν ἐκαυχᾶτο; *Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων.*] Τὸ, *Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων,* πρὸς τὸ, *Ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις,* ἐξακουστέον. *Ἵνα μὴ ὑπεραίρωμαι.*] Ἵνα μή, φησι, φρονήσω μέγα· ἢ, Ἵνα μὴ ὑπὸ τῶν ἀνθρώπων ὑπεραίρωμαι καὶ δοξάζωμαι, ὅπερ καὶ βέλτιον· οὐ

(α) Πραξ. ΙΔ', 11—13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ ἂν ἔχρηζεν ἡ ψυχὴ Παύλου χαλινοῦ τινος πρὸς τὸ μὴ φρονεῖν μέγα (1). *Ἐδόθη μοι σκόλοψ τῇ σαρκί.*] Τὰ δεσμὰ λέγει, τὰς πληγὰς, τοὺς λιθασμοὺς, τὰς φυλακάς. *Ἄγγελος σατᾶν.*] *Ἄγγελος σατᾶν*, ὁ ὑπηρετούμενος τῷ ἀντικειμένῳ δαίμονι ἄνθρωπος· *σκόλοψ* δὲ, οὓς οἱ τοιοῦτοι πειρασμοὺς αὐτῷ καὶ θλίψεις ἐπέφερον. — Τινὲς μὲν οὖν, *σκόλοπα* καὶ *ἄγγελον σατᾶν*, κεφαλαλγίαν τινὰ ἔφησαν αὐτὸν λέγειν, ὑπὸ τοῦ διαβόλου γινομένην. Ἀλλὰ μὴ γένοιτο! οὐ γὰρ ἂν τὸ σῶμα τοῦ Παύλου ταῖς τοῦ διαβόλου χερσὶν ἐξεδόθη· ὁπότε αὐτὸς καὶ ἐπέτασεν αὐτῷ, καὶ ὅρους ἐτίθει, ὅτε τὸν πορνεύσαντα ἐξεδίδου αὐτῷ εἰς ὄλεθρον τῆς σαρκός (α)· καὶ ὑπερβῆναι τούτους οὐκ ἐτόλμησεν ἐκεῖνος. Τί οὖν ἐστι τὸ λεγόμενον; *Σατᾶν* ὁ ἀντικείμενος λέγεται τῇ Ἑβραίων φωνῇ. Καὶ ἐν τῇ Τρίτῃ τῶν Βασιλειῶν, τοὺς ἀντικειμένους οὕτως ἐκάλεσεν ἡ Γραφή· καὶ περὶ Σολομῶντος διηγουμένη, φησίν· Οὐκ ἦν σατᾶν ἐν ταῖς ἡμέραις αὐτοῦ (β)· τουτέστιν, ἀντικείμενος, πολεμῶν, ἢ ἐνοχλῶν. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· Οὐκ εἴασεν ὁ θεὸς προχωρῆσαι τὸ κήρυγμα, τὸ φρόνημα καταστέλλων ἡμῶν· ἀλλὰ συνεχώρησε τοῖς ἀντικειμένοις ἐπιτίθεσθαι ἡμῖν. Τοῦτο μὲν γὰρ ἱκανὸν ἦν κατασπᾶσαι τὸ φρόνημα· ἐκεῖνο δὲ οὐκέτι, τὸ τῆς κεφαλαλγίας. Ἄγγελον τοίνυν σατᾶν λέγει, Ἀλέξανδρον τὸν χαλκέα, τοὺς περὶ τὸν Ὑμέναιον καὶ Φιλητὸν, τοὺς τὴν ἀνάστασιν λέγοντας ἤδη γεγονέναι (γ), καὶ πάντας τοὺς ἀντικειμένους τῷ λόγῳ τοῦ κηρύγματος· ἐπειδὴ τὰ τοῦ σατᾶν ἔπραττον (1).—Φησὶν οὖν, ὅτι οὐκ εἴασεν ὁ θεὸς ἀπαντητὶ προβῆναι τὸ κήρυγμα, ἀλλὰ συνεχώρησεν ἡμᾶς πάσχειν εἰς τὸ σῶμα κακῶς, ἵνα μὴ μεῖζόν τι

---

(1) « Τὸ, Ἵνα μὴ ὑπεραίρωμαι, τινὲς ἐνόησαν ἀντὶ τοῦ, Ἵνα μὴ ὑπὸ τῶν ἀνθρώπων δοξάζωμαι. Ἀλλ' οὐ τοῦτο λέγει ὁ Παῦλος ἐντεῦθα, εἰ καὶ ἀνωτέρω εἶπεν· ἀλλ' αὐτὸ τοῦτο, ἵνα μὴ κενοδοξῶ, φησὶν· ἄνθρωπος γὰρ ἦν καὶ αὐτός. » Θεοφύλακτος. (α) Α' Κορ. Ε', 5. (β) Γ' Βασιλ. Ε', 4. ΙΛ', 14. 23, 25. (γ) Α' Τιμ. Α', 20. Β' Τιμ. Β', 17. Δ', 14.

(1) Χρυσόστομ. Τομ. Γ'. Σελ. 620. D.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ ἡμῶν λογίσωνται καὶ διατεθῶσιν οἱ ἄνθρωποι, ὁρῶντες μὲν σημεῖα τοσαῦτα, οὐδαμοῦ δὲ πειρασμὸν ἢ τι τῶν ἐναντίων. Διὰ τι δὲ οὐκ εἶπεν, *Ἄγγελοι σατᾶν* ἐδόθησαν· (πολλοὶ γὰρ οἱ ἀνθιστάμενοι·) ἀλλ' ὡς ἐφ' ἑνὸς φησὶν, *Ἄγγελος σατᾶν*; Ἐπειδὴ κατὰ τόπον εἷς τις εὑρίσκετο ὁ ἀντιπίπτων ἴσως, καὶ τὸν δῆμον ὑποκινῶν, οὗ προκαταρχομένου, καὶ οἱ λοιποὶ συνείποντο (1).—*Ἵνα με κολαφίζῃ.*] Οὐκ εἶπεν, *ἵνα με κολαφίσῃ*, ἀλλὰ τὸ ἀεὶ ἔχειν τὸν ἀνθεστῶτα δηλῶν, *ἵνα με κολαφίζῃ*, εἶπεν. *Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα.*] *Τρὶς*, ἀντὶ τοῦ, πολλάκις. Καὶ τοῦτο δὲ ταπεινοφροσύνης, τὸ ὁμολογῆσαι, ὅτι οὐκ ἔφερε ῥᾳδίως τὰς ἐπιβουλὰς καὶ τὰς θλίψεις, καὶ διὰ τοῦτο πολλάκις παρεκάλεσεν. *Ἀρκεῖ σοι ἡ χάρις μου.*] Τὸ τέλειον, φησὶν, ἔχεις· μὴ ζήτει πλέον. Ἀρκεῖ σοι γάρ, φησιν, ὅτι τοιαύτην ἔδωκά σοι χάριν, νεκροὺς ἐγείρειν, δυνάμεις ἐπιτελεῖν· μὴ ζήτει καὶ τὸ κήρυγμα ἀκίνδυνόν σοι προβαίνειν· περιττὸν γάρ ἐστι τοῦτο· ὃ δὲ ἀρκεῖ σοι, ἔλαβες. *Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.*] Ἀλλ' ἴσως ἀλγεῖς, φησιν, ὦ Παῦλε, μὴ δόξῃ τὸ σὲ ταῦτα πάσχειν ἀσθένειαν ἐμοῦ κατηγορεῖν. Τοῦτο μὲν οὖν αὐτὸ μᾶλλον δείκνυσί μου τὴν δύναμιν, τὸ δὲ ἐναντίον καὶ ὑποτέμνεται αὐτῆς. Τότε γὰρ τελεώτερον μᾶλλον διαφαίνεται ἡ δύναμίς μου, ὅταν διωκόμενοι, τῶν διωκόντων περιγίνησθε, ὅταν ἐλαυνόμενοι, τῶν ἐλαυνόντων κρατῆτε· τότε ἡ δύναμίς μου διαδείκνυται, ὅταν, ὑμῶν ἀσθενούντων τῷ πάσχειν κακῶς, πανταχοῦ κρατήσῃ τὸ κήρυγμα. Καὶ ὅρα· Ἄλλην μὲν αὐτὸς αἰτίαν εἶπε τοῦ δεδόσθαι τὸν κολαφισμὸν αὐτῷ· Ἵνα γάρ, φησι, *μὴ ὑπεραίρωμαι*· ὁ δὲ θεὸς ἄλλην εἶπεν αἰτίαν· Ὑπὲρ τοῦ δειχθῆναι, φησὶ, τὴν δύναμίν μου διὰ τῆς δοκούσης ἀσθενείας ὑμῶν·

---

(1) Ὁ Θεοφύλακτος προστίθησιν ἐνταῦθα· «ἢ, ὅπερ καὶ βέλτιον, αὐτὸ τὸ πρᾶγμα, ἤτοι, τὴν πρὸς τὸ κήρυγμα ἀντίθεσιν, καὶ τῶν κινδύνων τὴν ἐπιφοράν, ἄγγελον σατᾶν ὠνόμασε. Παρὰ τίνος δὲ ἐδόθη; Παρὰ τοῦ θεοῦ, φησι, συνεχωρήθη· τοῦτο γὰρ τὸ, ἐδόθη.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέλος γὰρ καὶ πέρας ἡ δύναμίς μου λαμβάνει ἐκ τῆς ὑμῶν ἀσθενείας· εἰ γὰρ διά τινων σοφιστῶν ἢ βασιλέων διηκονεῖτο τὸ κήρυγμα, κἂν τῇ δυνάμει τῶν διακόνων ἔδωκέ τις τὴν ἁπάντων ὑποταγήν· νῦν δὲ ἡ τῶν διακονούντων ἀσθένεια, τὴν τοῦ θεοῦ διαδείκνυσι δύναμιν, καὶ τελειοῖ αὐτὴν, τουτέστι, τὸ τέλειον αὐτὴν ἔχειν δείκνυσιν. *Ἥδιστα οὖν μᾶλλον καυχήσομαι.*] Ἵνα μὴ νομίσωσιν, ὀλοφυρομένου εἶναι ταῦτα τὰ ῥήματα, φησίν· *Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου.* Διὰ τί; Ὅτι ἡ ἀσθένειά μου, καὶ τὴν τοῦ θεοῦ δείκνυσι δύναμιν, καὶ ἐμὲ λαμπρότερον ποιεῖ, ὥσπερ σίδηρον στομοῦσα τοῖς διωγμοῖς· ὡς εἰ εἶπεν· Ἐγὼ μὲν τὸ ἐναντίον ἤτουν· ἀλλ' ἐπειδὴ ταῦτα ἤκουσα παρὰ θεοῦ, ἡδύτερον ἐν ταῖς ἀσθενείαις καυχῶμαι. *Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.*] Ὅσῳ γὰρ τὰ τῶν πειρασμῶν ἐπιτείνεται, τοσούτῳ τὰ τῆς χάριτος αὔξεται. *Ἐπισκηνώσῃ* δὲ, τουτέστιν, ὅλη ἐν ὅλῳ κατοικήσῃ.

10 Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ· ὅταν
11 γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. Γέγονα ἄφρων, καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. Ἐγὼ γὰρ ὤφειλον, ὑφ' ὑμῶν συνίστασθαι· οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδὲν εἰμι.
12 Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.

Διὸ εὐδοκῶ.] Ἐπεθύμουν, φησὶν, ὡς ἄνθρωπος, ἀπαλλαγῆναι τῶν δεινῶν· ἐπεὶ δὲ ἤκουσα, ἃ ἤκουσα, ἔκτοτε καὶ καυχῶμαι, καὶ *εὐδοκῶ*, τουτέστιν, ἐπευφραίνομαι, εὐαρεστοῦμαι ἐν ἀσθενείαις (1). Εἶτα, ἵνα μή τις νομίσῃ σωματικὴν ἀσθένειαν λέγειν αὐτὸν, οἷον πυρετὸν, ἢ ἑτέραν περίοδον νοσήματος, φησίν· *Ἐν*

(1) « Καὶ οὐκ εἶπεν, Ὑπομένω, ἀλλ', Εὐδοκῶ, τουτέστι, χαίρω, εὐφραίνομαι, μετ' εὐθυμίας δέχομαι τὰ προσπίπτοντα· ἡ γὰρ δοκοῦσα ἀσθένεια τὴν ἀληθῆ μοι δύναμιν προξενεῖ. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ· ταῦτα γὰρ ἀσθένειαν καλεῖ. Ταῦτα δὲ καὶ τοὺς ψευδαποστόλους καταισχύνει, ἐπὶ τοῖς ἐναντίοις καυχωμένους, ὡς ἀντιθέους· καὶ τοὺς μαθητὰς πείθει, μὴ αἰσχύνεσθαι τοῖς τοῦ διδασκάλου πάθεσι· λαμπρὰ γὰρ πάντα καὶ ἡδέα τὰ τοιαῦτα, Χριστὸν ἔχοντα τοῦ πάσχειν ὑπόθεσιν. *Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.*] Ὅτε γὰρ ἐβλήθη εἰς τὸ δεσμωτήριον, τότε τὰ θεμέλια αὐτοῦ κλονηθῆναι πεποίηκεν· ὅτε ναυαγήσας εἰς τὴν βάρβαρον ἐξεῤῥίφη, τότε μᾶλλον ἐδοξάσθη· ὅτε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, τότε μάλιστα καὶ τοῦ δικαστοῦ περιγέγονε καὶ τῶν κατηγόρων (α). Ὁρᾷς οὖν ὅτι, *ὅτε ἠσθένει*, τουτέστιν, ἐν κινδύνοις ἦν καὶ ὕβρεσι καὶ πληγαῖς, τότε δυνατὸς ἦν καὶ λαμπρός; *Γέγονα ἄφρων, καυχώμενος.*] Ὦ ταπεινοφροσύνης ὑπερβολή! Τὰ οὕτω παράδοξα διελθών, ὧν οὐκ ἦσαν ἄξιαι αἱ τῶν ἀνθρώπων ἀκοαί, ἄφρονα ἑαυτὸν καλεῖ. *Ὑμεῖς με ἠναγκάσατε.*] Πῶς ἡμεῖς σε ἠναγκάσαμεν; εἴποιεν ἄν. Τῶν ψευδαποστόλων καυχωμένων, φησὶν, εἰ μὴ προσείχετε τοῖς τούτων λόγοις καὶ ἀπόλλυσθε, οὐκ ἂν εἰς ταῦτα ἦλθον τὰ ῥήματα. Ὁρᾷς, ὅτι τὴν ἀνάγκην τῆς καυχήσεως ἐποίησεν ἡ τούτων ἀπώλεια; Μέγα γάρ τι τοὺς ψευδαποστόλους ἡγούμενοι, νάθα παρ' αὐτῶν καὶ διεστραμμένα ἔμαθον *δόγματα*. — ΑΛΛΩΣ. *Γέγονα ἄφρων*, ταῦτα εἰπών. Οὐ κατὰ ἀπόφασιν δὲ τοῦτο λέγει· (οἶδε γὰρ αὐτὸς, μηδὲν ἄφρονος εἰπών·) ἀλλὰ τοῦτό φησιν, ὡς κατ' ἐρώτησιν καὶ ἐπαπόρησιν πρὸς αὐτούς· ὡς εἰ ἔλεγεν· Ἆρα ταῦτα διεξελθὼν, ἄφρων ὑμῖν ἔδοξα; Καὶ τούτου ἡ αἰτία εἰς ὑμᾶς ἀνατρέχει· αὐτοὶ γάρ με ἠναγκάσατε, τοὺς ψευδαποστόλους οἰκειούμενοι.— *Ἐγὼ γὰρ ὤφειλον, ὑφ' ὑμῶν συνίστασθαι.*] Ὑμᾶς γάρ, φησιν, ἔδει τῶν ἐμῶν ἀντιποιεῖσθαι καὶ λόγων καὶ ὑπολήψεων· ὑμῶν δὲ ἐκείνοις προσεχόντων, εἰς τούτους ἐλθεῖν ἠναγκάσθην τοὺς λόγους

(α) Πραξ. Ις', 26. ΚΗ, 6. ΚΕ, 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τὴν ὑμῶν σωτηρίαν. *Οὐδὲν γὰρ ὑστέρησα.*] Ἀνωτέρω μὲν μετὰ ἐνδοιασμοῦ φησί· *Λογίζομαι, μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων* (α)· νυνὶ δὲ ἀποφαντικῶς, *Οὐδὲν ὑστέρησα*, οὐδὲν ἐνέλιπον, ἢ κατόπιν ἦλθον τῶν μεγάλων ἀποστόλων, τῶν περὶ Πέτρον. Εὐκαίρως δὲ ἐπὶ τοὺς ἀποστόλους ἦλθε, δεικνὺς, ὅτι οὐ μόνον τῶν ψευδαποστόλων ἐστὶ κρειττων, ἀλλὰ καὶ τῶν ἀποστόλων ἴσος. *Εἰ καὶ οὐδέν εἰμι.*] Ὥσπέρ τι μέγα εἰρηκὼς καὶ ὑπερβαῖνον αὐτοῦ τὴν δύναμιν, διορθοῦται αὐτό. Οὐκ εἶπε δὲ, Εὐτελής εἰμι, ἀλλὰ, τὸ πολὺ ἧττον, *Οὐδέν εἰμι. Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν.*] Ἐγὼ μέν, φησιν, οὐδέν εἰμι· σὺ δὲ μὴ τοῦτο ἴδῃς, εἰ οὐδέν εἰμι· ἀλλὰ πρόσχες, εἰ μὴ πάντα, ὅσα χαρακτηρίζει τὸν ἀπόστολον, ἐπετέλεσα. Ὑμεῖς γὰρ μάρτυρες, ὅτι πάντα ἐποίησα. *Ἐν πάσῃ ὑπομονῇ.*] Ὑμεῖς, φησι, τῶν λόγων μάρτυρες· δεῖγμα δὲ ἀποστόλου μάλιστα τὸ φέρειν πάντα γενναίως. Ὅρα δὲ ὅτι, τὸ μὲν τῆς ὑπομονῆς, ὅπερ ἦν αὐτοῦ ἀρετὴ, μιᾷ λέξει τέθεικε· τὰ δὲ τῶν σημείων, ἅπερ οὐκ ἦν αὐτοῦ, ἀλλὰ χάριτος θεοῦ, διὰ πλειόνων ἐξηγήσατο. Ὅμως σκόπει τὸ ταπεινὸν Παύλου! Πόσα δεσμωτήρια, πόσας πληγὰς, πόσους κινδύνους, πόσας ἐπιβουλὰς, πόσας νιφάδας πειρασμῶν, πόσους πολέμους, ἐμφυλίους τε καὶ ἐξωτικοὺς, μιᾷ λέξει, τῇ τῆς ὑπομονῆς, αἰνιξάμενος παρέδραμεν! *Ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.*] Ὅρα δὲ καὶ ἐνταῦθα! Πόσους νεκροὺς ἐγερθέντας, καὶ τυφλοὺς ὀμματωθέντας, καὶ λεπροὺς καθαρισθέντας, καὶ δαίμονας ἐλαθέντας ἡνίξατο εἰπών, *Ἐν σημείοις, καὶ τέρασι, καὶ δυνάμεσι*, τῶν τριῶν ἔν τι δηλούντων.

13 Τί γάρ ἐστιν, ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν;
14 Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. Ἰδοὺ, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ κα-

(α) Β'. Κορ. ΙΑ'. 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. Οὐ γὰρ ὀφείλει τὰ τέκνα, τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς, τοῖς τέκνοις.

Ἵνα μή τις αὐτῷ εἴπῃ, ὅτι μέγας μὲν εἶ, ὅμως οὐ τοσαῦτα εἰργάσω, ὅσα ἐν ταῖς ἄλλαις ἐκκλησίαις οἱ λοιποὶ ἀπόστολοι, φησί· *Τί γάρ ἐστιν, ὃ ἡττήθητε;*] Τουτέστι· Τί ἔλαττον ἔχετε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; μὴ ἐλάττονος ἐτύχετε χαρίσματος παρὰ τοὺς λοιπούς; *Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν;*] Πληκτικῷ λόγῳ κέχρηται. Εἰ μὴ ἆρά τις τοῦτό μοι ἐγκαλέσει ὅτι, ὅταν ἐπιχωριάζω ὑμῖν, καὶ παρών εἰμι, παντὶ σθένει κήδομαι τῆς σωτηρίας ὑμῶν, καὶ ἀπὼν δι' ἐπιστολῶν ὁδηγῶ πρὸς τὰ πρακτέα, καὶ οὐδὲν πρὸς ἕντι τῶν ὑμῖν συμφερόντων ἐρράθύμησα, ἀπών τε καὶ παρών; Εἰ διὰ τοῦτο ἀδικῶ, *χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην*, καὶ σύγγνωτέ μοι ἀδικοῦντι (1). — Εἰ μὴ ὅτι αὐτὸς οὐκ ἐνέδωκα, πάντα πράττων χάριν ὑμῶν, οὐδὲ κατωλιγώρησα ὑμῶν, μὴ τοῦτο ἠττήθητε; μὴ τοῦτο ἀδικίαν νομίζητε; Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.— *Ἰδού, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν.*] Δεύτερον, φησίν, ἦλθον· ἰδού, τρίτον παρεσκεύασμαι ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐν οὐδενὶ τῆς ὑμῶν ἀμελήσω σωτηρίας. Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι δεῖ πάντως αὐτὸν ἐρχόμενον, νῦν γοῦν τραφῆναι παρ' αὐτῶν, μάλιστα ἐπειδὴ καὶ περὶ τούτου πολλῷ διεξελήλυθεν ἐν τοῖς ἔμπροσθεν, ἐντεῦθεν ἤδη προαναιρεῖ ταύτην τὴν ὑπόνοιαν, λέγων· *Οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς.*] Τουτέστιν· ὑμᾶς θέλω, οὐ τὰ ὑμῶν· καὶ ὑμᾶς ἀγαπῶ, οὐ τὰ ὑμῶν· ἤτοι, τὴν ὑμετέραν σωτηρίαν, καὶ τὰς ψυχάς, οὐ τὰ χρήματα ὑμῶν, ὥσπερ οἱ ψευδαπόστολοι. Εἶτα καὶ ἀπὸ τοῦ κοινοῦ λογισμοῦ καὶ τῆς φύσεως πιστοῦται τὸν λόγον, ἑαυτὸν μὲν ἐν τάξει πατρός, ἐκείνους δὲ ἐν τάξει τέκνων τιθέμενος· *Οὐ γάρ*, λέγων, *ὀφεί-*

(1) « Μετὰ βαρύτητος πολλῆς ἐπιτιμᾷ, καί φησιν, ὅτι, εἰ τοῦτο ἐγκαλεῖτε μοι, ὅτι οὐκ ἐβάρησα ὑμᾶς, ἀλλ' ἀδαπάνως ὑμῖν ἐκήρυξα, συγγνώμην αἰτῶ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λει τὰ τέκνα, τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς, τοῖς τέκνοις.

15 Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι
ὑπὲρ τῶν ψυχῶν ὑμῶν, εἰ καὶ, περισσοτέρως ὑμᾶς
16 ἀγαπῶν, ἧττον ἀγαπῶμαι. Ἔστω δὲ· ἐγὼ οὐ κα-
τεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ
17 ὑμᾶς ἔλαβον. Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς,
18 δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; Παρεκάλεσα Τίτον,
καὶ συναπέστειλα τὸν ἀδελφόν· μή τι ἐπλεονέκτησεν
ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσα-
μεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι;

Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι.] Ἐγὼ δέ, πατρὸς ἐπέχων εἰς ὑμᾶς τάξιν, οὐ μόνον οὐ λήψομαι ἀφ' ὑμῶν, ἀλλὰ καὶ παρέξω· τοῦτο γάρ ἐστι τὸ, *δαπανήσω*· καὶ οὐ χρήματα δαπανήσω, ἀλλ' αὐτὸν ἐμὲ καὶ τὴν ἐμαυτοῦ σάρκα· τοῦτο γὰρ τὸ, *ἐκδαπανηθήσομαι*· τουτέστι, κἂν τὴν σάρκα δέοι δαπανῆσαι ὑπὲρ τῆς σωτηρίας τῶν ψυχῶν ὑμῶν, οὐ φείσομαι αὐτῆς. *Εἰ καὶ, περισσοτέρως ὑμᾶς ἀγαπῶν.*] Καὶ ταῦτα ποιῶ, φησίν, ὑπὲρ τῶν λίαν μὲν φιλουμένων, ἧττον δὲ ἀγαπώντων.—Ὅρα δὲ, πόσους βαθμοὺς ὑπερβολῆς ἔχει τὰ κατὰ τὸν Παῦλον. Ἔδει λαβεῖν, τοῦ Χριστοῦ τοῦτο κελεύσαντος, καὶ οὐκ ἔλαβεν· ἰδοὺ, πρῶτον κατόρθωμα. Καὶ ὑστερούμενος· ἰδοὺ, δεύτερον. Καὶ αὐτοῖς κηρύσσων· ἰδοὺ, τρίτον. Καὶ οὐ μόνον οὐ λαμβάνει, ἀλλὰ καὶ τὴν σάρκα, εἰ δέοι, προσδίδωσι, τέταρτον. Εἶτα σὺν τῇ σαρκὶ, καὶ τὴν ψυχὴν αὐτήν, πέμπτον. Καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτὸν, ἕκτον. Καὶ οὐδὲ τὸ ἀγαπῶντα μὴ ἀγαπᾶσθαι ἐγκοπήν τινα ποιεῖ, ἕβδομον.—*Ἔστω δέ· ἐγὼ οὐ κατεβάρησα ὑμᾶς.*] Κατ' ἐρώτησιν προάγει τὸν λόγον, καί φησι· Τοῦτο ὁμολόγηται, ὅτι ἐγὼ οὐ κατεβάρησα ὑμᾶς ἐν τῷ λαβεῖν τι· *ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον*· τουτέστι, δόλῳ ὑμᾶς μετῆλθον, μετεχειρισάμην. *Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς;*] Καὶ ἐγὼ μὲν αὐτοπροσώπως οὐδὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴληφα· ἆρα μὴ διὰ μέσου τινῶν τοῦτο ἔπραξα, πέμψας τινὰς καὶ δι' αὐτῶν λαβών; Οὐ μὲν οὖν· οἱ γὰρ ἐλθόντες πρὸς ὑμᾶς, τοῖς ἐμοῖς ἴχνεσιν ἠκολούθησαν. Ὅρα δὲ· *πλεονεξίαν* καλεῖ τὸ παρὰ ἀκόντων λαβεῖν· καὶ αὐτοῖς δὲ ἠρέμα ὀνειδίζει, ὡς καὶ αὐτῶν πλεονεκτεῖσθαι ἡγουμένων, εἰ θρέψουσι Παῦλον (1). *Παρεκάλεσα Τίτον.*] Καὶ τοῦτο ὀνειδιστικῶς· οὐ γὰρ, ἔπεμψά, φησιν, ἀλλὰ, *παρεκάλεσα*· δεικνὺς ὅτι, εἰ καὶ εἴληφεν, δικαίως ἂν ἔλαβεν· οὐ γὰρ αὐτομάτως, ἀλλὰ κατὰ παράκλησιν ἦλθεν· ἀλλ' ὅμως καὶ οὕτω καθαρὸς ἔμεινεν. Ἦν δὲ καί τινα ἄλλον ἀδελφὸν τῷ Τίτῳ συναποστείλας. *Οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν;*] Τουτέστιν· Οὐ τῇ αὐτῇ χάριτι, ᾗ καὶ ἐγώ; Τοῦτο λέγει *πνεῦμα*, ἤγουν, χάρισμα πνευματικόν· χάρισμα γὰρ καλεῖ τὸ στερούμενον μὴ λαβεῖν. Ὅρα δὲ, πῶς τὰ οἰκεῖα κατορθώματα τῷ θεῷ ἀνατίθησιν. *Οὐ τοῖς αὐτοῖς ἴχνεσι;*] Τουτέστιν, οὐδὲ μικρὸν παρήλλαξαν ἐκεῖνοι τὴν ἐμὴν ὁδόν· ἀλλὰ τὴν αὐτὴν ἀκρίβειαν ἐπεδείξαντο. Ὅρα δὲ, πῶς οὐ μόνον αὐτὸς οὐκ εἴληφεν, ἀλλὰ καὶ τοὺς ἀποσταλέντας ἔπεισε μὴ λαβεῖν.

19 Πάλιν δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα; Κατενώπιον τοῦ θεοῦ, ἐν Χριστῷ λαλοῦμεν· τὰ δὲ πάν-
20 τα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς. Φοβοῦμαι γάρ, μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε· μήπως ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυ-
21 σιώσεις, ἀκαταστασίαι· μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν.

Πάλιν *δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα;*] Εἶδες, πῶς παντοχοῦ δέδοικε, μὴ κολακείας δόξαν λάβῃ; εἶδες φρόνησιν ἀπο-

(1) « Πλεονεξίαν δὲ πάλιν καλεῖ τὸ πρᾶγμα, καθαπτόμενος αὐτῶν καὶ ἐντρέπων, καὶ δεικνὺς, ὅτι ἄκοντες ἔμελλον δοῦναι, καὶ ὡς πλεονεκτούμενοι· τοῦτο γὰρ πλεονεξία, τὸ παρ' ἄκοντός τι λαβεῖν· ὅπερ μεγίστη αὐτῶν αἰσχύνη, εἴγε πλεονεκτεῖσθαι ἡγοῦντο τὸν διδάσκαλον τρέφοντες. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στολικὴν, πῶς συνεχῶς αὐτὸ τίθησι; Καὶ γὰρ ἔμπροσθεν ἔλεγεν· Οὐ πάλιν ἑαυτοὺς συνιςάνομεν ὑμῖν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος (α)· καὶ ἐν προοιμίοις τῆς ἐπιςολῆς· Πάλιν ἑαυτοὺς συνιστάνομεν; καί· Εἰ μὴ χρήζομεν συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς (β); *Κατενώπιον τοῦ θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.*] Οὐχ ὑμᾶς οὖν κολακεύοντες, ἢ ὑμῖν ἀπολογούμενοι, ταῦτα λέγομεν· ἀλλ' ὡς ἐνώπιον τοῦ θεοῦ, καὶ ὁρῶντος αὐτοῦ, λαλοῦμεν· *καὶ ἐν Χριστῷ*, οἷον, διὰ τοῦ Χριστοῦ λαλοῦμεν· τὸν δὲ ἐνώπιον τοῦ θεοῦ λαλοῦντα, καὶ διὰ Χριστοῦ φθεγγόμενον, πῶς ἦν δυνατὸν κολακείας ἢ θωπείας ἕνεκεν λαλεῖν; *Τὰ δὲ πάντα, ἀγαπητοὶ, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.*] Οὐ λαλοῦμεν οὖν πρὸς χάριν ὑμῶν, ἢ πρὸς κολακείαν, ἀλλ' ὑπὲρ τοῦ ὑμᾶς οἰκοδομῆσαι καὶ ὠφελῆσαι· ἵνα, τοὺς ψευδαποστόλους φυγόντες, ἡμῖν μόνοις προσέχητε, καὶ τοῖς ἡμετέροις λόγοις. Ἢ, ὅτι διὰ τοῦτο οὐκ ἐλάβομεν, ἵνα μὴ ὑμεῖς, ἀσθενεῖς ὄντες, σκανδαλισθῆτε (1). *Φοβοῦμαι γάρ.*] Ὁρᾷς κηδεμονίαν πατρικήν; Ἄλλοι ἡμάρτανον καὶ Παῦλος φοβεῖται· καὶ οὐδὲ ἀποφαίνεται, ἀλλ' ἐνδοιάζει ἔτι· *Μήπως*, φησὶν, *ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς*· οἷον διεφθαρμένους· καὶ *εὑρεθῶ κἀγὼ κατ' ἀνάγκην ὑμῖν, οἷον οὐ θέλετε*· τουτέστι, τιμωρούμενος καὶ κολάζων τοὺς ἁνίατα νοσοῦντας. *Μήπως ἔρεις, ζῆλοι, καὶ ἔξις.*] Καὶ λοιπὸν λέγει, ὁποίους εὑρεῖν αὐτοὺς οὐκ ἤθελε· μετὰ τούτων, φησὶ, τῶν ἐλαττωμάτων. *Ἔρεις* δέ φησι, διὰ τὸ διεστάναι αὐτούς. *Ἐριθεῖαι.*] Οἷον, ἀψιμαχίαι. *Φυσιώσεις.*] Ὅτι κατ' αὐτοῦ μὲν ὠφρυῶντο, τοὺς δὲ ψευδαποστόλους ἐτίμων (2). *Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ θεός*

(α) Β΄ Κορ. Ε, 12. (β) Β΄ Κορ. Γ΄, 1.

(1) « Οὐκ εἶπε· Διὰ τοῦτο ταῦτα πάντα ἐποίησα, καὶ οὐδὲν ἔλαβον, διότι ὑμεῖς ἐστε ἀσθενεῖς· πληκτικὸν γὰρ τοῦτο· ἀλλὰ, Διὰ τὴν ὑμῶν οἰκοδομήν. Ἵνα γάρ, φησι, μὴ σκανδαλίζησθε ἐπ' ἐμοὶ, διὰ τοῦτο οὐκ ἔλαβον, ὑπὲρ τῆς ὑμετέρας ὠφελείας. » Θεοφύλακτος·

(2) « Πρῶτον ἔμελλε τιθέναι τὰς φυσιώσεις· κατ' αὐτοῦ γὰρ ἐλαζονεύοντο· ἀλλ' ὅμως ἵνα μὴ δόξῃ τὸ ἑαυτοῦ ζητεῖν, τὸ κοινὸν λέγει πρῶτον· ἀπὸ γὰρ τοῦ ζήλου καὶ τῆς βασκανίας πάντα τἄλλα ἐτίκτετο· καὶ πάλιν, παρ' ἐκείνων ὁ ζῆλος ἀνῆπτετο. Ἐρίθεια δὲ λέγεται, ὅταν τις κατ' ἔριν προκαλῆται τινα ἐπὶ τόδε τι ψιθυρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ὑμᾶς.] Ἀρκεῖ, φησι, τὰ πρότερα. Φοβοῦμαι δὲ, μήπως ἐλθὼν ἀναγκασθῶ αὐστηρῶς ὑμῖν χρήσασθαι. Τὸ δὲ λαβεῖν δίκην παρὰ τῶν αἰτίων, *ταπείρωσιν οἰκείαν* καλεῖ, δεικνὺς, ὡς οὐκ ἂν δίχα μεγάλης ἀνάγκης κατεδέξατο. Οὐκ εἶπε δὲ, *Μὴ ταπεινωθῶ*, ἀλλὰ, *Μή με ταπεινώσῃ ὁ θεὸς*, δεικνύων, ὅτι διὰ τὸν θεὸν τοῦτο μέλλει ποιεῖν· καὶ εἰ μὴ ἦν ἐν τῷ μέσῳ ὁ θεὸς καὶ τὸ αὐτοῦ πρόσταγμα, οὐκ ἂν αὐστηρῶς ἐφάνη ἀφ' ἑαυτοῦ· τὸ γάρ, *μου*, προσκείμενον τῷ, *θεὸς*, τὴν διακαῆ αὐτοῦ ἀγάπην δηλοῖ πρὸς τὸν θεόν.—ΑΛΛΟ. *Ταπείρωσιν ἑαυτοῦ*, τὴν ἐκείνων παρανομίαν ἐκάλεσε, βεβαιῶν ἅπερ ἤδη προείρηκε, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; (Θεοδωρήτου). — *Καὶ πενθήσω πολλούς.*] Ὅρα ἀποστολικὴν ἀρετήν! Μηδὲν συνειδὼς ἑαυτῷ κακὸν, ὑπὲρ τῶν τοῖς ἄλλοις πεπλημμεληκότων πενθεῖ. Οὐκ εἶπε δὲ, πάντας, ἀλλὰ, *πολλούς*· καὶ οὐδὲ τούτους ἐκκαλύπτει, μετανοίας χώραν αὐτοῖς διδοὺς, καὶ ὅπως μὴ γένωνται ἀναισχυντότεροι. *Καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ.*] Ἀκαθαρσία, δύναται ἐπὶ ἑκάστης ἁμαρτίας λέγεσθαι· οὐδὲν γὰρ ἁμαρτίας εἰδεχθέστερον. Σημείωσαι δὲ τὸ περὶ μετανοίας διὰ τοὺς Ναυατιανούς.

ΚΕΦ. ΧΙΙΙ, 1 Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται
2 πᾶν ῥῆμα (α). Προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι, ἐὰν ἔλθω εἰς
3 τὸ πάλιν, οὐ φείσομαι. Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, (ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν·

Τρίτον τοῦτο *ἔρχομαι πρὸς ὑμᾶς.*] Ἦλθον τὸ δεύτερον· εἰ

σμὸν δέ φησι τὴν διαβολήν· φυσιώσεις δὲ, τὰ ἀλαζονικὰ καὶ πεφυσιωμένα ἤθη καὶ ὅταν εἰς ψύσιν καταστῇ τινι ἡ οἴησις. Κατ' αὐτοῦ γὰρ ἐπαιρόμενοι, τοὺς ψευδαποστόλους ἐτίμων. » Θεοφύλακτος. (α) Δευτερ. ΙΘ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν καὶ νῦν ἔλθω, τρίτον ἔρχομαι (1). Καὶ τί τοῦτο; Ὅτι, ὥσπερ, φησὶν, ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων, ἅπαν ῥῆμα ἀμφίβολον ἵσταται, καὶ πέρας λαμβάνει· οὕτως ἐπὶ τῶν δύο καὶ τριῶν μου παρουσιῶν, ἅπαν ῥῆμα ἀπειλητικὸν σταθήσεται καθ' ὑμῶν, καὶ πέρας λήψεται, ἐὰν μὴ μετανοήσητε. Ὅρα δὲ, ὅτι ταῖς παρουσίαις αὐτοῦ, ἀντὶ μαρτύρων ἐχρήσατο. *Προείρηκα.*] Καὶ προεῖπον, φησὶ, καὶ νῦν *προλέγω*· ὥσπερ γὰρ παρὼν πρὸς ὑμᾶς τὸ δεύτερον εἶπον, οὕτω καὶ νῦν ἀπὼν τὸ τρίτον διὰ τῶν γραμμάτων προλέγω. Δύο καὶ τρεῖς μάρτυρες ἦσαν αἱ δύο παρουσίαι αὐτοῦ, καὶ ἡ μέλλουσα ἔσεσθαι. Ἰδοὺ πάλιν ἄλλοι τρεῖς μάρτυρες· τὸ δὶς παρὼν προειπεῖν, καὶ νῦν ἅπαξ ἐν τῇ ἀπουσίᾳ. Εὐφυῶς δὲ τὴν γραφὴν τὴν περὶ τῶν μαρτύρων ἐξέλαβεν εἴς τε τὰς τρεῖς παρουσίας, καὶ εἰς τὰς τρεῖς παραγγελίας. *Τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσι.*] Τοῖς μὲν ἡμαρτηκόσιν, ὡς δεομένοις διορθώσεως, ἵνα διορθώσωνται· τοῖς δὲ λοιποῖς πᾶσιν, ἵνα μάρτυρες εἶεν, ὅτι οὐδὲν παρ' ἐμὲ, ἐὰν τοὺς μὴ μετανοήσαντας τιμωρήσωμαι. *Ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι.*] Τί προείρηκας; καὶ νῦν δὲ τί γράφεις; Ὅτι, φησὶν, *ἐὰν ἔλθω εἰς τὸ πάλιν*, τουτέστι, τὸ ἄλλο ἅπαξ, *οὐ φείσομαι*, δεικνὺς, ὅτι ἔτι φείδεται αὐτῶν, καὶ ταῦτα σφαλλομένων. Καὶ οὐκ εἶπε, κολάσω, ἀλλ', *οὐ φείσομαι*, πατρικῷ ῥήματι χρησάμενος, τῷ τῆς φειδοῦς. *Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.*] *Δοκιμὴν*, πεῖραν. Οὐ διὰ τοῦτο δὲ ἐκόλαζεν, ὡς δοκιμὴν δώσων· ἀλλ' ὅτι ἡμάρτανον. Τοῦτο δὲ εἴρηται κατὰ τῶν λεγόντων, ὅτι ἡ παρουσία αὐτοῦ ἀσθενής. Ἐπειδὴ, φησὶ, θέλετε δοκιμάσαι, εἰ ἐν ἐμοὶ λαλεῖ ὁ Χριστός· ὥσπερ γὰρ ἔρημόν με τοῦ Χριστοῦ, οὕτω σκώπτετε· γνώσεσθε πάντως, εἴπερ ἀδιόρθωτοι μείνητε.—Πεῖραν λαβεῖν, ὡς ἔοικε, βούλεσθε τοῦ ἐν ἐμοὶ φθεγγομένου Χριστοῦ, καίτοι σαφῶς αὐτοῦ μαθόντες τὴν

(1) Ὅπερ ἀνωτέρω 1Β', 14. εἶπεν· «Ἰδοὺ, τρίτον τοῦτο ἑτοίμως ἔχω, ἐλθεῖν πρὸς ὑμᾶς.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύναμιν (Θεοδωρήτου).— Καὶ αὐτὸ τὸ δοκιμὴν ζητεῖν, ἁμάρτημα ἦν· τὸ γὰρ ἐκπειράζειν, καὶ μάλιστα μετὰ τοσαῦτα, ἀχαρίστων ἦν, καὶ ἀγνωμόνων, καὶ ἀσεβαίων. (Φωτίου).— *Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ.*] Τί βούλεται ἡ προσθήκη τοῦ, *εἰς ὑμᾶς*, καὶ τοῦ, *ἐν ὑμῖν*; οὐ γὰρ πρὸς αὐτοὺς μόνον, ἀλλὰ πανταχοῦ δυνατὸς ὁ Χριστός. Καὶ φαμὲν, ὅτι ἀπειλητικὸν τὸ ῥῆμα, ὡς εἰ ἔλεγεν· Ἀφ' ὧν ἤδη πεῖραν εἰλήφατε, γινώσκετε πάντως, ὅτι οὐκ ἀσθενὴς εἰς ὑμᾶς ὁ Χριστὸς, *ἀλλὰ δυνατεῖ*, τουτέστι, δύναται. Ἢ, ὅτι τέως μὲν *εἰς ὑμᾶς*, τοὺς καὶ διορθωθῆναι δυναμένους, τὴν δύναμιν ἐπιδείκνυσι, πλήττων νῦν, ἵνα τότε ἀφήσῃ· εἰς δὲ τοὺς ἀπίστους, κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Δείκνυσι καὶ ὅτι, εἰ καὶ μέλλει τιμωρήσασθαι, οὐκ αὐτὸς τιμωρήσεται, ἀλλ' ὁ Χριστός.

4 Καὶ γὰρ, εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ
ἐκ δυνάμεως θεοῦ· καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν
ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως
5 θεοῦ εἰς ὑμᾶς·) ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν
τῇ πίστει· ἑαυτοὺς δοκιμάζετε. Ἢ οὐκ ἐπιγι-
νώσκετε ἑαυτοὺς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστίν;
6 εἰ μήτι ἀδόκιμοί ἐστε. Ἐλπίζω δὲ, ὅτι γνώσεσθε,
ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

Καὶ *γὰρ, εἰ ἐσταυρώθη ἐξ ἀσθενείας.*] Πολλοὶ τῶν μὴ τῇ δυνάμει τῶν λέξεων προσεχόντων σκανδαλίζονται ἐκ τῆς ῥήσεως ταύτης. Ὅρα οὖν· Ἀσθενείας τρόποι τρεῖς. Εἷς μὲν, ὁ ἐπὶ τῶν σωματικῶν νοσημάτων· δεύτερος δὲ, τὸ περὶ τὴν πίστιν σαθρὸν, ὡς αὐτός φησι· *Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε* (α)· καὶ τρίτος, ὁ ἐκ τῶν διωγμῶν καὶ πειρασμῶν· καὶ γὰρ καὶ ταῦτα ἀσθένειαν ὁ Παῦλος καλεῖ, ὡς ἐκεῖ· *Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται* (β)· τουτέστιν, ἐν διωγμοῖς καὶ κινδύνοις· καὶ πάλιν· *Διὸ εὐδοκῶ ἐν ἀσθενείαις* (γ)· καὶ ἑρμηνεύων αὐτὸ, ἐπάγει· *Ἐν ὕβρεσιν,*

(α) Ῥωμ. ΙΔ', 1. (β) Β' Κορ. ΙΒ', 9. (γ) Β' Κορ. ΙΒ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν διωγμοῖς, ἐν ἀνάγκαις· καὶ πάλιν· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι,* ὡς τότε μάλιστα τῆς χάριτος ἐφιζανούσης. Κατὰ τοῦτον οὖν τῆς ἀσθενείας τὸν τρόπον ἐσταυρώθη ὁ Κύριος, ἐπιβουλὴν ὑπομείνας, καὶ κίνδυνον, καὶ ὕβριν· ταῦτα γὰρ δοκοῦσιν, ἐξ ἀσθενείας γίνεσθαι· ἀλλ' ὅμως, φησὶν, οὐ παρέβλαψε τοῦτο τὴν δύναμιν αὐτοῦ. Ἢ οὕτως· Ἀσθένειάν φησι, τὴν δοκοῦσαν τοῖς ἀπίστοις, ὡς εἰ ἔλεγεν· Εἰ καὶ κατὰ τὸν τῶν ἀπίστων λόγον ἐξ ἀσθενείας ἐσταυρώθη· (δηλαδὴ τοῦτο κατὰ συγχώρησιν διδούς·) *ἀλλὰ ζῇ,* φησὶν, *ἐκ δυνάμεως θεοῦ.* Ἀκούων δὲ, *δυνάμεως θεοῦ,* μὴ τοῦτο τὸ ἀνόσιον ὑπονοήσῃς, ὅτι αὐτὸς ἠτόνει ζωογονῆσαι τὴν ἰδίαν σάρκα, καὶ διὰ τοῦτο τῆς δυνάμεως τοῦ πατρὸς χρεία γέγονεν· εἰ γὰρ ὁ Χριστὸς, θεοῦ δύναμίς ἐστι, καὶ θεοῦ σοφία (α), πῶς ἠτόνει ἡ δύναμις, καὶ ταῦτα εἰς τὴν οἰκείαν σάρκα, ὁ καὶ ἄλλοις ζωὴν διδοὺς, μᾶλλον δὲ ἅπασιν; Ἀλλ' ἀδιαφόρως ὁ Παῦλος καὶ τὰ τοῦ πατρὸς, τοῦ υἱοῦ λέγει· καὶ ἔμπαλιν τὰ τοῦ υἱοῦ, τοῦ πατρός. Ὅτι γὰρ αὐτὸς ὁ Χριστὸς τὴν ἑαυτοῦ σάρκα ἀνέστησεν, ἄκουσον αὐτοῦ λέγοντος· *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν* (β). Εἰ δὲ ὅπερ αὐτὸς ὁ υἱὸς εἰργάσατο, τοῦτο ἐκ τοῦ πατρὸς γενέσθαι λέγει ὁ Παῦλος, μὴ θορυβηθῇς· οἶδε γὰρ αὐτὸν εἰπόντα· Πάντα τὰ τοῦ πατρός μου, ἐμά ἐστι· καί· Πάντα τὰ ἐμὰ, σά ἐστι (γ), πρὸς τὸν πατέρα εἰρηκότα (1).—*Εἰ ἐσταυρώθη ἐξ ἀσθενείας.*] Διὰ γὰρ τὰς ἡμῶν ἀσθενείας καὶ ἁμαρτίας, ὁ ἰσχυρὸς καὶ ἀναμάρτητος ἐσαύρωται. Ἢ, *ἐξ ἀσθενείας,* ὡς οἱ Ἰουδαῖοι ἔλεγον·

(α) Α'. Κορ. Α', 24. (β) Ἰωαν. Β', 19. (γ) Ἰωαν. Ις', 15. ΙΖ', 10.

(1) «Ὥσπερ οὖν μωρίαν λέγει ὁ Παῦλος τὸ κήρυγμα, οὐχ ὡς ὄν, ἀλλ' ὡς νομιζόμενον τοῖς ἀπίστοις· οὕτω καὶ ἐξ ἀσθενείας φησὶ σταυρωθῆναι τὸν Κύριον, τῆς νομιζομένης παρὰ τοῖς ἀπίστοις, οὐ τῆς οὔσης. Ζῇ μέντοι ἐκ δυνάμεως θεοῦ, τουτέστι, τοῦ πατρὸς, ἤτοι, τῆς αὐτοῦ· πάντα γὰρ τὰ τοῦ πατρὸς, καὶ αὐτοῦ εἰσι· καὶ τὰ αὐτοῦ, τοῦ πατρός· ὥστε καὶ ἡ δύναμις κοινὴ, μᾶλλον δὲ αὐτός ἐστι δύναμις τοῦ πατρός. Ὥστε καὶ αὐτὸς ἑαυτὸν ἀνέστησεν, ὥσπερ καὶ προεῖπε· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγερῶ αὐτόν. Ταῦτα δὲ πάντα λέγει ὁ Παῦλος, ἐπειδὴ ἐξουθένουν αὐτὸν, ὡς διωκόμενον καὶ ἐπιβουλευόμενον, καὶ ἐξ ἀσθενείας πάσχειν ἐνόμιζον. Δείκνυσιν οὖν, ὅτι καὶ ὁ Χριστὸς οὐδὲν ἐκ τῆς νομιζομένης ταύτης ἀσθενείας παρεβλάβη.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι (α). Ἤ, ἐξ ἀσθενείας, ὡς ὑμῖν ἀκόλουθον νομίσαι· Εἰ γὰρ δοκιμὴν ἔτι ζητεῖτε, καὶ τὸν σταυρὸν ἄρα ἐξ ἀσθενείας νομιεῖσθε ὑπομεῖναι (Φωτίου). —*Ἀλλὰ ζῇ.*] Εἰ γὰρ καὶ τοῦ σταυροῦ τὸ πάθος ὑπέμεινε διὰ τὴν θνητὴν τοῦ σώματος φύσιν, ἀλλὰ ζῇ, καὶ ζωή ἐστιν, ὡς θεὸς καὶ θεοῦ υἱὸς (Θεοδωρήτου).—*Ἐκ δυνάμεως θεοῦ.*] Ἀντὶ τοῦ, ὡς θεὸς δυνατὸς, ὡς ἑκουσίως καὶ ἃ ἔπαθε παθών. Ἢ καὶ οὕτως· Εἰ καὶ ἐσταυρώθη, ὡς τὴν παθητὴν φύσιν καὶ ἀσθενῆ ἀναλαβών, ἀλλὰ ζῇ ἐκ νεκρῶν ἀναστάς, καὶ τὴν παντοδύναμον καὶ θείαν φύσιν φέρων ἐν ἑαυτῷ. *Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν.*] Ὥσπερ γὰρ αὐτός, φησιν, οὐδὲν πρὸς τὴν δύναμιν παρεβλάβη, ἐπειδὴ ἐσταυρώθη, οὕτως οὐδὲ ἡμεῖς, ἐπειδὴ διωκόμεθα καὶ ὑβριζόμεθα. Διὸ ἐπάγει, *ἐν αὐτῷ.* Τὸ γάρ· *Καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ·* ἤ ὅτι, ἃ πάσχομεν, δι' αὐτὸν πάσχομεν, ἢ, ὅτι δοκοῦμεν ὑμῖν ἀσθενεῖν, ἐκ τοῦ μὴ κολάζειν καὶ τιμωρεῖν ὑμᾶς· ἀλλὰ καὶ τοῦτο ἐν Χριστῷ ποιοῦμεν· αὐτὸς γὰρ ἡμᾶς ἐδίδαξεν, ἀνέχεσθαι καὶ μακροθυμεῖν. Ἀλλ' ὥσπερ ἀνέχεσθαι καὶ μακροθυμεῖν, οὕτως ἐπὶ τῶν ἀναλγήτως ἐχόντων καὶ μὴ μεταμελουμένων, τὴν τιμωρητικὴν καὶ κολαστικὴν δύναμιν ἐπιδεικνύειν· οὕτω γὰρ καὶ αὐτὸς ποιεῖ.—*Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ.*] Τουτέστι, δι' αὐτὸν καὶ διὰ τὸ κήρυγμα αὐτοῦ ἀσθενοῦμεν ἐν τοῖς διωγμοῖς, καὶ ἐν τοῖς κινδύνοις. Ἀλλ' ὥσπερ τῶν σκυθρωπῶν αὐτῷ κοινωνοῦμεν, οὕτω καὶ τῶν φαιδρῶν κοινωνήσομεν. Ὅθεν ἐπάγει· *Ἀλλὰ ζησόμεθα σὺν αὐτῷ·* τουτέστι, δειχθησόμεθα ἐν ὑμῖν ζῶντες, οὐχ ἁπλῶς, ἀλλὰ *σὺν αὐτῷ* τῷ Χριστῷ· καὶ οὐδὲ τοῦτο ἁπλῶς ζῶντες, ἀλλ' *ἐκ τῆς δυνάμεως τοῦ θεοῦ* τὴν ζωὴν ἔχοντες, δι' ἧς καὶ αὐτὸς θάνατον πατήσας, καὶ ᾅδην σκυλεύσας, καὶ ἀνέστη, καὶ ζῇ. Αὕτη δὲ ἡ ζωὴ καὶ ἡ δύναμις, δῆλον ὅτι τιμωρητική ἐστι τῶν τὰ ἔργα τοῦ πονηροῦ πραττόντων, ὥσπερ σωστικὴ τῶν μετάνοιαν ἐπι-

(α) Ματθ. ΚΖ', 42.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελούντων. Διὰ τούτους δὲ λέγει, ὅτι, μὴ καταφρονεῖτε ἡμῶν, ὡς ὁρῶντες ἡμᾶς διωκομένους, καὶ μυρία πάσχοντας· οὕτω καὶ ὁ Χριστὸς κατεφρονήθη σταυρούμενος, ἀλλ' ἀναστὰς, πάντα ὅσα ἠθέλησεν ἐποίησε· καὶ ἡμεῖς δὲ ἃ πάσχομεν, δι' αὐτὸν πάσχομεν. Ὥστε, εἰ καὶ πάσχομεν, ἐκεῖνος δὲ ζῇ καὶ δύναται, καὶ ἡμεῖς σὺν αὐτῷ, οἷον, αὐτοῦ θέλοντος, καὶ ζῶμεν, καὶ δυνατοὶ ἐσμεν ποιῆσαι, ὃ βουλόμεθα, εἰς ὑμᾶς, καὶ μάλιστα εἰς ὑμᾶς· ὅτι πολλὰ ἔχομεν ἀπειθούντων ὑμῶν δικαιώματα καθ' ὑμῶν (Φωτίου).—*Ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς.*] Ὁμοίως νόησον καὶ τοῦτο τῷ ἄνω· *Ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ*· τὸ δὲ, *εἰς ὑμᾶς*, οἷον, ὑμῖν ζήσομεν, τουτέστιν, εἰς τὴν ὑμῶν ὠφέλειαν. Ἢ, δι' ὑμᾶς· ἐπειδὴ ἐπεστρέψαμεν ὑμᾶς. *Ἢ, σὺν ὑμῖν* ζήσομεν τότε.—*Ἑαυτοὺς πειράζετε.*] Ὁρᾷς, οἷον κατασκευάζει; Καὶ τί λέγω, φησὶ, περὶ ἐμαυτοῦ, ὅτι ὁ Χριστὸς ἐν ἐμοὶ λαλεῖ, καὶ ὅτι δύναμαι μὲν, πλὴν, ἐκεῖνον μιμούμενος τὸν σταυρωθέντα, οὐκ ἐπεξέρχομαι ὑμῖν; Καὶ ὑμεῖς γὰρ αὐτοὶ (1), *εἰ μήτι ἀδόκιμοι γεγόνατε*, ἔχετε ἐν ἑαυτοῖς τὸν Χριστόν· εἰ δὲ ὑμεῖς, πολλῷ μᾶλλον ἐγώ. Ἑαυτῶν τοιγαροῦν ἀπόπειραν ποιεῖσθε, μή τις ἐκ τῶν ὀρθῶν παρετράπη δογμάτων, τῇ τῶν ψευδαποστόλων διδαχῇ.—*Ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει.*] Ἆρα μὴ *ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει*; Ἆρα μὴ *ἑαυτοὺς δοκιμάζετε*; Τὸ γὰρ ἔτι δοκιμὴν ζητεῖν τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, καὶ οὕπω ἀκριβῶς πεπεῖσθαι, ὡς ἐν τῷ διδασκάλῳ λαλεῖ ὁ Χριστὸς, τί ἕτερόν ἐστιν ἢ καὶ ἑαυτοὺς πειράζειν, εἰ ἐστὲ πιστοὶ, καὶ ἀμφιβάλλειν καὶ περὶ ἑαυτῶν; μᾶλλον δὲ καὶ ἀγνοεῖν ὅλως, ὅτι ὁ Χριστὸς ἐν ὑμῖν ἐστιν; Εἰ γὰρ οὐκ ἐν τῷ διδασκάλῳ ὁ Χριστὸς, πολλῷ μᾶλλον οὐδ' ἐν τοῖς μαθηταῖς. Ἀλλὰ πῶς, φησιν, *οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι ἐν ὑμῖν ὁ Χριστὸς*, ὃς καὶ

(1) «Εἰ βουληθεῖτε ἑαυτοὺς ἐξετάσαι, ὄψεσθε ἐν ἑαυτοῖς τὸν Χριστόν· εἴπερ ἔχητε πάντες τὴν πίστιν· (οἱ γὰρ πιστεύοντες τότε ἐθαυματούργουν·) ἢ τὴν ἁπλῆν πίστιν, ἢ τὴν τῶν σημείων, ἥτις ἰδικωτέρα ἐστίν· Ὥστε, εἰ ἐν ὑμῖν τοῖς μαθηταῖς ὁ Χριστὸς, πολλῷ μᾶλλον ἐν ἐμοὶ τῷ διδασκάλῳ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαρίσμασι διαφόροις ἐπλούτισεν ὑμᾶς; Ἢ διὰ τῶν πράξεων ὑμῶν ἀδοκίμους ἑαυτοὺς παραστήσαντες, καὶ τούτων ἐξεπέσατε; Τοῦτο δέ ἐστιν, ὡς εἰ ἔλεγεν, ὅτι, εἰ ὑμεῖς χαρίσματα καὶ ἰσχὺν κατὰ πνευμάτων ἀκαθάρτων ἐλάβετε καὶ ἔχετε· εἰ μὴ ἀδοκίμους ἑαυτοὺς παρασκευάσαντες τούτων ἐστερήθητε· οὐχὶ ἐγὼ πολλῷ μᾶλλον ἐξουσίαν ἔχω κατὰ τῶν τὰ θελήματα τῶν ἀκαθάρτων δαιμόνων ἐπιτελεῖν αἱρουμένων, οἵτινες ἐστὲ ὑμεῖς; Ἢ καὶ οὕτως· Ἐν ἐμοὶ δοκιμὴν ζητεῖτε; *ἑαυτοὺς πειράζετε*, ἐπιπληκτικῶς, *ἑαυτοὺς δοκιμάζετε, εἰ ἐστὲ ἐν τῇ πίστει· ὡς* γὰρ ἔοικε, καὶ ταύτης ἐξέστητε· ἐπεὶ ἄλλως οὐκ ἂν δοκιμὴν ἐπεζητεῖτε. Εἶτα, ὥσπερ λεαίνων τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως, *Ἢ οὐκ ἐπιγινώσκετέ*, φησιν, *ἑαυτούς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστίν;* Ἀντὶ τοῦ, Ἐγὼ οὕτως ὑμᾶς ἐπιγινώσκω, ὅτι ὁ Χριστὸς ἐν ὑμῖν· εἰ δὲ αὐτοὶ τοῦτο ἀγνοεῖτε, ὑμῶν ἄρα τὸ ἔγκλημα. Οὐκοῦν ἑαυτοὺς ἀδοκίμους ἀπειργάσασθε. Ἅμα δὲ καὶ ἐντρέπει· ὡς εἰ ἔλεγεν· Εἰ ἐγὼ τὸν Χριστὸν ἐν ὑμῖν εἶναι γινώσκω, εἰ μὴ ἀδόκιμοι γεγόνατε, πῶς αὐτοὶ ἔτι δοκιμὴν αὐτοῦ ἐν ἐμοὶ ζητεῖτε; Καὶ δῆλον, ὅτι τριχῶς ἐστὶν ἐκλαβεῖν τὸ χωρίον· κατὰ συμβουλὴν καὶ παραίνεσιν, κατὰ ἐπαπόρησιν καὶ ἔλεγχον, κατὰ ἐπίπληξιν καὶ ἐπιτίμησιν, ὡς νῦν ἔκκειται (Φωτίου).— *Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς;*] Πῶς δ' ἂν γνοίησαν; Ἐκ τῶν σημείων ὧν ἐποίουν, εἰ ἔτι ποιοῖεν αὐτά, φησιν. *Εἰ μήτι ἀδόκιμοί ἐστε.*] Ἐνταῦθα καὶ εἰς βίον πονηρὸν αὐτοὺς αἰνίττεται· δεῖ γὰρ καὶ πίστεως καὶ βίου πρὸς τὰ σημεῖα. Εἰ οὖν καὶ ἐστὲ ἐν τῇ πίστει, εἰ μὴ καὶ βίον κατάλληλον ἐπιτηδεύετε, ἀδόκιμοί τε ἐστέ, φησι, καὶ Χριστὸς ἐν ὑμῖν οὐκ ἔστιν, οὐδὲ διὰ τῶν σημείων δείκνυται παρὼν πρὸς ὑμᾶς. *Ἐλπίζω δὲ, ὅτι γνώσεσθε.*] Εἰ δὲ ὅλως ὑμεῖς μὴ ἐστὲ ἀδόκιμοι, ἐλπίζω, ὅτι διὰ τῆς εἰς ὑμᾶς τιμωρίας γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. Ἔδει μὲν οὖν ἄλλῳ τρόπῳ γνῶναι ὑμᾶς καὶ εἰδέναι, ὅτι δόκιμοι ἐσμέν· ἐπειδὴ δὲ οὐ βούλεσθε, διὰ τῆς ὑμῶν τιμωρίας τοῦτο γνώσεσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 Εὔχομαι δὲ πρὸς τὸν θεὸν, μὴ ποιῆσαι ὑμᾶς κακὸν
μηδέν· οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα
ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.
8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ
9 τῆς ἀληθείας. Χαίρομεν γάρ, ὅταν ἡμεῖς ἀσθενῶ-
μεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε· τοῦτο δὲ καὶ εὐχόμεθα,
τὴν ὑμῶν κατάρτισιν.

Ὁρα φιλόσοφον γνώμην! Κατεφρονεῖτο, ἐκωμῳδεῖτο, ὡς οὐδὲν δυνάμενος, ἀλλ' ἐν γράμμασι μόνον κομπάζων· καὶ οὐ μόνον ἀναβάλλεται, διὰ τῆς κατ' ἐκείνων τιμωρίας τὴν οἰκείαν ἰσχὺν φανερῶσαι, ἀλλὰ καὶ εὔχεται, μήτε αὐτοὺς ἁμαρτήσειν ποτὲ, μήτε αὐτὸν ἁμπεσεῖν ποτὲ εἰς ἀνάγκην τοῦ ταύτην ἐπιδεῖξαι.—Πῶς οὖν καὶ ἐλπίζεις, δόκιμος ὀφθῆναι, καὶ πάλιν εὐχῇ, μὴ γενέσθαι; Εὔχομαι μὲν, βελτιωθῆναι ὑμᾶς, καὶ μὴ δεηθῆναί με τῆς ἐφ' ὑμᾶς τιμωρίας, μηδὲ δόκιμον ἐν ταύτῃ διαδειχθῆναι· τοῦτο εὔχομαι, ἐν τούτῳ χαίρω. Εἰ δὲ ἐπιμένετε τῇ ἁμαρτίᾳ, καταφρονοῦντες τῆς τιμωρίας, ἀνιώμενος μὲν καὶ βαρυθυμῶν, ὅμως τιμωρήσομαι· ῥᾴδιον γάρ μοι τὸ ἐλπίζειν τοῦτο (Φωτίου).—*Οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν.*] Ἐκ γὰρ τοῦ μὴ ἁμαρτάνειν αὐτοὺς, οὐκέτι τὴν τιμωρητικὴν ἐπεδείκνυτο δύναμιν, καὶ πάλιν ὡς ἀδόκιμος καὶ ἀνίσχυρος ἐκρίνετο (1). *Ἡμεῖς δὲ ὡς ἀδόκιμοι.*] Κἀγὼ ἵνα ὦ ὡς *ἀδόκιμος*, τουτέστιν, ἵνα δοκῶ τοῖς πολλοῖς ἀσθενὴς καὶ ἀδύνατος, ἅτε μὴ εὑρίσκων χώραν τοῦ κολάσαι ὑμᾶς. Καλῶς δὲ τὸ, *ὡς ἀδόκιμοι*· οὐ γὰρ τῇ ἀληθείᾳ ἔμελλεν· ἐπεὶ οὐ τιμωρεῖται μὴ ἁμαρτάνοντας· ἀδόκιμος γίνεσθαι, ἀλλὰ καὶ μάλιστα δόκιμος εὑρίσκετο, ὅτι οὕτω παιδεύει τοὺς μαθητὰς, μηδὲν ἁμαρτάνειν· ἀλλὰ διὰ τὴν τῶν πολλῶν ὑπόληψιν εἶπε τὸ, *ὡς ἀδόκιμοι. Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας.*] Ἐάν τις ὀρθῶς, φησι, βιοῖ καὶ εὐσεβῶς· (*ἀλήθειαν* γὰρ νῦν τὴν εὐσέβειαν καλεῖ, ὡς νόθου

(1) « Οὐ τοῦτο σπουδάζω, φησὶν, ἵνα φανῶ δόκιμος, ὡς δύναμιν ἔχων τοῦ κολάζειν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε ἀεὶ, κἂν ἁμάρτητέ ποτε, ἵνα μετανοῆτε. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄντος τοῦ δυσσεβοῦς βίου·) καὶ εἰ βουλοίμεθα ἐπαγαγεῖν τιμωρίαν, οὐ δυνάμεθα· οὐ γὰρ συνεργεῖ ὁ θεός· οὐ γὰρ *κατὰ τῆς ἀληθείας*, οἷον, τῆς εὐσεβείας, τί ἰσχύομεν· ἡ δὲ ἰσχὺς ἡμῶν ὑπὲρ τῆς *ἀληθείας*, ἤτοι τῆς εὐσεβείας· ἵνα τοὺς μὴ κατ' αὐτὴν ζῶντας διὰ τῆς τιμωρίας ἀναγκάζομεν αἱρεῖσθαι αὐτήν. *Χαίρομεν γὰρ, ὅταν ἡμεῖς ἀσθενῶμεν.*] Τί οὖν; ἐπεὶ μὴ δύναμαι, καὶ βουλόμενος, κατὰ τῆς ἀληθείας, ἆρα ἀλγῶ περὶ τούτους; Οὐ μὲν οὖν· χαίρομεν γὰρ, ὅταν ἡμεῖς μὲν ἀσθενεῖς νομιζώμεθα, ἐκ τοῦ μὴ ἐπάγειν τιμωρίαν· ὑμεῖς δὲ ἰσχυροὶ, ἐκ τοῦ ἀνάλωτοι εἶναι τῇ τιμωρητικῇ μου δυνάμει, διὰ τὸ βιοῦν ὀρθῶς. *Τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.*] Ἆρα οὖν μόνον χαίρομεν; Καὶ εὐχόμεθα μὲν οὖν μᾶλλον *τὴν ὑμῶν κατάρτισιν*, τουτέστιν, εὐδοκίμησιν, καὶ τὸ ἀπηρτίσθαι ἐν βίῳ καὶ δόγμασι χρηστοῖς, ἢ ἵνα σφαλλομένους τιμωρούμενοι, δόξωμεν εἶναι δυνατοί.

10 Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν.

Ἐπειδὴ σφόδρα ἐπέπληξεν αὐτοὺς πανταχοῦ μὲν, μάλιστα δὲ ἐν τῷ τέλει τῆς ἐπιστολῆς, νῦν διὰ τοιούτων ἀπολογεῖται, καί φησι· *Διὰ τοῦτο* οὕτως ἔγραψα, ὡς βουλόμενος ἄχρι τῶν γραμμάτων εἶναι τὴν ἀπειλὴν καὶ τὴν ἀποτομίαν, καὶ μὴ ἐν τοῖς ἔργοις ἐπιδειχθῆναι. *Κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ Κύριος.*] Ὥστε κἂν κολάζω., φησὶν, οὐκ ἐγὼ κολάζω, ἀλλὰ διὰ μέσου ἐμοῦ, ὁ ταύτην μοι δεδωκὼς τὴν ἐξουσίαν Χριστός. Ὅρα δὲ, πῶς ἐν τῷ ἀπολογεῖσθαι, φοβερώτερον τὸν λόγον εἰργάσατο. Τί οὖν; εἶποι τις ἂν αὐτῷ· διὰ τοῦτο εἴληφας ἐξουσίαν, ἵνα τιμωρῇ τοὺς ἀνθρώπους τοὺς κατ' εἰκόνα θεοῦ; καὶ εἰς τοῦτό σε ὅλως κατέστησεν ὁ φιλάνθρωπος Χριστός; *Οὐκ εἰς καθαίρεσιν*, φησὶ, καὶ ὅλεθρον ψυχῶν εἴληφα τὴν ἐξουσίαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' *εἰς οἰκοδομήν*. Αὐτὸ γάρ τοῦτο, τὸ τοὺς αἰτίους τιμωρεῖσθαι, οἰκοδομὴ ἐκκλησίας ἐστὶν, ἀσφαλεστέρων τῶν λοιπῶν καὶ δοκιμωτέρων διὰ τῆς τιμωρίας γινομένων.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ θεὸς
12 τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. Ἀσπάζονται
13 ὑμᾶς οἱ ἅγιοι πάντες. Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν. Ἀμήν.

Μετὰ τὸ ἐμέ, φησι, τὸ ἐμαυτοῦ ποιῆσαι, τουτέστι, συμβουλεῦσαι, ἀπειλῆσαι, ὑπόλοιπόν ἐστι τὸ καὶ ὑμᾶς τὰ ἀφ' ὑμῶν συνεισενεγκεῖν· διορθούμενοι γὰρ χαρήσεσθε νῦν τε, καὶ ἐν τῷ μέλλοντι. *Χαίρετε.*] Μαθόντες, ὅτι, ἅπερ ἠπείλησα, οὐχ ἵνα ποιήσω ταῦτα ἠπείλησα, οὐδὲ θέλω τοῦτο, ἀλλὰ καὶ ἀπεύχομαι γενέσθαι· ἠπείλησα δὲ, ἵνα διορθωθέντες, μηδὲν ἀνιαρὸν πάθητε· διὸ *χαίρετε, καταρτίζεσθε*, οἱονεὶ, τέλειοι γίνεσθε, ἀναπληροῦτε τὰ λείποντα ὑμῖν, ἐν ἀρετῇ τελειοῦσθε, καὶ τἆλλα πράττετε. Ταῦτα γὰρ κατορθοῦντες, οὐ μόνον οὐδὲν δεινὸν πείσεσθε, ἀλλὰ καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. *Παρακαλεῖσθε.*] Ἐπειδὴ πολλοὶ ἦσαν οἱ πειρασμοὶ καὶ οἱ κίνδυνοι, φησὶ, *παρακαλεῖσθε* καὶ ὑφ' ἑαυτῶν, καὶ ὑπ' ἀλλήλων, καὶ ὑπὸ τῆς εἰς τὸ βέλτιον μεταβολῆς· μεγάλη γὰρ παράκλησις συνειδὸς ἀγαθόν. *Τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε.*] Τοῦτο καὶ ἐν τῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ ἐν προοιμίοις ᾔτησε· διεστασίαζον γὰρ πρὸς ἑαυτούς. Τί δὲ βούλεται τὸ, τε τὸ αὐτὸ φρονεῖν, καὶ εἰρηνεύειν; Ὅτι ἔνι τὸ αὐτὸ μὲν φρονεῖν ἐν τοῖς δόγμασι, μὴ εἰρηνεύειν δὲ πρὸς ἀλλήλους. *Καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης.*] *Θεὸς ἀγάπης* ὁ θεὸς χρηματίζει, διὰ τὸ ἠγαπηκέναι ἡμᾶς· *εἰρήνης* δὲ, διὰ τὸ εἰρηνεῦσαι τὰ ἐν οὐρανῷ τοῖς ἐν γῇ· ἐκ δὲ τῆς ἀγάπης ἡ εἰρήνη. Ἐάν, φησι, ταῦτα ποιῆτε, *ἔσται μεθ' ὑμῶν ὁ θεός*·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ ἐπεύχεται (1). *Ἐν ἁγίῳ φιλήματι.*] Μὴ ὑπούλῳ, φησ
καὶ δολερῷ, ὡς ὁ Ἰούδας· διὰ τοῦτο δὲ φιλοῦμεν, ἵνα ἀναζω
πυρῶμεν τὴν πρὸς ἑαυτοὺς ἀγάπην· ἐπειδὴ τὸ στόμα ἐστὶ μα
λιστα τῶν ἄλλων μελῶν τὸ συνδεσμοῦν τὰς ψυχάς. *Ἀσπα
ζονται ὑμᾶς οἱ ἅγιοι πάντες.*] Τοὺς μὲν παρόντας, δι
φιλήματος συνάπτει, τοὺς δὲ ἀπόντας διὰ τῆς προσρήσεω
Καὶ τούτους δὲ τὸ στόμα συνάπτει· ἀπὸ γὰρ τοῦ αὐτοῦ πρόε
σι στόματος ὅ,τε ἀσπασμὸς καὶ ἡ πρόσρησις. *Ἡ χάρις τ
Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἑξῆς.*] Ἐπειδὴ συνῆψεν ἅπα
τας, ὅπερ ἔθος αὐτῷ, καὶ νῦν ποιεῖ, ἐπεύχεται αὐτοῖς τ
χάριν τοῦ Υἱοῦ, δι' ἧς ἔσωσεν ἡμᾶς, οὐκ ἐξ ἔργων ἡμετέρω
ἀλλὰ χάριτι, σφαγεὶς αὐτὸς ὑπὲρ ἡμῶν· καὶ τὴν ἀγάπην τ
Πατρὸς, ἣν ἠγάπησεν ἡμᾶς, τὸν μονογενῆ δοὺς ὑπὲρ ἡμῶ
καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος, τουτέστι, τὴν μετ
χὴν αὐτοῦ καὶ τὴν μετάληψιν, δι' ἧς πάντες ἁγιαζόμεθα, τ
ἐφ' ἡμᾶς ἐπιφοιτήσει τοῦ παρακλήτου πνεύματος κοινων
αὐτοῦ γινόμενοι, καὶ πνεῦμα καὶ αὐτοί, οὐκ οὐσίᾳ, ἀλλὰ μ
θέξει ὄντες.

---

(1) « Οὐ μόνον παραινεῖ, ἀλλὰ καὶ εὔχεται· ἡ οὐδὲ εὐχή ἐστι τοῦτο, ἀλ
τοῦ ἀκολούθως ἑπομένου προαναφώνησις· ὅτι, ἐὰν εἰρηνεύητε, ὁ θεὸς ἔσται μ
ὑμῶν. Ἀγάπης δὲ θεὸς λέγεται, ἢ ὡς ταύτης πηγὴ, ἢ ὡς ταύτην ἐνδεύ
μενος εἰς ἡμᾶς ὑπερβολικὴν· ἢ ὡς, ἔνθα ἐστὶν ἀγάπη, ἐκεῖ καὶ αὐτὸς ὤν, καὶ ὡ
σπότης ταύτης φαινόμενος. Ὡσαύτως δὲ καὶ θεὸς τῆς εἰρήνης, ἢ ὡς π
ταύτης, ἢ ὡς εἰρηνεύσας τὰ ἐν οὐρανῷ, καὶ τὰ ἐπὶ γῆς, ἢ ὡς δεσπότης αὐτ
ὡς κτήματος.» Θεοφύλακτος.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Φιλίππων, διὰ Τίτου καὶ Λουκᾶ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ

ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ

200
Η

ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

άριθ. χρ. 1828

*Ημερομηνία επιστροφής	ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΔΗΜΟΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας